




GToû ēn ăgíois@ patròs@ y□mŵn Kuríllou ... tà swzómena, ...

Cyril


600101918Q







\+ Ὁ Πατριάρχης Ἱεροσολύμων Κύριλλος.

Патріархъ Іерусалимскій Кириллъ

كيرلس بطريرك أورشليم

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΤΑ ΣΩΖΟΜΕΝΑ,

ΠΡΟΣ ΑΡΧΑΙΑ ΧΕΙΡΟΓΡΑΦΑ ΚΑΙ ΤΑΣ ΔΟΚΙΜΩΤΕΡΑΣ ΤΩΝ ΕΚΔΟΣΕΩΝ ΑΝΤΙΠΑΡΑΒΛΗΘΕΝΤΑ, ΣΗΜΕΙΩΣΕΣΙ ΤΕ ΚΡΙΤΙΚΑΙΣ ΚΑΙ ΕΡΜΗΝΕΥΤΙΚΑΙΣ ΠΛΟΥΤΙΣΘΕΝΤΑ

Ὑπὸ τοῦ Πανοσιολογιωτάτου Διδασκάλου

ΔΙΟΝΥΣΙΟΥ ΚΛΕΟΠΑ,

Ἐκδίδονται

ὑπὸ

ΦΩΤΙΟΥ ΑΛΕΞΑΝΔΡΙΔΟΥ,

Ἀρχιδιακόνου τοῦ Ἀποστολικοῦ καὶ Πατριαρχικοῦ Θρόνου τῶν Ἱεροσολύμων καὶ Σχολάρχου τῆς Θεολογικῆς τῶν Ἱεροσολύμων Σχολῆς,

Κελεύσει

ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΤΩΝ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΚΥΡΙΛΛΟΥ ΤΟΥ Β΄.

ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΟΥ Π. ΤΑΦΟΥ.

1867.



Πρᾶξις Τυπογραφείου Ἀριθ. 72.

ΠΡΟΛΟΓΟΣ ΤΟΥ ΕΚΔΟΤΟΥ.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν ΚΥΡΙΛΛΟΥ, Ἀρχιεπισκόπου Ἱεροσολύμων, τὸ γεραρὸν καὶ σεβάσμιον κατηχητικὸν μνημεῖον ἐκδοῦναι μέλλοντες, καλόν τε ἅμα καὶ ἀναγκαῖον κρίνομεν ἵνα εἴπωμεν ὀλίγα τινὰ τὴν νέαν ταύτην ἔκδοσιν ἀφορῶντα.

Ἀλλὰ διὰ τί ἆρά γε μετὰ τοσαύτας πλουσίας καὶ γενναίας ὑπὸ ἀνδρῶν σοφῶν καὶ ἐπὶ πολυμαθείᾳ περιπύστων τῆς ἑσπερίας Εὐρώπης γενομένας ἐκδόσεις τῶν Κατηχήσεων τοῦ ἱεροῦ τῆς Μητρὸς τῶν Ἐκκλησιῶν Ποιμενάρχου, τολμῶμεν ἡμεῖς ἐπιχειρῆσαι νέαν τοῦ γεραροῦ τούτου καὶ πολιοῦ τῆς κατηχητικῆς ἀρχαιότητος μνημείου ἔκδοσιν; — Πολλαὶ τῷ ὄντι καὶ διάφοροι ἐκδόσεις τῶν Κατηχήσεων τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν ΚΥΡΙΛΛΟΥ, Ἀρχιεπισκόπου Ἱεροσολύμων, ἀνεφάνησαν, ἀπὸ τοῦ 1564 μέχρι τῆς σήμερον, ἐν αἷς πρωταγωνιστοῦσιν ἡ τοῦ Θ. Μιλλεσίου, γενομένη ἐν Ὀξονίῳ τῷ 1703 καὶ ἡ τοῦ Ἀντ. Αὐγ. Τουτταίου, γενομένη ἐν Παρισίοις τῷ 1720, πεπλουτισμέναι κριτικωτάτοις σχολίοις, σοφωτάτοις προλεγομένοις καὶ πολυμαθεστάταις διατριβαῖς· ἔκδοσις ὅμως, ὑπὸ ἑλληνικῆς γενομένη χειρὸς καὶ ἐξ ἑλληνικῶν πιεστηρίων ἐξελθοῦσα, οὐδέποτε ἀνεφάνη. Πρῶτος ὁ νῦν τὸν θρόνον τῆς Μητρὸς τῶν Ἐκκλησιῶν καλλύνων τε καὶ κατακοσμῶν Πατριάρχης Κ. ΚΥΡΙΛΛΟΣ ὁ Β΄. ἅμα ἀναλαβὼν τὰς τούτου ἡνίας, συνέλαβε τὴν ὑψηλὴν

καὶ μεγαλεπήβολον ἰδέαν, ἵνα ἐκ τῶν πιεστηρίων αὐτῆς ἐκείνης τῆς ἁγίας Πόλεως, ἐν ᾗ ἄλλοτε ἀντήχει ἡ μελιχρὰ καὶ μελίφθογγος φωνὴ τοῦ θείου καὶ ἱεροῦ αὐτοῦ προκατόχου, διαδώσῃ καὶ πάλιν εἰς πᾶσαν τὴν ὀρθόδοξον Ἐκκλησίαν τὰς οὐρανίους καὶ μελισταγεῖς ἐκείνας διδασκαλίας, αἵτινες ἄλλοτε χιλιάδας ὁλοκλήρους ἀνθρώπων κατεκήλουν καὶ εἰς τὴν ὀρθόδοξον τοῦ Χριστοῦ πίστιν ἐχειραγώγουν.

Ὅτε δὲ ἐν ἔτει 1849 ἐπανῆλθεν εἰς Ἱεροσόλυμα, μετὰ τριετῆ ἐν Εὐρώπῃ σπουδὴν, ὁ πολὺς τήν τε ἔσω καὶ τὴν θύραθεν σοφίαν Διονύσιος ἐκεῖνος ὁ Κλεόπας (*), ἡ Α. Θ.

(*) Διονύσιος ὁ Κλεόπας, εἷς τῶν διασημοτέρων τῆς ἐποχῆς ἡμῶν Θεολόγων, ἐγεννήθη μὲν ἐν Κωνσταντινουπόλει, δεκατετραετὴς δὲ περίπου τὴν ἡλικίαν ἦλθε (τὸ 1830) μετὰ τῆς μητρὸς, τοῦ ἀδελφοῦ καὶ τῆς ἀδελφῆς αὐτοῦ εἰς προσκύνησιν τῶν ἁγίων Τόπων, ἔνθα διέτριψε τρία ἔτη, κατ' ἀρχὰς μὲν ὑποτακτικὸς γενόμενος παρὰ τῷ νῦν εὐκλεῶς τὸν Ἀποστολικὸν καὶ Πατριαρχικὸν τῆς Ἀντιοχείας Θρόνον ἰθύνοντι Κ. Ἱεροθέῳ, Ἀρχιεπισκόπῳ Θαβωρίου καὶ Ἡγουμένῳ τότε τῆς ἁγίας Γεθσημανῆς τυγχάνοντι, εἶτα δὲ, παρὰ τῷ τότε Ἁγίῳ Γάζης Κ. Θεοδοσίῳ τῷ Κυπρίῳ. Μετὰ τριῶν ἐτῶν ἐν τοῖς Ἁγίοις Τόποις διατριβὴν, ἡ μήτηρ τοῦ ἀοιδίμου Κλεόπα, παραλαβοῦσα πάλιν τὰ ἴδια αὐτῆς τέκνα, ἀπῆλθεν εἰς Θεσσαλονίκην, ἔνθα οὗτος, ἔν τινι ἐκεῖ πλησίον κειμένῳ Μοναστηρίῳ τοῦ ἁγίου Ἀθανασίου, κουρεύεται μοναχὸς ἐκ Δημητρίου μετονομασθεὶς Διονύσιος, μετ' οὐ πολὺ δὲ χειροτονεῖται καὶ διάκονος. Ἀλλὰ πρὸς τὰ γράμματα καὶ τὴν παιδείαν ἐκ νεαρᾶς αὐτοῦ ἡλικίας ὀργῶν, ἐγκαταλιμπάνει μετ' ὀλίγον τὸ ῥηθὲν Μοναστήριον, καὶ ἐλθὼν εἰς Θεσσαλονίκην, διορίζεται Ἱεροδιάκονος τῆς ἐκεῖ Κοινότητος, διακούων ἐνταυτῷ καὶ τὰ ἐν τῇ Σχολῇ διδασκόμενα μαθήματα. Ἀλλὰ τὸ 1839, πληροφορηθεὶς ὅτι ὁ πρώην Γέρων αὐτοῦ, ἅγιος Θαβωρίου, μετέβη ἐκ Ῥωσσίας εἰς Κωνσταντινούπολιν, καὶ συναισθανόμενος τὴν ἀνάγκην στερεωτέρας διανοητικῆς τροφῆς, σπεύδει καὶ αὐτὸς εἰς τὴν Βασιλεύουσαν, ἔνθα καὶ τότε διέλαμπεν ἡ Μεγάλη τοῦ Γένους Σχολὴ, ἡ ἐπονομαζομένη τῆς Ξηροκρήνης (Κουροὺ-τσεσμὲ), ἧς τὰς ἰθυνταρικὰς ἡνίας κατεῖχαν ὁ

Μακαριότης ἐξέφρασεν αὐτῷ τὴν εἰς πόθον ἤδη διακαῆ μεταβληθεῖσαν αὐτοῦ ἰδέαν, ὅτι ἐπεθύμει ἰδεῖν ἔκδοσιν ὅσον οἷόν τε τελείαν καὶ πλουσίαν τῶν Κατηχήσεων τοῦ ὁμωνύμου αὐτῷ προκατόχου, τοῦ ἐν Ἁγίοις, λέγω, πατρὸς ἡμῶν ΚΥΡΙΛΛΟΥ, Ἀρχιεπισκόπου Ἱεροσολύμων, καὶ ὅτι ἦν προθυμοτάτη καταβαλεῖν πᾶσαν τὴν ἀπαιτουμένην δαπάνην πρός τε τήν, εἴτε ἐξ Εὐρώπης εἴτε ἀλλαχόθεν, μεταφορὰν βοηθημάτων, καὶ πρὸς τὴν πλήρη τοῦ ἔργου ἀποπεράτωσιν. Ὁ δὲ ἀοίδιμος Κλεόπας, ὅστις ἦν τῷ ὄντι ὁ μόνος τότε πρὸς τὸ μέγα καὶ δυσχερὲς τοῦτο ἔργον ἱκανὸς καὶ κατάλληλος, ἀναδέχεται μετὰ μεγάλης τῆς

ἀείμνηστος ἐκεῖνος διδάσκαλος Σαμουὴλ ὁ Κύπριος, εἷς τῶν τότε διασημοτέρων τοῦ ἑλληνικοῦ ἔθνους λογίων. Ἐλθὼν δὲ ὁ Κλεόπας εἰς Κωνσταντινούπολιν, καὶ χειροτονηθεὶς πρεσβύτερος, καταγράφεται ἐν τῷ καταλόγῳ τῶν μαθητῶν τῆς ῥηθείσης Σχολῆς, ἐν ᾗ τοιαύτας ἐποιήσατο προόδους περὶ τὰ μαθήματα, ὥστε ἦν πάντοτε τὸ ἀντικείμενον τῶν ἐπαίνων καὶ τῶν ἐγκωμίων τοῦ διδασκάλου αὐτοῦ Σαμουήλ, ὅστις, ἂν μὴ ἀπατώμεθα, καὶ ἐπωνόμασεν αὐτὸν Κλεόπαν. Τὸ 1842 ἔρχεται ἐξ Ἀθηνῶν εἰς Κωνσταντινούπολιν ὁ ἐν μακαρίᾳ τῇ λήξει γενόμενος διδάσκαλος Κ. Οἰκονόμος ὁ ἐξ Οἰκονόμων, ὅστις ἀκούσας τοὺς ἐπαίνους καὶ τὰ ἐγκώμια τοῦ ἀοιδίμου Κλεόπα, πείθει τὴν Αὐτοῦ Πανιερότητα, τὸν ἅγιον Θαβωρίου, ἵνα ἀποστείλῃ αὐτὸν εἰς Ἀθήνας πρὸς τελειοτέραν παίδευσιν. Τρία δ' ἔτη διατρίψας ὁ Κλεόπας ἐν Ἀθήναις, αἰσθάνεται ἐν ἑαυτῷ γεννώμενον μέγαν ζῆλον πρὸς ἐπίσκεψιν καὶ τῶν δοκιμωτέρων τῆς Γερμανίας Πανεπιστημίων. Μεταβαίνει λοιπὸν εἰς τὴν Εὐρώπην δαπάνῃ τοῦ ἱεροῦ Κοινοῦ τοῦ Παναγίου Τάφου, καὶ φοιτήσας ἐπὶ τρία ὁλόκληρα ἔτη εἰς τὰ δοκιμώτερα τῆς Γερμανίας (τὸ ἐν Λειψίᾳ καὶ τὸ ἐν Βερολίνῳ) Πανεπιστήμια, ἐπιστρέφει, κατὰ Ὀκτώβριον τοῦ **1848**, εἰς Κωνσταντινούπολιν, ἔνθα ἄρχεται τῆς ἐκδόσεως τῆς Ἱεροσολυμιάδος αὐτοῦ, ἧς μικρὸν μόνον μέρος ἐκδούς, γνωσιμαχεῖ, καὶ τὴν ἁγίαν καὶ Μεγάλην ἑβδομάδα τοῦ **1849** ἔρχεται εἰς Ἱερουσαλήμ, ἔνθα λαμβάνει τὴν ἐπιστασίαν καὶ τὴν διεύθυνσιν τῆς ἐκεῖ μέχρι τότε μικρᾶς καὶ ἀσημάντου Σχολῆς. Ἑπτὰ δὲ ὁλόκληρα ἔτη τὴν ἐν Ἱεροσολύμοις Σχολὴν δι-

προθυμίας ἵνα ἐκπληρώσῃ τὸν διακαῆ τῆς Α. Θ. Μακαριότητος πόθον, καὶ ἀμέσως ἄρχεται, καίπερ ὑπὸ πλείστων ὅσων περιστοιχούμενος σχολειακῶν ἀσχολιῶν, μετὰ μεγάλης τῆς ἐπιμονῆς καὶ τῆς δραστικότητος συναθροίζειν τὴν πρὸς τὴν νέαν τῶν Κατηχήσεων ἔκδοσιν ἀπαιτουμένην ὕλην. Ἀλλά, δυστυχῶς, μόλις ἡ ἐργασία αὕτη προχωρεῖ ἱκανόν, καὶ κατ' ἀρχὰς μὲν ὑποχαλᾶται ὑπὸ χρονίας τοῦ χαλκεντέρου ἐκείνου διδασκάλου ἀσθενείας, εἶτα δὲ καὶ διακόπτεται ἐντελῶς ὑπὸ τοῦ πικροῦ καὶ ἀμειλίκτου τοῦ θανάτου δρεπάνου.

οικήσας καὶ οὐ μικρὸν καὶ αὐτὸς πρὸς τὴν πρόοδον καὶ τὴν ἀνάπτυξιν αὐτῆς συντελέσας, ἀναδείκνυται Ἀρχιμανδρίτης τοῦ Ἀποστολικοῦ καὶ Πατριαρχικοῦ Θρόνου τῶν Ἱεροσολύμων. Ἀλλ' αἴφνης καὶ ἀπροσδοκήτως, γαργαλισθείς, ὡς φαίνεται, ὑπὸ τοῦ κλέους καὶ τῆς δόξης τῆς πανεπιστημιακῆς Καθηγεσίας, παραιτεῖται ἀπὸ τῆς διευθύνσεως τῆς Ἱεροσοσολυμιάδος Σχολῆς, καὶ παρὰ τὴν θέλησιν τοῦ Μακαριωτάτου Πατριάρχου τῶν Ἱεροσολύμων, καὶ μεταβαίνει εἰς Ἀθήνας, ἔνθα διορίζεται τακτικὸς Καθηγητὴς τῆς Ὀρθοδόξου Χριστιανικῆς Θεολογίας ἐν τῷ Ὀθωνείῳ Πανεπιστημίῳ. Διδάξας δὲ ἐπὶ ἓν ἔτος μετὰ πολλῆς ἱκανότητος καὶ ἐπιτυχίας ἐν τῷ εἰρημένῳ Πανεπιστημίῳ, ἀλλά, δυστυχῶς, ὑπὸ τοῦ ἀρξαμένου ἤδη κατατρύχειν αὐτὸν χρονίου πάθους ἀναγκασθείς, ἐγκαταλιμπάνει καὶ τὰς κλεινὰς Ἀθήνας καὶ ἔρχεται εἰς Κωνσταντινούπολιν. Ἀλλὰ τοῦ πάθους ἐπὶ τὰ χείρω προβαίνοντος, ὁ ἀοίδιμος Κλεόπας, κατὰ συμβουλὴν ἀτομικῶν ἑαυτοῦ φίλων, καί περ λιπαρῶς αὐτὸν ἀποτρέποντος τοῦ Μακαριωτάτου, μεταβαίνει εἰς Κύπρον, ἔνθα μετὰ πολλῆς τῆς ἐπιμονῆς καὶ τῆς δραστικότητος ἀσχολεῖται περὶ τὴν συμπλήρωσιν καὶ τὴν ἀποπεράτωσιν τῆς προκειμένης τῶν Κατηχήσεων τοῦ ἱεροῦ Κυρίλλου ἐκδόσεως. Ἀλλὰ τρία περίπου ἔτη διατρίψας ἐν Κύπρῳ καὶ ἀντ' ὠφελείας βλαβεὶς μᾶλλον τὴν ὑγείαν, ἐπανακάμπτει καὶ πάλιν εἰς Κωνσταντινούπολιν, ἵνα ἀποθάνῃ, ὡς φαίνεται, ἐν τοῖς κόλποις τοῦ πνευματικοῦ αὐτοῦ πατρὸς καὶ εὐεργέτου, τοῦ Μακαριωτάτου Πατριάρχου τῶν Ἱεροσολύμων. Καί τοι δὲ οἱ ἐξοχώτεροι τῶν ἰατρῶν τῆς Κωνσταντινουπόλεως μεγάλους κατέβαλον πόνους καὶ προσπαθείας πρὸς θεραπείαν αὐτοῦ, ἅπαντες δ-

Ἐκδημήσαντος δὲ πρὸς Κύριον τοῦ ἀοιδίμου Κλεόπα, τὰ χειρόγραφα τῆς νέας τῶν Κατηχήσεων ἐκδόσεως ἐπιμελῶς συναχθέντα ἐφυλάττοντο, ὡς ἄλλα κειμήλια, μέχρις οὗ εὑρεθῇ εὐκαιρία κατάλληλος πρὸς τὴν τοῦ πολυμόχθου ἔργου ἀποπεράτωσιν. Ὁ κλῆρος τῆς ἀποπερατώσεως ἔπεσεν ἐφ' ἡμᾶς· καθ' ὅ,τι ἅμα τὸ **1862** ἐπανήλθομεν ἐξ Εὐρώπης, ἡ Α. Θ. Μακαριότης μετὰ μεγάλης τῆς συγκινήσεως ἐξέφρασεν ἡμῖν τὸν διακαῆ Αὐτῆς πρὸς τὴν ἀποπεράτωσιν τῆς ἐκδόσεως τῶν Κατηχήσεων πόθον, ἐπειποῦσα μάλιστα καὶ «ὅτι ἐπεθύμει ἰδεῖν τετελεσμένον τὸ ἔργον τοῦτο, πρὶν ἢ καταβῇ εἰς τὸν τάφον». Τὸ τῆς εὐγνωμοσύνης καθῆκον οὐδόλως ἐπέτρεπεν ἡμῖν ἵνα ἀποῤῥίψωμεν

μως οἱ κόποι καὶ αἱ προσπάθειαι αὐτῶν πρὸς οὐδὲν ἄλλο συνετέλεσαν, ἢ πρὸς τὸ παρατεῖναι τὰς τελευταίας ἡμέρας ζωῆς ἐπωδύνου καὶ ἐπαχθοῦς, μέχρις οὗ τέλος πάντων ἐπέστη καὶ ὁ καιρὸς, καθ' ὃν καὶ πᾶσα ἰατρικὴ προσπάθεια ἔμελλεν ἀποβῆναι ματαία καὶ ἀνωφελής. Καὶ ἐξεδήμησε λοιπὸν πρὸς Κύριον (τῇ 6 Μαΐου **1861**) ὁ σοφὸς καὶ ἐνάρετος διδάσκαλος, λύπην ἀπαραμύθητον καταλιπὼν οὐ μόνον τῷ Μακαριωτάτῳ ἡμῶν Πατρὶ καὶ Πατριάρχῃ, ἀλλὰ καὶ συμπάσῃ τῇ ἱερᾷ τῶν Ἁγιοταφιτῶν Ἀδελφότητι. Ἐκτὸς τῶν πολλῶν καὶ μεγάλων πόνων, οὓς ὁ ἀοίδιμος Κλεόπας κατέβαλε περὶ τὴν προκειμένην τῶν Κατηχήσεων τοῦ Ἱεροῦ Κυρίλλου ἔκδοσιν, ἐνησχολήθη, ὡς ἠκούσαμεν, μετὰ πολλοῦ τοῦ ζήλου καὶ μετὰ μεγάλης τῆς ἀφοσιώσεως καὶ περὶ τὴν Γεωγραφίαν τῆς ἁγίας Γῆς, ἣν οὐ διέλιπε κατὰ τὴν ἑπταετῆ αὐτοῦ διατριβὴν ἀκριβῶς τε ἅμα καὶ ἐπισταμένως περιηγούμενος. Κατὰ δὲ τὰς διαβεβαιώσεις πολλῶν ὁ ἀοίδιμος Κλεόπας συνέγραψε καὶ τρίτομον σύγγραμμα, τὰ ἐξαγόμενα τῆς ἀκαμάτου αὐτοῦ φιλοπονίας περιλαμβάνον καὶ περὶ τῆς ἁγίας Γῆς πραγματευόμενον, ὅπερ ὅμως, πρὸς μεγίστην τῆς ἐθνικῆς ἡμῶν φιλολογίας ζημίαν, ἀπώλετο ζῶντος ἔτι αὐτοῦ, κλαπὲν, ὡς λέγεται, ὑπὸ μιαρᾶς καὶ βεβήλου χειρός. Ἀλλὰ τὸ ἐφ' ἡμῖν ὅμως ἐπέχομεν περὶ τούτου, ὡς μηδὲν μηδέποτε περὶ τοιούτου συγγράμματος ἀκούσαντες ἀπὸ στόματος τοῦ ἀοιδίμου, καί περ μακρὸν αὐτῷ συγγενόμενοι χρόνον.

συγκινητικωτάτην πρότασιν γηραιοῦ καὶ σεβασμίου πατρὸς καὶ εὐεργέτου, ἄλλως τε καὶ ὑπὸ τηλικούτου πρός τε τὴν δόξαν τῆς Ὀρθοδόξου ἡμῶν Ἐκκλησίας καὶ πρὸς τὴν εὔκλειαν τοῦ Ἔθνους ἡμῶν κατατρωγομένου ζήλου. Καίτοι δὲ ἀφ' ἑνὸς μὲν περιεστοιχούμεθα ὑπὸ πολλῶν καὶ ποικίλων σχολειακῶν ἐργασιῶν, ἀφ' ἑτέρου δὲ ἐβλέπομεν ἐνώπιον ἡμῶν πολλὰς καὶ μεγάλας δυσχερείας, ἀπεδεξάμεθα μέντοι τὴν πρότασιν τῆς Α. Θ. Μακαριότητος, φρονοῦντες ὅτι ἀποτίννυμεν οὕτως ἐλάχιστον φόρον τῆς πρὸς Αὐτὴν ἀπείρου ἡμῶν εὐγνωμοσύνης.

Ἀναδεξάμενοι δὲ τὴν ἀποπεράτωσιν τῆς τῶν Κατηχήσεων τοῦ ἱεροῦ ΚΥΡΙΛΛΟΥ ἐκδόσεως, πρώτιστον καὶ κυριώτατον ἡμῶν καθῆκον ἐθεωρήσαμεν ἵνα, ὡς πιστοὶ ἐκδόται, διατηρήσωμεν ἄθικτα καὶ ἀκέραια τὰ τοῦ ἀοιδίμου αὐτῶν Σχολιαστοῦ χειρόγραφα, μήτε προστιθέντες μήτε ἀφαιροῦντές τι, πλὴν εἰ μή που μεγίστη ἀνάγκη τοῦτο ἐκάλει. Ἐκ τῆς ἀρχῆς ταύτης ὁρμώμενοι ἐζητήσαμεν ἐφεξῆς ἀνακαλύψαι, εἰ δυνατόν, ἐκ τῶν ποικίλων καὶ ἐν πολλοῖς συγκεχυμένων (*) χειρογράφων χειραγωγούμενοι, τὸ σχέ-

(*) Τοιαύτη σύγχυσις ὑπῆρχεν ἐν τοῖς χειρογράφοις, ὥστε καὶ αὐτοὶ οἱ ἀντιγραφεῖς, καίπερ οὐκ ἄμοιροι παιδείας τε καὶ εὐφυΐας, περιήρχοντο πολλάκις εἰς ἀμηχανίαν, ἕνεκα τῶν ἀλλεπαλλήλων μάλιστα προσθηκῶν, ὧν πολλαὶ πολλάκις ἀσυνδέτως καὶ ἀσχέτως ἔκειντο. Ἀλλὰ τὴν πρώτην ταύτην καὶ ἀρχικὴν σύγχυσιν ἐπηύξησαν συνθηματικοί τινες ὅροι ἢ αἰνιγματώδεις παραπομπαί, πλειστάκις ἐν τῷ πρώτῳ καὶ ἀρχικῷ χειρογράφῳ ἀπαντώμεναι (οἷον ἔχ. σημ. καὶ σημ. ἀριθ. 1, 2, 3, 4 κτλ.). Μακρὸν δὲ χρόνον ἀγωνισάμενοι ἵνα μαντεύσωμεν, εἰ δυνατὸν, τοὺς σκοτεινοὺς καὶ ἀσαφεῖς τούτους ὅρους, ἀνεκαλύψαμεν τέλος μετὰ βίας καὶ μόλις, ὅτι ἐκτὸς τοῦ πρώτου καὶ ἀρχικοῦ χειρογράφου ὑπῆρχε καὶ ἕτερον σημειωματάριον, ἀναπληρώσεις καὶ ἐπεξεργασίας τῶν ἐν ἐκείνῳ σημειώ-

διον, ὅπερ ὁ ἀοίδιμος Σχολιαστὴς ἔμελλεν ἀκολουθῆσαι ἐν τῇ ἐκδόσει τῶν Κατηχήσεων. Κατὰ τὰ φαινόμενα σκοπὸν εἶχεν οὗτος ἀναδεῖξαι ὅσον οἷόν τε τελείαν καὶ παρ' ἡμῖν πρωτοφανῆ ἔκδοσιν τῶν Κατηχήσεων τοῦ ἱεροῦ ΚΥΡΙΛΛΟΥ. Ἐκ δύο τελείων Διατριβῶν (τῆς μὲν «περὶ Κατηχουμένων», τῆς δὲ «περὶ θείας Χάριτος» ἐπιγραφομένης) καὶ ἐκ μιᾶς ἡμιτελοῦς (« περὶ Γολγοθᾶ » πραγματευομένης), ναὶ μὴν καὶ ἔκ τινων παραπομπῶν, ἃς ἐνιαχοῦ τῶν σημειώσεων ἀπηντήσαμεν, κατενοήσαμεν ὅτι ἐν τῷ τέλει μιᾶς ἑκάστης τῶν Κατηχήσεων ἔμελλεν ἐπιταχθῆναι Διατριβή, ἐξ αὐτῆς ταύτης τῆς Κατηχήσεως λαμβάνουσα τὸ ἴδιον αὐτῆς θέμα. Ἐξ ἄλλων δὲ πάλιν ἀτελῶν σημειωμάτων, ἅτινα εὕρομεν μεταξὺ τῶν ἄλλων χειρογράφων, συνεπεράναμεν, ὅτι ἐν τέλει τῆς ἐκδόσεως ἔμελλον ἐπιταχθῆναι καὶ δύο φιλολογικοὶ πίνακες, ὁ μὲν περιέχων τὰς διαφόρους φράσεις, ὁ δὲ περιλαμβάνων τὰς διαφόρους ἰδιαζούσας συντάξεις, αἵτινες ἀπαντῶνται ἐν ταῖς Κατηχήσεσι τοῦ Ἱεροῦ ΚΥΡΙΛΛΟΥ. Λυπηρὸν ἀληθῶς, ὅτι ὁ σκληρὸς καὶ ἀδυσώπητος θάνατος ἐφθόνησεν ἡμῖν ἔργον, ὅπερ πάντως ἂν ἦν ταμεῖον ἀκένωτον πολυμαθείας καὶ ἓν τῶν σπουδαιοτάτων καὶ δοκιμωτάτων τῆς νεωτέρας ἑλληνικῆς φιλολογίας, καθ' ὅσον μάλιστα ὁ συγγραφεὺς οὐ μόνον ἐπὶ πολυμαθείᾳ καὶ μεγάλῃ περὶ τὰ ἱερὰ γράμματα δεινότητι καὶ ἐξ ἄλλων ἦν γνωστός, ἀλλὰ καὶ πάντα τὰ πρὸς τὸν σκοπὸν

σεων περιέχον· ἐκτὸς δὲ πάλιν τοῦ σημειωματαρίου τούτου καὶ χάρτινος σάκκος, τεσσαράκοντα περίπου μικρὰ τεμάχια χάρτου περιλαμβάνων, ὧν ἕκαστον περιεῖχε καὶ πάλιν σημείωσιν ἢ ἀναπλήρωσιν σημειώσεως, φέρουσαν τοὺς ἀραβικοὺς ἀριθμοὺς 1, 2, 3 κτλ.

αὐτοῦ ἀναγκαῖα βοηθήματα μετὰ μεγάλης τῆς ἐπιμελείας καὶ πολλῆς τῆς βαθύτητος ἐπὶ δεκαετίαν σχεδὸν ὅλην ἐξεμελέτησε καὶ ἐσπούδασε! Πλὴν ἀλλὰ, καὶ ὅπως ἤδη ἔχει, ἐστὶν οὐχ ἧττον ἔργον πολλῆς καὶ μεγάλης ἀξίας καὶ ἀξιοθαυμάστου τῷ ὄντι πολυμαθείας, καί τοι ἐν πολλοῖς ἀτελὲς τυγχάνει καὶ ἀνεπεξέργαστον (*)· ἡ ἔλλειψις τῶν δέκα καὶ ὀκτὼ διατριβῶν, αἵτινες ἔμελλον πάντως καταστῆσαι τὸ σύγγραμμα λίαν ὀγκῶδες, πολύτομον καὶ τούτου ἕνεκα δυσανάγνωστον, ἐστὶ, καθ' ἡμᾶς, οὐχὶ τοσοῦτον καταφανὴς, ὡς ἀναπληρουμένη ὑπὸ τῶν τὸ κείμενον διασαφηνιζουσῶν Σημειώσεων, αἵτινές εἰσι καὶ αὐταὶ θησαυρὸς τῷ ὄντι πολυειδῶν γνώσεων. Διὸ οὐδόλως ἐδιστάσαμεν ἐκδοῦναι αὐτὸ καὶ οὕτως εἰς φῶς, τὰς ἑξῆς μόνον μικρὰς καὶ ἐπουσιώδεις μεταβολὰς ποιησάμενοι:

Πρῶτον. Τὸ κείμενον τῶν Κατηχήσεων ἐξέδομεν, ὅπως εὕρομεν ἐν τοῖς χειρογράφοις τοῦ ἀοιδίμου Κλεόπα(**), πλὴν ὅτι τὴν δευτέραν Κατήχησιν ἐξέδομεν, διὰ τὸ πληρέστερον, καὶ ὡς ἔχει ἐν τοῖς Κώδηξι Roe, Casaub., Coislin, καὶ

(*) Ἐκ πολλῶν μερῶν τῶν Κατηχήσεων καταφαίνεται τῷ ὄντι τρανώτατα, ὅτι ὁ ἀοίδιμος Σχολιαστὴς σκοπὸν εἶχεν ἵνα ἐπεξεργασθῇ πολλὰς τῶν ὑπὸ ταύτας τεταγμένων σημειώσεων καὶ προσθῇ καὶ ἑτέρας νέας· διότι πολλαχοῦ ἐν τῷ τέλει σημειώσεών τινων εὕρομεν τὸ ἑξῆς: ἡ σημείωσις χρήζει ἐπεξεργασίας· ἀλλαχοῦ δὲ πάλιν ἀντὶ πάσης σημειώσεως ἔκειτο τὸ ἑξῆς: ποίησον σημείωσιν.

(**) Τὸ κείμενον τοῦτο διαφέρει ἐν πολλοῖς τοῦ τῶν ἐκδόσεων, καθ' ὅ,τι ὁ ἀοίδιμος Κλεόπας ἐν τῇ κατὰ Κύπρον αὐτοῦ διατριβῇ εὗρεν, ὡς ἠκούσαμεν, ἐν τῇ βιβλιοθήκῃ τῆς Ἀρχιεπισκοπῆς χειρόγραφόν τι τῶν Κατηχήσεων τοῦ ἱεροῦ Κυρίλλου, ὅπερ πανταχοῦ ἀναφέρει ὑπὸ τὸ ὄνομα Κωδ. Α. (ἤτοι Ἀρχιεπισκοπικός).

Ottobon., ὡς βλέπει ὁ ἀναγνώστης ἐν τῇ ἐκεῖ σημειώσει.

Δεύτερον. Τὰς εἰς τὰς Κατηχήσεις σημειώσεις ἐξέδομεν, ὅπως εὕρομεν, μεθ' ὅσον οἷόν τε πλείστης ἐπιμελείας ἐξετάσαντες καὶ παραβαλόντες τὰ προκείμενα χειρόγραφα καὶ σημειωματάρια, πλὴν ὅτι ἐν τῇ ΙΖ΄. καὶ τῇ ΙΗ. Κατηχήσει, αἵτινες φαίνονται ὅλως ἀνεπεξέργαστοι, ἐκρίναμεν ἀναγκαῖον ἵνα, πρὸς διατήρησιν τῆς τοῦ ὅλου συμμετρίας, προσθῶμεν σημειώσεις τινὰς, φροντίσαντες ὅμως ἵνα διακρίνωμεν αὐτὰς διὰ τῶν λέξεων: Σημείωσις τοῦ Ἐκδότου.

Τρίτον. Τὰς δύο πλήρεις καὶ τελείας Διατριβὰς ἢ Διαλογὰς ἐξέδομεν ἐν τῷ τέλει τοῦ δευτέρου Τόμου, πεποιθότες ὅτι, εἰ καὶ πολλαχοῦ διακεκομμέναι καὶ ἀνεπεξέργαστοί εἰσι, καταδεικνῦσιν ὅμως καὶ οὕτω τηλαυγέστατα τὴν περὶ τὴν Ἐκκλησιαστικὴν Ἱστορίαν καὶ τὰς θεολογικὰς ἐν γένει γνώσεις δεινότητα τοῦ ἀοιδίμου Σχολιαστοῦ.

Τέταρτον καὶ τελευταῖον. Ἐπειδὴ ἐπὶ κεφαλῆς τοιούτου ἔργου ἀνάγκη ἦν ἵνα ἐπιτεθῇ καὶ ὅσον οἷόν τε ἀκριβὴς καὶ λεπτομερὴς βιογραφία τοῦ θείου Πατρὸς, καθ' ὅ,τι ἄλλως τὸ ἔργον εἴη ἂν ἀτελὲς καὶ ἀκέφαλον, ἐζητήσαμεν ἐπιμελῶς ἐν τοῖς χειρογράφοις τοῦ ἀοιδίμου Κλεόπα, μήπως εὕρωμεν τυχὸν βιογραφικόν τι σχεδίασμα, ἀναπληρώσεως μόνον καὶ ἐπεξεργασίας χρῇζον· ἀλλ' ἅπαντα τὰ χειρόγραφα μέχρις ἑνὸς ἀναδιφήσαντες καὶ μηδ' ἴχνος, δυστυχῶς, τοιαύτης ἐργασίας εὑρόντες, συνεπεράναμεν ὅτι ὁ ἀοίδιμος Σχολιαστὴς ἢ κατέλιπε τὸ ἔργον τοῦτο τελευταῖον πάντων, ἢ συνετέλεσε μὲν καὶ τοῦτο, ἀπώλετο μέν τοι μετὰ καὶ ἄλλων ἴσως Διατριβῶν, ἃς προὔ-

τίθετο ἐπιτάξαι, ὡς ἀνωτέρω εἴπομεν, ἐν τῷ τέλει μιᾶς ἑκάστης τῶν Κατηχήσεων. Ἀνελάβομεν λοιπὸν ἡμεῖς ἵνα συντάξωμεν, ὅσον ὁ καιρὸς ἡμῖν ἐπέτρεπε, κατάλληλον βιογραφικὴν Διατριβήν· ἀλλὰ τὴν πρόθεσιν ἡμῶν ταύτην ἀνέκοψεν ἡ ἑξῆς παρατήρησις: Ὁ ἱερὸς τῶν Κατηχήσεων συγγραφεὺς πρὸς ταῖς δέκα καὶ ὀκτὼ Κατηχήσεσιν, ἃς ἀπηύθυνε πρὸς τοὺς Φωτιζομένους, ἤτοι τοὺς μέλλοντας μετ' οὐ πολὺ τοῦ θείου βαπτίσματος ἀξιωθῆναι, ἐξεφώνησε καὶ ἄλλας πέντε πρὸς τοὺς πρὸ μικροῦ τοῦ θείου βαπτίσματος καταξιωθέντας, αἵτινές εἰσι γνωσταὶ ὑπὸ τὸ ὄνομα: Κατηχήσεις Μυσταγωγικαί· ἐκτὸς δὲ τῶν διττῶν τούτων Κατηχήσεων ἀναφέρονται ὑπὸ τὸ ὄνομα αὐτοῦ καὶ ἕτερά τινα συγγράμματα, ὧν τὰ μὲν ἀποδίδονται αὐτῷ, τὰ δὲ ἐκσυρίττονται ὑπὸ τῆς Κριτικῆς ὡς νόθα καὶ ὑποβολιμαῖα. Ἀλλ' ἐν ταῖς ὑπὸ τοῦ ἀοιδίμου Κλεόπα σχολιασθείσαις Κατηχήσεσιν οὔτε περὶ τῶν Μυσταγωγικῶν Κατηχήσεων, οὔτε περὶ τῶν ἄλλων τοῦ ἱεροῦ ΚΥΡΙΛΛΟΥ συγγραμμάτων γίνεται λόγος. Πᾶς τις, πιστεύομεν, τῶν φιλομούσων ἀναγνωστῶν κατανοεῖ, ὅτι ἄνευ τούτων τὸ ὅλον ἔργον ἐστὶν ἀτελές, ἐλλιπὲς καὶ μικρᾶς τιμῆς ἄξιον· ὅπως δὲ καταστῇ τέλειον καὶ πλῆρες, ἀνάγκη ἵνα σχολιασθῶσι τοὐλάχιστον αἱ πέντε Μυσταγωγικαὶ Κατηχήσεις, εἰ μὴ καὶ πάντα τἄλλα συγγράμματα, γνήσιά τε καὶ μή. Τούτων οὖν οὕτως ἐχόντων, καλόν τε ἅμα καὶ ἀναγκαῖον ἐκρίναμεν ἵνα τοῖς δύο μέχρι τοῦδε ἐκδοθεῖσι καὶ τὰς δέκα καὶ ὀκτὼ πρὸς τοὺς Φωτιζομένους Κατηχήσεις περιέχουσι Τόμοις προστεθῇ καὶ ἕτερος τρίτος, περιλαμβάνων τάς τε Μυσταγωγικὰς Κατηχήσεις καὶ τὰ ἕτερα τοῦ ἱεροῦ

ΚΥΡΙΛΛΟΥ συγγράμματα, ἅπαντα ἐσχολιασμένα, ἴσως δὲ καί τισι Διατριβαῖς ἐφωδιασμένα. Ἐν ἀρχῇ τοῦ τρίτου τούτου Τόμου, ὅστις, ἀπ' ἀρχῆς μέχρι τέλους ἡμέτερον ὢν ἔργον, ἐκδοθήσεται μετὰ τὴν ἀποπεράτωσιν αὐτοῦ, ἐκρίναμεν πρόσφορον καὶ κατάλληλον ἵνα προτάξωμεν καὶ τὴν περὶ ἧς ἀνωτέρω εἴπομεν βιογραφικὴν Διατριβὴν, ἥτις μέλλει πραγματεύεσθαι α'.) περὶ τοῦ βίου τοῦ θείου καὶ ἱεροῦ τῶν Κατηχήσεων συγγραφέως· β'.) περὶ Κατηχήσεων, περὶ Κατηχητῶν καὶ περὶ κατηχητικῶν Σχολῶν ἐν γένει· καὶ γ'.) περὶ τῶν ὑπὸ τὸ ὄνομα τοῦ ἱεροῦ Κυρίλλου φερομένων Κατηχήσεων ἰδίως, καὶ περὶ τῶν τούτῳ ἀποδιδομένων ἄλλων συγγραμμάτων.

Τελευτῶντες τὸν παρόντα ἡμῶν σύντομον Πρόλογον, πρῶτον μὲν ἀναγκαῖον κρίνομεν ἵνα ἐπικαλεσώμεθα τὴν ἐπιείκειαν τῶν φιλοθέων ἀναγνωστῶν ἐπί τινων τυπογραφικῶν ἀτελειῶν καὶ ἐλλείψεων, παρατηρουμένων ἐνιαχοῦ τῆς παρούσης ἐκδόσεως, αἵτινες ὅμως δύνανται, πιστεύομεν, δικαιολογηθῆναι, ἅμα ληφθῇ ὑπ' ὄψιν τὸ ἀτελὲς καὶ πρωτόπειρον τοῦ ἐν Ἱεροσολύμοις Ἁγιοταφιτικοῦ Τυπογραφείου περὶ τὴν ἔκδοσιν τοιούτων συγγραμμάτων, οἷον τὸ παρὸν, προερχόμενα ἐκ τοῦ ἀποκέντρου τοῦ τόπου· δεύτερον δὲ χρέος ἡμῶν ἀπαραίτητον θεωροῦμεν ἵνα ἀποδῶμεν καὶ δημοσίᾳ τὴν ἐγκάρδιον ἡμῶν εὐγνωμοσύνην τῷ ἄλλοτε μὲν διδασκάλῳ ἡμῶν χρηματίσαντι, νῦν δὲ ἀγαθῷ συνεργάτῃ ἡμῶν τυγχάνοντι Κ. Λεάνδρῳ Ἀρβανιτάκῃ, Καθηγητῇ τῆς Ἑλληνικῆς καὶ τῆς Λατινικῆς Φιλολογίας ἐν τῇ Θεολογικῇ τῶν Ἱεροσολύμων Σχο-

λῇ, ὅστις ἀτρύτους πόνους κατέβαλε μεθ' ἡμῶν περὶ τὴν ἔκδοσιν τοῦ πρώτου τούτου ἐκ τῶν πιεστηρίων τοῦ ἐν Ἱεροσολύμοις Τυπογραφείου ἐξερχομένου ἐπιστημονικοῦ ἐκγόνου.

Ἔγραφον ἐν τῇ Θεολογικῇ τῶν Ἱεροσολύμων Σχολῇ,

κατὰ μῆνα Φεβρουάριον 1868.

Ὁ Ἐκδότης.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΚΑΤΗΧΗΣΕΙΣ.

ΠΡΟΚΑΤΗΧΗΣΙΣ

ἤτοι πρόλογος τῶν Κατηχήσεων τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Κυρίλλου Ἀρχιεπισκόπου Ἱεροσολύμων.

§. Α΄. Ἤδη μακαριότητος ὀσμὴ¹) πρὸς ὑμᾶς, ὦ φωτιζόμενοι· ἤδη

¹) Ὁ ἱερὸς Κύριλλος δι' ὡραίων μεταφορῶν παρίστησιν ἐνταῦθα τήν τε παροῦσαν κατάστασιν καὶ τὴν μέλλουσαν χάριν τῶν πρὸς τὸ θεῖον βάπτισμα εὐτρεπιζομένων. Νῦν, λέγει, ἔχετε τὴν ὀσμὴν μόνον καὶ οἱονεὶ προαίσθησιν τῆς μακαριότητος, μετὰ δὲ τὸ ἅγιον Βάπτισμα ἕξετε αὐτὴν τὴν μακαριότητα. (Πρβλ. τὴν παρὰ τῷ Εἰρηναίῳ ὁμοίαν μεταφορὰν «ὀσμὴ ἀφθαρσίας» σελ. 46. Τόμ. Α΄.). Νῦν συλλέγετε μόνον τὰ νοητὰ ἄνθη, τουτέστι τὰ φωτεινὰ νοήματα τῶν ἁγίων Γραφῶν, μετὰ δὲ τὸ θεῖον λουτρὸν ἔσεσθε τοῖς ἐκ τῶν ἀνθῶν ἐκείνων στεφάνοις κατεστεμμένοι, καὶ κάλλος ἐπουράνιον ἀπαστράπτοντες. Νῦν πνέει εὐωδία μόνον τοῦ Πνεύματος, οἱονεὶ προμηνύουσα τὴν ἔλευσιν καὶ προσέγγισιν αὐτοῦ τοῦ ἐπουρανίου καὶ ἀκενώτου μύρου, οὗ ἡ ἄφατος χάρις καὶ δωρεὰ κατερχομένη, καθαροὺς καὶ μυριπνόους ἀπεργάζεται τοὺς βαπτιζομένους. Νῦν περὶ τὴν πρόαυλιν τῶν βασιλείων στρέφεσθε, μετὰ δὲ τὸ βάπτισμα καὶ τὴν παλιγγενεσίαν εἰσαχθήσεσθε εἰς αὐτὰ τὰ βασίλεια, τουτέστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Οὕτω καὶ ὁ ἱερὸς Χρυσόστ. (Ὁμιλ. Γ΄. εἰς τὴν πρὸς Φιλιππ. Ἐπις.) λέγει, ὅτι οἱ χωρὶς φωτίσματος καὶ χωρὶς σφραγῖδος μένοντες «ἔξω τῶν βασιλείων εἰσίν». Ἔξω «τῶν βασιλικῶν αὐλῶν καὶ πόῤῥω τῶν ἱερῶν περιβόλων» ἑστηκότας τίθησι τοὺς Κατηχουμένους ὁ αὐτὸς Χρυσόστ. καὶ ἀλλαχοῦ (Ὁμιλ. Β΄. εἰς τὴν Β΄ πρὸς Κορινθ.). Ἔξω τοῦ Παραδείσου ἵσταται ὁ Κατηχούμενος κατὰ τὸν Γρηγόριον Νύσσης· «ἔξω τοῦ Παραδείσου τυγχάνει ὁ Κατηχούμενος κοινωνῶν τῆς ἐξορίας τῷ Ἀδὰμ τῷ προπάτορι» (Τόμ. Β΄. σελ. 216.). Πρὸς δὲ τοὺς πρὸς τὸ φώτισμα εὐτρεπιζομένους λέγει· «Οὐ γὰρ εἰς ἀρχὴν ἄγεσθαι μέλλετε ψιλήν, ἀλλ' εἰς βασιλείαν αὐτήν· μᾶλλον δὲ οὐκ εἰς βασι-

τὰ νοητὰ ἄνθη συλλέγετε [1]) πρὸς πλοκὴν ἐπουρανίων στεφάνων· ἤδη τοῦ Πνεύματος τοῦ ἁγίου ἔπνευσεν ἡ εὐωδία [2])· ἤδη περὶ τὴν πρόαυλιν τῶν βασιλείων γεγόνατε· γένοιτο δὲ ἵνα καὶ ὑπὸ τοῦ βασιλέως εἰσαχθῆτε· ἄνθη γὰρ νῦν ἐφάνη τῶν δένδρων· γένοιτο δὲ ἵνα καὶ ὁ καρπὸς τέλειος ᾖ [3]). Ὀνοματογραφία τέως ὑμῖν γέγονε [4]), καὶ στρατείας κλῆ-

λείαν ἁπλῶς, ἀλλ' εἰς αὐτὴν τῶν οὐρανῶν τὴν βασιλείαν» (Τόμ. Β'. σελ. 266.). Φησὶ δὲ καὶ ὁ θεῖος Γρηγόριος ὁ Θεολόγος (Λόγῳ Μ'.)· «Ἕως εἶ Κατηχούμενος, ἐν προθύροις εἶ τῆς εὐσεβείας· εἴσω γενέσθαι σε δεῖ, τὴν αὐλὴν διαβῆναι, τὰ ἅγια κατοπτεῦσαι, εἰς τὰ ἅγια τῶν ἁγίων παρακύψαι, μετὰ τῆς Τριάδος γενέσθαι». Περὶ δὲ τῆς λέξεως φωτιζόμενοι, καὶ τί αὕτη σημαίνει, ὅρα ἐν τῇ περὶ τῶν Κατηχουμένων Διαλογῇ.

[1]) Ἐν τοῖς Κώδ. R. C. κεῖται «συνελέχθησαν» ἀντὶ, «συλλέγετε». «Προφητικῶν λογίων μυστικὰ ἄνθη» εἶπε Γρηγ. ὁ Νύσ. (Λόγ. εἰς τὴν Ὑπαπαν.)· «οὐρανίων ἀνθῶν κάλλει πεποικιλμένον λειμῶνα» ἐκάλεσε τὴν Ἐκκλησίαν καὶ ὁ ἱερὸς Ἀμφιλόχιος (Λόγ. εἰς τὰ Γενέθλ. τοῦ Χριστοῦ)· «ἄνθη τοῦ προφητικοῦ καὶ ἀποστολικοῦ λειμῶνος» εἶπε τὰ νοήματα τῶν Γραφῶν Κλήμ. ὁ Ἀλεξανδρ. (Στρωμ. ά. κεφ. 1.)· «ἀκήρατα ἄνθη τῶν πνευματικῶν τῆς Γραφῆς λειμώνων» εἶπεν αὐτὰ καὶ Ἀνδρέας ὁ Κρήτης (Ἐγκώμ. εἰς τὸ Γενέθλ. τῆς Θεοτόκου)· «ἄνθος τοῦ πνεύματος» λέγει Κλήμης ὁ Ἀλεξανδρεὺς (Παιδαγ. β'. §. 12.)· «ἄνθη τοῦ Θεοῦ», λέγει ὁ αὐτὸς (Παιδαγ. γ'. 12.), «οὐράνια ἄνθη» λέγει τοὺς Μάρτυρας ὁ Μ. Βασίλειος (Τόμ. Β'. σελ. 198.)· «ἄνθη» λέγονται καὶ αἱ ἀρεταὶ (Γρηγόρ. Νύσ. Ὁμιλ. Ἑ. εἰς τὸ Ἆσμα)· «εὐώδη ἄνθη» ἐκάλεσε τοὺς ὁσίους ὁ Θεοδώρητος (Φιλόθ. Ἱστορ. δ'.).

[2]) «Ἀποστολικαῖς καὶ ἀχράντοις ἀποφοραῖς εὐωδιάζοντα λειμῶνα» εἶπε τὴν Ἐκκλησίαν ὁ Ἀμφιλόχιος (Λόγ. εἰς τὰ Γενέθλ. τοῦ Χριστοῦ).

[3]) Αἱ λέξεις «τέλειος ᾖ» ἐλλείπουσιν ἐκ τοῦ Κώδ. R. C. ἀλλὰ τότε πρέπον ἐστὶν, ἵνα ἐξοβελισθῇ καὶ ὁ «ἵνα», ὥσπερ ἀληθῶς ἐλλείπει καὶ οὗτος ἐκ τοῦ βασιλικοῦ λεγομένου Κώδηκος, ἐν ᾧ κεῖται τὸ ἁπλούστατον· «γένοιτο καὶ ὁ καρπός».

[4]) Τὴν ὀνοματογραφίαν ταύτην ἀναφέρει ὁ ἱερὸς Κύριλλος καὶ κατωτέρω §. 4. «ὄνομά σου ἐνεγράφη», καὶ §. 13· «οἱ ἀπογραφέντες ὅταν εἰσέλθητε»· καὶ Κατήχ. Γ'., 2. «τινὰ τῶν ὀνοματογραφηθέντων». Ὅτε οἱ Κατηχούμενοι, ἐφ' ἱκανὸν ἤδη χρόνον προκαταρτισθέντες, ἐβούλοντο βαπτισθῆναι, ὤφειλον πρὸ τεσσαράκοντα ἢ τριάκοντα ἡμερῶν ἐμφανισθῆναι τοῖς ἱερεῦσι καὶ τὰ ὀνόματα αὐτῶν δοῦναι· μετὰ δὲ ταύτην τὴν ὀνοματογραφίαν, συνήθως ἐν ἀρχῇ τῆς μεγάλης Τεσσαρακοστῆς γινομένην, ἐκαλοῦντο οὐχὶ πλέον κατηχούμενοι, ἀλλὰ βαπτιζόμενοι, ἢ φωτιζόμενοι· καθ'

σις [1]), καὶ νυμφαγωγίας λαμπάδες [2]), καὶ οὐρανίου πολιτείας ἐπιθυ-

ὅλον δὲ τοῦτο τὸ διάστημα, τὸ ἀπὸ τῆς ἐγγραφῆς τοῦ ὀνόματος μέχρι τοῦ βαπτίσματος, λιπαρῶς καὶ ἀνενδότως παρέμενον ταῖς Κατηχήσεσι, καὶ διετέλουν νηστείαις καὶ προσευχαῖς σχολάζοντες, καὶ εἰς τοὺς ἐξορκισμοὺς φοιτῶντες, καὶ τὰ λοιπὰ τὰ πρὸς τὸ βάπτισμα ἀναγκαῖα ποιοῦντες. Περὶ τῆς ἐγγραφῆς ταύτης τοῦ ὀνόματος, καὶ πότε αὕτη ἐγίνετο, καὶ πῶς, πλατύτερον διελάβομεν ἐν τῇ ἡμετέρᾳ περὶ τῶν Κατηχουμένων Διαλογῇ.

[1]) Οἱ μὲν ἐν τῇ τάξει τῶν Κατηχουμένων ἔτι τελοῦντες καὶ πρὸς τὸ φώτισμα ἐπειγόμενοι καλοῦνται μόνον εἰς τὴν στρατείαν· οἱ δὲ τῷ θείῳ βαπτίσματι ἀναγεννηθέντες εἰσὶν ἀπηρτισμένοι στρατιῶται τοῦ Ἰησοῦ Χριστοῦ· ἡ τελεία λοιπὸν στρατολογία γίνεται ἐν τῷ ἁγίῳ Βαπτίσματι Κατήχ. Γ΄., 3. Κατήχ. Δ΄., 37 καὶ Κατήχ. Α΄., 3. « Ἀρέσκετε, ᾧ στρατεύεσθε, ἀφ᾽ οὗ καὶ τὰ ὀψώνια κομίσεσθε· μή τις ὑμῶν δεσέρτωρ εὑρεθῇ » (Ἰγνάτ. Ἐπιστ. πρὸς Πολύκαρπον). « Στρατεύεσθε οὖν ἀδελφοὶ, λέγει καὶ ὁ ἱερὸς Κλήμης ὁ Ῥώμης, μετὰ πάσης ἐκτενείας ἐν τοῖς ἀμώμοις προστάγμασιν αὐτοῦ » (Ἐπιστ. Α΄. πρὸς Κορινθ.). Ὄντως δὲ στρατεία ἐστὶν ὁ τοῦ ἀληθινοῦ χριστιανοῦ βίος. Τοῖς ὅπλοις τῆς δικαιοσύνης περιπεφραγμένος, καὶ τῷ σθένει τοῦ Θεοῦ περιεζωσμένος, παλαίει εὐθαρσῶς ὁ χριστιανὸς πρὸς τὰς ἀντικειμένας δυνάμεις καὶ πρὸς τὰς μεθοδείας τοῦ διαβόλου. Τὸν στρατιωτικὸν δὲ τοῦτον ἀγῶνα ἀναλαμβάνει ὁ χριστιανὸς ἅμα ἐξέλθῃ ἐκ τῶν ζωοποιῶν ναμάτων τῆς ἱερᾶς Κολυμβήθρας καὶ σφραγισθῇ τῇ σφραγῖδι τοῦ μυστικοῦ χρίσματος. « Μετὰ τὸ ἱερὸν Βάπτισμα, λέγει ὁ θεῖος Πατὴρ, καὶ τὸ μυστικὸν χρίσμα, ἐνδεδυμένοι τὴν πανοπλίαν τοῦ ἁγίου Πνεύματος, ἵστασθε πρὸς τὴν ἀντικειμένην δύναμιν, καὶ ταύτην καταγωνίζεσθε » (Κατήχ. ΚΑ΄. 4.). Πρὸς τοὺς φωτιζομένους ὁμιλῶν καὶ ὁ θεῖος Χρυσόστομος λέγει· « Μάθωμεν ἐντεῦθεν ἤδη περιγενέσθαι τοῦ πονηροῦ Δαίμονος ἐκείνου· πρὸς γὰρ ἐκεῖνον ἀποδύεσθαι μέλλομεν μετὰ τὸ βάπτισμα, πρὸς ἐκεῖνον πυκτεύειν καὶ μάχεσθαι » (Τόμ. Β΄. σελ. 272). Ἀξιάγαστά εἰσι καὶ ὅσα ἀλλαχοῦ περὶ τοῦ πολέμου τούτου κελαδεῖ ἡ τοῦ Χρυσοῤῥήμονος γλῶττα· « Στρατιώτας ἡμᾶς ὁ Χριστὸς εἶναι βούλεται καὶ γενναίους καὶ ἀθλητὰς, ἵνα βάλλωμεν τὰς ἀοράτους δυνάμεις τὰς ἀντικειμένας ἡμῖν, ἵνα πλήττωμεν τὸν στρατηγοῦντα αὐταῖς Διάβολον, ἵνα ἐλαύνωμεν τὰς ἀγρίας τῶν Δαιμόνων φάλαγγας, ἵνα κατασκάπτωμεν αὐτῶν τὰ ὀχυρώματα, ἵνα τὰς ἐξουσίας τοῦ κοσμοκράτορος τοῦ σκότους δήσαντες αἰχμαλώτους ἀγάγωμεν, ἵνα τὰ πνευματικὰ τῆς πονηρίας φυγαδεύσωμεν, ἵνα πῦρ πνέωμεν, ἵνα πρὸς καθημερινοὺς θανάτους ἕτοιμοι ὦμεν καὶ παρεσκευασμένοι » (Τόμ. Α΄. σελ. 298. ἐκδ. β΄.).

[2]) Νυμφίος τῶν καθαρῶν ψυχῶν ἐστιν ὁ Χριστός· νυμφαγωγοὶ δὲ οἱ

μία, καὶ πρόθεσις ἀγαθὴ, καὶ ἐλπὶς ἐπακολουθοῦσα. Ἀψευδὴς γὰρ ὁ εἰπὼν ὅτι «Τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν» [1])· ὁ μὲν Θεὸς δαψιλής ἐστιν εἰς εὐεργεσίαν, περιμένει δὲ ἑκάστου τὴν γνησίαν προαίρεσιν [2])· διὰ τοῦτο ἐπήγαγεν ὁ Ἀπόστολος λέγων· «Τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσι» [3]). Ἡ πρόθεσις γνησία οὖσα, κλητόν σε ποιεῖ· κἂν γὰρ τὸ σῶμα ὧδε ἔχῃς, τὴν δὲ διάνοιαν μὴ ἔχῃς, οὐδὲν ὠφελῇ.

§. Β΄. Προσῆλθέ ποτε καὶ Σίμων τῷ λουτρῷ ὁ μάγος, ἐβαπτίσθη, ἀλλ᾽ οὐκ ἐφωτίσθη· καὶ τὸ μὲν σῶμα ἔβαψεν ὕδατι, τὴν δὲ καρδίαν οὐκ ἐφώτισε Πνεύματι [4])· καὶ κατέβη μὲν τὸ σῶμα καὶ ἀνέβη, ἡ δὲ

διδάσκοντες, καὶ νυμφαγωγία ἡ τελετὴ τοῦ ἁγίου Βαπτίσματος, καθ᾽ ἣν γίνεται ἡ πνευματικὴ συνάφεια· «Οὐδεὶς ἄλλος ἐστὶ νυμφίος, λέγει ὁ Θεοφύλακτος (εἰς Ἰωάν. κεφ. γ΄.), εἰ μὴ μόνος ὁ Χριστός· πάντες δὲ οἱ διδάσκαλοι νυμφαγωγοί εἰσι». Φησὶ δὲ καὶ ὁ Μ. Βασίλειος (περὶ τοῦ ἁγίου Πνεύματος κεφ. ή.)· «Ὅταν τὴν ἄμωμον ψυχὴν, τὴν μὴ ἔχουσαν σπῖλον ἢ ῥυτίδα, ὡς ἁγνὴν παρθένον ἑαυτῷ παραστήσηται, νυμφίος προσαγορεύεται». Λαμπάδες δὲ νυμφαγωγίας εἰσὶν ἐκεῖναι, ἃς οἱ νεοφώτιστοι φέρουσιν ὡς σύμβολα τῆς θείας φωταγωγίας (Γρηγ. Ναζιανζ. Λόγ. Μ΄.).

[1]) Φιλ. γ΄. 20.

[2]) «Οὐ γὰρ ἀνάγκῃ καὶ βίᾳ ποιεῖν ἀγαθοὺς εἴωθεν ὁ Θεὸς, οὐδὲ ἡ ἐκλογὴ αὐτοῦ καὶ ἡ αἵρεσις βιαστικὴ τῶν καλουμένων ἐστὶν, ἀλλὰ προτρεπτική. Καὶ ἵνα μάθῃς ὅτι οὐ βιάζεται ἡ κλῆσις, σκόπει πόσους συνέβη τῶν κληθέντων ἀπολέσθαι. Ὅθεν φανερὸν ὅτι καὶ ἐν τῇ γνώμῃ κεῖται τῇ ἡμετέρᾳ τὸ σωθῆναι καὶ ἀπολέσθαι». Φησὶ δὲ καὶ ὁ θεῖος Χρυσόστομος· «Ἡ γὰρ χάρις καὶ ὁ ἔλεος, κἂν χάρις ᾖ καὶ ἔλεος, ἀλλὰ τοὺς βουλομένους καὶ χάριν ἔχοντας σώζει, οὐ τοὺς ἀφηνιῶντας καὶ μὴ βουλομένους δέξασθαι τὴν δωρεάν». (εἰς Ψαλμ. Ἑ.). Καὶ ἀλλαχοῦ· «Ἡ γὰρ χάρις, εἰ μὴ τὰ παρ᾽ ἡμῶν πρότερον ἐζήτει, ἀθρόως ἂν εἰς τὰς ἁπάντων ἐξεχύθη ψυχάς· οὐ γὰρ ἔστι προσωπολήπτης ὁ Θεός· ἐπειδὴ δὲ καὶ τὰ παρ᾽ ἡμῶν ζητεῖ, διὰ τοῦτο τοῖς μὲν ἕπεται καὶ παραμένει, τῶν δὲ ἀφίπταται· εἰς δὲ τοὺς λοιποὺς οὐδὲ τὴν ἀρχὴν καθικνεῖται» (Τόμ. Α΄. σελ. 169. ἐκδ. δ΄.).

[3]) Ῥωμ. ή. 28.

[4]) Διότι οὔτε τὴν καρδίαν εἶχεν ὀρθὴν, οὔτε τὸν λογισμὸν, καθά φησιν ὁ ἱερὸς Ἐπιφάνιος (Τόμ. Α΄. σελ. 55.)· «Ἐπειδὴ γὰρ ὁ Φίλιππος διάκονος ὢν οὐκ εἶχεν ἐξουσίαν τῆς χειροθεσίας τοῦ δι᾽ αὐτῆς διδόναι Πνεῦμα ἅγιον· οὐκ ὀρθὴν δὲ ὁ Σίμων ἔχων τὴν καρδίαν, οὔτε τὸν λογισμὸν, αἰσχροκερδείᾳ δέ τινι καὶ φιλοχρημοσύνῃ προσανέχων, καὶ τῆς μοχθηρᾶς

ψυχὴ οὐ συνετάφη Χριστῷ, οὐδὲ συνηγέρθη [1]). Ἐγὼ δὲ λέγω τὰς ὑπογραφὰς τῶν πτωμάτων, ἵνα μὴ σὺ πέσῃς [2])· ταῦτα γὰρ τυπικῶς ἐγίνετο ἐκείνοις, γέγραπται δὲ πρὸς νουθεσίαν τῶν μέχρις σήμερον προσερχομένων. Μή τις ὑμῶν εὑρεθῇ πειράζων τὴν χάριν· μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ· μή τις ὑμῶν εἰσέλθῃ λέγων· Ἄφες, ἴδωμεν τί ποιοῦσιν οἱ πιστοί· εἰσελθὼν εἴδω, ἵνα μάθω τὰ γινόμενα [3]).

αὐτοῦ ἐπιτηδεύσεως ἐκτὸς βαίνων οὐδαμῶς, προσέφερε χρήματα Πέτρῳ τῷ Ἀποστόλῳ, ὅπως δώῃ αὐτῷ ἐξουσίαν ἐν τῇ ἐπιθέσει τῶν χειρῶν Πνεῦμα ἅγιον παρέχειν». Αὐτὸ τοῦτο τοῦ Σίμωνος τὸ παράδειγμα εἰς μέσον προτιθεὶς καὶ ὁ ἱερὸς Χρυσοῤῥήμων φησί· «Λέγω δὲ τὸ παράδειγμα, ἵνα ἰδόντες τὸ πτῶμα ἀσφαλίσησθε τὴν ἑαυτῶν σωτηρίαν· οὐ γὰρ ἀπὸ τῶν ἑστώτων ὑμᾶς μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ὑπεσκελισμένων διορθοῦσθαι χρὴ καὶ θεραπεύειν» (Τόμ. Γ'. σελ. 70.).

[1]) Μετὰ τὸ, «συνηγέρθη», ἐπακολουθοῦσι ταῦτα ἐν τῷ βασιλικῷ Κώδ. «Ἐπειδὴ μὴ ἐκ καθαρᾶς διανοίας προσῆλθε».

[2]) Ἅπασαι αἱ ἐκδόσεις εἶχον «ἐμπέσῃς»· ὁ δὲ Τουτέος ἐκ τοῦ βασιλ. Κώδ. ἔγραψε «πέσῃς», ὅπερ ἀληθῶς ὀρθότερον, καί περ ἐπὶ τῆς αὐθεντίας ἑνὸς μόνου Κώδηκος στηριζόμενον.

[3]) Τὰ ἐν τῇ Ἐκκλησίᾳ τελούμενα ἅγια μυστήρια οὐ μόνον ἀμέθεκτα, ἀλλὰ καὶ ἀθέατά εἰσι τοῖς Κατηχουμένοις ἔτι καὶ ἀτελέστοις. Ὅθεν τὰ περὶ τοῦ ἁγίου Βαπτίσματος ὑψηγόρῳ γλώττῃ διατρανῶν ὁ πολὺς Διονύσιος, λέγει· «Καί μοι μηδεὶς ἀτέλεστος ἐπὶ τὴν θέαν ἴτω· καὶ γὰρ οὐδὲ ταῖς ἡλιοτεύκτοις αὐγαῖς ἐν ἀσθενέσι κόραις ἀντωπεῖν ἀκίνδυνον» (περὶ Ἐκκλ. Ἱεραρχ. κεφ. β'.). Οὐ μόνον δὲ ἡ θέα τῶν ἱερῶν μυστηρίων καὶ τελετῶν ἀπηγόρευται τοῖς Κατηχουμένοις, ἀλλὰ καὶ ἡ ἀκρόασις τῆς περὶ τούτων διδασκαλίας εὐλόγως τούτοις κεκώλυται. «Κἂν γὰρ ἀκούσωσιν, οὐκ ἴσασι τὰ λεγόμενα· συνέσεως γὰρ δεῖται πολλῆς ἐκεῖνα, οὐκ ἀκροάσεως μόνης· τὰς ἔνδον δὲ οὐδέπω ἔχουσιν ἀκοάς· ὥσπερ γὰρ οἱ Προφῆται ἄλλως ἤκουον παρὰ τοὺς πολλοὺς, οὕτω καὶ οἱ πιστοὶ παρὰ τοὺς Κατηχουμένους». Χρυσόστ. (εἰς τὴν Β'. Κορινθ. Ὁμιλ. Β'.). Φησὶ δὲ καὶ ὁ Μ. Ἀθανάσιος (ἐν τῷ Β'. Ἀπολογητικῷ Τόμ. Α'. σελ. 569.)· «Οὐ χρὴ τὰ μυστήρια ἀμυήτοις τραγῳδεῖν, ἵνα μὴ Ἕλληνες μὲν ἀγνοοῦντες γελῶσι, Κατηχούμενοι δὲ περίεργοι γενόμενοι σκανδαλίζωνται». Ἀλλὰ καὶ αὐτὸς ὁ ἡμέτερος Κύριλλος ἐν τῇ ΣΤ'. Κατηχ. (§. 29.) λέγει τάδε· «Οὐ γὰρ ἐθνικῷ τὰ περὶ τοῦ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος διηγούμεθα μυστήρια, οὐδὲ τὰ περὶ μυστηρίων ἐπὶ Κατηχουμένων λευκῶς λαλοῦμεν· ἀλλὰ πολλὰ πολλάκις λέγομεν ἐπικεκαλυμμένως, ἵνα οἱ εἰδότες πιστοὶ νοήσωσι, καὶ οἱ μὴ εἰδότες μὴ βλαβῶσι».

Ἰδεῖν προσδοκᾷς, τὸ δὲ ὀφθῆναι οὐ προσδοκᾷς; καὶ νομίζεις, ὅτι σὺ μὲν πολυπραγμονεῖς τὰ γιγνόμενα, Θεὸς δὲ σοῦ οὐ πολυπραγμονεῖ τὴν καρδίαν;

§. Γ'. Ἐπολυπραγμόνησέ τις ποτὲ τὸν γάμον ἐν τοῖς εὐαγγελίοις, καὶ ἀνάξιον ἔνδυμα λαβὼν [1]), εἰσῆλθε, καὶ ἀνέπεσε, καὶ ἔφαγε· συνεχώρησε γὰρ ὁ νυμφίος. Ἔδει δὲ αὐτὸν ἰδόντα τὸ λευχειμονοῦν πάντων, καὶ αὐτὸν ἀναλαβέσθαι τοιοῦτον ἔνδυμα· ἀλλ' ἴσων μὲν μετελάμβανε βρωμάτων, ἀνισότητα δὲ εἶχε σχημάτων καὶ προαιρέσεως [2]). Ἀλλ' ὁ νυμφίος, εἰ καὶ δαψιλής, ἀλλ' οὐκ ἄκριτος [3]). Περιερχόμενος δὲ τῶν ἀνακειμένων ἕκαστον, καὶ θεωρῶν, (ἔμελε γὰρ αὐτῷ οὐχ ὅπως φάγωσιν [4]), ἀλλ' ὅπως εὐσχημονῶσιν), ἰδών τινα ἀλλότριον,

---

[1]) Ἀνάξιον ἔνδυμά ἐστιν ὁ ἀκάθαρτος καὶ διεφθαρμένος βίος καὶ ἡ πονηρὰ συνείδησις, μεθ' ἧς εἰσέρχεταί τις εἰς τὰς τῶν ἁγίων λαμπρότητας· «Τὸ γὰρ ῥυπαροῖς ἱματίοις εἰσελθεῖν τοῦτο αἰνίττεται, τουτέστι βίον ἀκάθαρτον ἔχοντα ἀπελθεῖν» Χρυσός. (εἰς Ματθ. Ὁμιλ. ΞΘ'.), ὥσπερ τοὐναντίον ἄξιον ἔνδυμα γάμου ἐστὶν «ὁ κεχαριτωμένος τῆς ἀρετῆς κόσμος», ὡς λέγει ὁ ἐν ἁγίοις Γρηγόριος ὁ Θεσσαλονίκης (Λόγ. ΚΖ'.). Φησὶ δὲ καὶ ὁ ἱερὸς Φώτιος ἐν τοῖς Ἀμφιλοχίοις (σελ. 18.)· «Ἔνδυμα γάμου παρὰ τῆς θείας διδασκόμεθα Γραφῆς τὸν κατ' ἀρετὴν εἶναι βίον» κτλ.

[2]) Προσκαλοῦνται μὲν ὑπὸ τῆς τοῦ Δεσπότου φιλανθρωπίας ἅπαντες οἱ πιστοί, ἵνα προσέλθωσι καὶ κατατρυφήσωσι τῶν ἁγίων μυστηρίων, καὶ ἀπολαύσωσι τῆς ἐκεῖθεν ἀνατελλούσης πνευματικῆς εὐφροσύνης, ἀλλὰ τιμωροῦνται, ὅσοι, μὴ καθάραντες τοὺς τῆς ψυχῆς ῥύπους πρότερον, προσέρχονται εἰς μέθεξιν τῶν ἱερωτάτων, ἄναγνον ἔχοντες τὴν καρδίαν καὶ πλήρη πονηρῶν ἐγκαυμάτων τὴν συνείδησιν· ὅθεν κράζει καὶ ὁ ἱερὸς Χρυσορρήμων· «Ἀκούσατε ὅσοι μυστηρίων ἀπολαύετε, καὶ τοῖς γάμοις παραγενόμενοι, ῥυπαραῖς τὴν ψυχὴν προβάλλετε πράξεσιν. Ἀκούσατε πόθεν ἐκλήθητε. Ἀπὸ τῆς τριόδου. Τί ὄντες; Χωλοὶ καὶ ἀνάπηροι τὴν ψυχήν, ὃ πολλῷ χαλεπώτερον τῆς τοῦ σώματος λώβης. Αἰδέσθητε τὴν φιλανθρωπίαν τοῦ καλέσαντος, καὶ μηδεὶς μὲν ἔστω ῥυπαρὰ ἔχων ἱμάτια, ἀλλ' ἕκαστος ἡμῶν περιεργαζέσθω τὴν στολὴν τῆς ψυχῆς» (Ὁμιλ. ΞΘ'. εἰς Ματθ.).

[3]) Τὴν λέξιν «ἄκριτος», σημαίνουσαν τὸν κρίσιν καὶ διάγνωσιν μὴ ποιοῦντα, ἔχει ὁ Κύριλλος καὶ ἐν Κατ. ΙΗ'. §. 1. «οὐδεὶς ἀκρίτῳ βασιλεῖ στρατευόμενος».

[4]) Ὀρθῶς ποιῶν ὁ Τουτέος ἀποκατέστησε τὸ «φάγωσιν», ὅπερ εἶχον καὶ αἱ πρότεραι ἐκδόσεις· ὁ δὲ Μιλλέσιος, οὐκ οἶδ' ὅπως πεισθείς, ὅτι κρεῖττον τὸ «δυσειμονῶσιν», ἐν τοῖς

μὴ ἔχοντα γάμου ἔνδυμα, ἔλεγε πρὸς αὐτόν· Ἑταῖρε, πῶς εἰσῆλθες ὧδε; ποίῳ χρώματι [1]); ποίᾳ συνειδήσει; ἔστω, ὁ θυρωρὸς οὐκ ἐκώλυσε διὰ τὸ δαψιλὲς τοῦ παρέχοντος· ἔστω, ἄγνοιαν εἶχες ποταπῷ δεῖ σχήματι εἰσελθεῖν εἰς τὸ συμπόσιον· εἰσῆλθες, εἶδες ἀστράπτοντα ὥσπερ τὰ σχήματα τῶν ἀνακειμένων· οὐκ ἔδει σε κἂν ἐκ τῶν φαινομένων διδαχθῆναι; οὐκ ἔδει σε εἰσελθεῖν εὐκαίρως, ἵνα καὶ εὐκαίρως ἐξέλθῃς [2]); νῦν δὲ ἀκαίρως εἰσῆλθες, ἵνα ἀκαίρως ἐκβληθῇς. Καὶ προστάσσει τοῖς ὑπηρέταις· Δήσατε αὐτοῦ τοὺς πόδας, τοὺς τολμη-

Κώδ. R. C. εὑρισκόμενον, ἔθηκε τοῦτο ἀντὶ τοῦ «φάγωσι»· ἀλλ᾽ ἐάσθω κατὰ χώραν ἡ λέξις προσφυέστατον ἀποδιδοῦσα νόημα, ἄλλως τε καὶ ἄτοπον καὶ τῷ τοῦ Κυρίλλου σκοπῷ ἐναντίον ἐστὶ λέγειν ὅτι οὐκ ἔμελε τῷ νυμφίῳ περὶ τῶν πιναροῖς τε καὶ ῥυπαροῖς ἱματίοις ἠμφιεσμένων.

[1]) Ἐνόμισάν τινες ἀντὶ τοῦ «ποίῳ χρώματι» γραπτέον εἶναι «ποίῳ σχήματι»· ἀλλ᾽ ἐπελάθοντο, ὅτι ἐν τοῖς τοῦ γάμου ἐνδύμασι καὶ τὸ χρῶμα οὐκ ἀδιάφορον. Οὐ μόνον παρὰ τοῖς ἀρχαίοις Ἑβραίοις καὶ Αἰγυπτίοις, ἀλλὰ καὶ παρὰ τοῖς Ἕλλησι καὶ Ῥωμαίοις ἐν ἐπισήμοις τελεταῖς καὶ φαιδρότησι, μάλιστα δὲ ἐν γάμοις, ἔπρεπεν ἵνα ὦσι τὰ ἐνδύματα φαιδρὰ καὶ λευκά, οὐχὶ δὲ μέλανα καὶ φαιά (Πλούταρχ. Ἐρωτ. § 26. Jahn. Archaeol. II. 1. S. 142.). Ἀλλὰ καὶ αὐτὸς ὁ ἱερὸς Κύριλλος λευκὰ ὑποτίθησι τὰ ἱμάτια τῶν ἀνακειμένων· φησὶ γὰρ ἀνωτέρω· «Τὸ λευχειμονοῦν πάντων»· καὶ κατωτέρω· «Εἶδες ἀστράπτοντα ὥσπερ τὰ σχήματα τῶν ἀνακειμένων»· καὶ μετ᾽ ὀλίγα· «Δήσατε αὐτοῦ τὰς χεῖρας, τὰς μὴ εἰδυίας ἔνδυμα περιβαλέσθαι φαιδρόν»· φαιδρὸν δὲ ἐνταῦθα πάντως ἐννοεῖ ὁ Πατὴρ τὸ λευκόν, τὸ σύνηθες χρῶμα τῶν γαμικῶν ἐνδυμάτων. Φαιδρὸν ἀποκαλεῖ τὸ τοῦ γάμου ἔνδυμα καὶ Γρηγόριος ὁ Νύσσης (Λόγ. Ἐπιτάφ. εἰς τὸν Μελέτιον)· «Οὐκ ἔχοντες τὸ φαιδρὸν τοῦ γάμου ἔνδυμα, ἀλλὰ μελανειμονοῦντες».

[2]) Αὕτη ἐστὶν ἡ σταθερὰ γραφὴ πάντων τῶν Κωδήκων· οὐδὲ λόγος τις ἀποχρῶν, οὐδὲ αὐθεντία πείθει ἡμᾶς ἵνα παραδεχθῶμεν τὴν ὑπὸ τοῦ Κασωβῶνος προτεινομένην μεταβολὴν ἐν τῇ φράσει ταύτῃ, ἔχουσαν οὕτως· «Οὐκ ἔδει σε ἐξελθεῖν εὐκαίρως, ἵνα εὐκαίρως εἰσέλθῃς»; Ὡς λόγον δὲ τῆς μεταβολῆς ταύτης προβάλλει τὸ κατωτέρω· «Ἔξελθε εὐκαίρως τανῦν, καὶ εἴσελθε αὔριον εὐκαιρότατα». Ἀλλὰ πρῶτον μὲν τοιαῦται μεταβολαὶ οὐδόλως εἰσάγονται εἰς τὸ κείμενον ἄνευ αὐθεντίας κωδήκων· εἶτα δὲ οὐδ᾽ ἐκ τοῦ νοήματος ἀναγκαζόμεθα μετατιθέναι τι καὶ μεταποιῆσαι· τὸ νόημα, ὡς κεῖται, ἐστὶν ὁμαλὸν καὶ κατάλληλον, καὶ οὐδεμιᾶς δεῖται διορθώσεως· ἔχει δέ τι μάλιστα καὶ χάρι-

ρῶς εἰσβάλλοντας· δήσατε αὐτοῦ τὰς χεῖρας, τὰς μὴ εἰδυίας ἔνδυμα περιβαλέσθαι φαιδρὸν, καὶ ἐμβάλετε [1]) αὐτὸν εἰς τὸ σκότος τὸ ἐξώτερον· ἀνάξιος γάρ ἐστι λαμπάδων νυμφικῶν. Εἶδες τί συνέβη τῷ τότε; ἀσφάλισαι τὰ σεαυτοῦ [2]).

§. Δ΄. Ἡμεῖς μὲν γὰρ, οἱ διάκονοι Χριστοῦ [3]), δεδέγμεθα ἕκαστον, καὶ θυρωρῶν ὥσπερ τάξιν ἐπέχοντες, ἀνετὴν ἀφήκαμεν τὴν θύραν. Ἐγχωρεῖ δέ σε βεβορβορωμένην ἔχοντα τὴν ψυχὴν ἁμαρτίαις, καὶ τὴν προαίρεσιν ἐσπιλωμένην, εἰσελθεῖν. Εἰσῆλθες· κατηξιώθης· ὄνομά σου ἐνεγράφη. Βλέπεις μοι τὸ σεμνὸν τοῦτο τῆς Ἐκκλησίας κατάστημα [4]); θεωρεῖς μοι τάξιν καὶ ἐπιστήμην [5]), Γραφῶν ἀνάγνωσιν,

τος ὁ λόγος διὰ τὴν σχηματιζομένην ἀντίθεσιν πρὸς τὰ ἀμέσως ἑπόμενα.

[1]) Οἱ Κώδ. R. C., καθὼς καὶ τὸ ἱερὸν Εὐαγγέλιον, ἔχουσιν «ἐκβάλετε».

[2]) Πρὸς τοὺς φωτιζομένους ποιούμενος τὸν λόγον καὶ ὁ θεῖος Χρυσόστομος, λέγει· «Εἰς γάμον ἐκλήθης, ἀγαπητὲ, μὴ εἰσέλθῃς ῥυπαρὰ ἐνδεδυμένος ἱμάτια, ἀλλὰ τῷ γάμῳ κατάλληλον λάβε στολήν· εἰ γὰρ εἰς γάμους αἰσθητοὺς ἄνθρωποι καλούμενοι, κἂν ἁπάντων ὦσι πενέστεροι, χρησάμενοι πολλάκις ἢ πριάμενοι ἱμάτιον καθαρὸν, οὕτω πρὸς τοὺς καλέσαντας αὐτοὺς ἀπαντῶσι, σὺ δὲ ὁ πρὸς γάμον κληθεὶς πνευματικὸν, καὶ δεῖπνα βασιλικὰ, ἐννόησον, ἡλίκον ἂν εἴη δίκαιόν σε ἱμάτιον πρίασθαι» (Τόμ. Β΄. σελ. 279.).

[3]) Ἐπειδὴ ὁ θεῖος Κύριλλος, ὅτε ἐδίδασκε τὰς Κατηχήσεις ταύτας, ἦν ἱερεὺς, διὰ τοῦτο ἡ λέξις «διάκονος» ἐνταῦθα λαμβάνεται κατὰ τὴν γενικωτέραν αὐτῆς σημασίαν, καθ' ἣν διάκονοι καλοῦνται οἱ ὑπουργοὶ τῆς Ἐκκλησίας καὶ τοῦ Εὐαγγελίου. «Θεοῦ διάκονοι» καλοῦνται καὶ οἱ Ἀπόστολοι (Β΄. Κορινθ. ς΄. 4. Ἐφεσ· γ΄. 7. Κολοσ. ά. 23.), περὶ ὧν φησι καὶ ὁ Μ. Ἀθανάσιος· «Ὡς τῆς ἀληθείας διάκονοι διδάσκουσιν ἐν ἁγίοις γράμμασι» (κατὰ Ἑλλήν. Τόμ. Α΄. σελ. 45.).

[4]) Σεμνὸν κατάστημα ἐνταῦθα σημαίνει τὴν σεμνὴν καὶ ἱεροπρεπῆ εὐκοσμίαν. Ἡ λέξις «κατάστημα» ἅπαξ μόνον ἀπαντᾶται ἐν τῇ Καινῇ Διαθήκῃ σημαίνουσα ἦθος ἐξωτερικὸν, σχῆμα, τρόπον· «ἐν καταστήματι ἱεροπρεπεῖς», τουτέστι τὸ ἦθος καὶ τὸ σχῆμα σεμνὰς καὶ κοσμίας· ὅθεν λέγει καὶ ὁ θεοφόρος Ἰγνάτιος περὶ τοῦ Ἐπισκόπου τῶν Τραλλησίων «Οὗ αὐτὸ τὸ κατάστημα μεγάλη μαθητεία» (Ἐπιστ. πρὸς Τραλλησ.)· φησὶ δὲ καὶ ὁ Πορφύριος (περὶ Ἀποχῆς δ΄., 6.)· «Τὸ δὲ σεμνὸν αὐτῶν καὶ ἐκ τοῦ καταστήματος ἑωρᾶτο· πορεία γὰρ ἦν εὔτακτος, καὶ βλέμμα καθεστηκὸς» κτλ.

[5]) Τάξις καὶ ἐπιστήμη ἐνταῦθα

κανονικῶν παρουσίαν[1]), διδασκαλίας ἀκολουθίαν; Δυσωπήθητι τὸν τόπον, καὶ παιδεύθητι[2]) ἐκ τῶν φαινομένων· ἔξελθε εὐκαίρως τανῦν[3]),

ἐτέθησαν παραλλήλως, καθὰ καὶ ἀλλαχοῦ συνῆψε τὰς λέξεις ταύτας ὁ θεῖος Κύριλλος (Κατήχ. ϛ'. 35.)· « ὧδε τάξις, ὧδε ἐπιστήμη ». Ἐπιςήμη δὲ σημαίνει οὐχὶ τὴν γνῶσιν, ἣν οἱ Λατῖνοι καλοῦσι scientiam, ἀλλὰ μᾶλλον τὴν ἐκκλησιαςικὴν εὐκοσμίαν καὶ τὴν εὔτακτον διατύπωσιν καὶ τῶν ἱερῶν διακόσμησιν, ἥτις καλεῖται λατινιστὶ disciplina. Ὅθεν καὶ ἐν ταῖς Διαταγαῖς τῶν Ἀποστόλων (Βιβλ. Β'. κεφ. 57.) παραγγέλλεται τῷ ἐπισκόπῳ ἵνα « μετ' ἐπιςήμης πάσης » ποιῆται τὰς συνάξεις· τουτέστι μετὰ πάσης συνέσεως, εὐκοσμίας καὶ εὐταξίας· καὶ κατωτέρω· « Χρὴ γὰρ ἐν Ἐκκλησίᾳ ἐπιςημόνως, καὶ νηφαλίως, καὶ ἐγρηγορότως ἑστάναι, ἐκτεταμένην ἔχοντα τὴν ἀκοὴν ἐπὶ τὸν τοῦ Κυρίου λόγον ». Ἐν τοιαύτῃ σημασίᾳ εἴληπται ἡ λέξις καὶ παρ' ἄλλοις Πατράσιν, οἷον παρ' Ἀθανασίῳ, Κυρίλλῳ Ἀλεξανδρείας καὶ ἄλλοις ἐκ τῶν ἱερῶν Συγγραφέων. Ἐπειδὴ δὲ οἱ εὐσεβεῖς βασιλεῖς, οἷα δὴ πρόμαχοι καὶ προστάται τῆς Ἐκκλησίας, ἦσαν οἱ ὑπέρτατοι φρουροὶ καὶ φύλακες τῆς ἐκκλησιαςικῆς ταύτης ἐπιστήμης, διὰ τοῦτο ἐν τοῖς χρόνοις τῶν Βυζαντινῶν οἱ βασιλεῖς ἐκαλοῦντο ἰδίῳ ὀνόματι ἐπιστημονάρχαι τῆς Ἐκκλησίας.

[1]) Κανονικοὶ καλοῦνται οἱ ἐν τῷ Κανόνι τῆς Ἐκκλησίας τεταγμένοι, τουτέστιν οἱ ἐν τῷ καταλόγῳ τῶν κληρικῶν ἀριθμούμενοι· καθὰ τῷ ὄντι ὁ Κανὼν οὗτος ὀνομάζεται καὶ « κατάλογος κληρικῶν » ἐν τῷ ιέ. Κανόνι τῶν Ἀποστόλων, καὶ « Tabula Clericorum » παρὰ τῷ Αὐγουστ. (Hom. L. de diversis Tom. X. p. 525). Οὓς δ' ἐνταῦθα ὁ Κύριλλος εἶπε κανονικούς, τούτους ὁ ιά. Κανὼν τῆς ἐν Ἀντιοχ. Συνόδ. ἐκάλεσε « τοῦ Κανόνος ». Κανονικοὺς ὠνόμασεν αὐτοὺς καὶ ὁ Μ. Βασίλ. ἐν τῷ ϛ'. Κανόνι. Τοιοῦτοι δὲ κανονικοί εἰσιν οὐ μόνον οἱ κληρικοί, οἷον ἀρχιερεῖς, ἱερεῖς, διάκονοι καὶ ὑποδιάκονοι, ἀλλὰ καὶ οἱ μοναχοὶ καὶ αἱ μονάστριαι, καθὰ ῥητῶς ὁ Βαλσαμὼν βεβαιοῖ (εἰς τὸν ϛ'. Κανόνα τοῦ Βασιλείου)· « Κανονικοὺς τοὺς ἐν τῷ Κανόνι ἐξεταζομένους φησὶν, ἤγουν κληρικούς, μοναχούς, μοναστρίας καὶ τὰς παρθενίαν ἐπαγγειλαμένας ». Τὴν τάξιν καὶ εὐπρέπειαν τῆς ἐν Κωνςαντινουπόλει Ἐκκλησίας ἐπαινῶν καὶ ὁ θεολόγος Γρηγόριος, λέγει· « Ἴδε Πρεσβυτέρων συνέδριον, πολιᾷ καὶ συνέσει τετιμημένων· Διακόνων εὐταξίαν, οὐ πόῤῥω τοῦ αὐτοῦ πνεύματος· Ἀναγνωστῶν εὐκοσμίαν, λαοῦ φιλομάθειαν, ὅσον ἐν ἀνδράσιν, ὅσον ἐν γυναιξὶ τὴν ἀρετὴν ὁμοτίμοις ».

[2]) Οἱ Κώδηκες R. C. ἔχουσι « δυσωπήθητι καὶ τὸν τρόπον παιδεύθητι »· ἀλλὰ κρείττων ἡ ἡμετέρα ἀνάγνωσις, ὡς παρετήρησε καὶ ὁ Μιλλέσιος.

[3]) Ὅμοια συμβουλεύει τοῖς Κατη-

καὶ εἴσελθε αὔριον εὐκαιρότατα. Εἰ φιλάργυρον εἶχες τὸ σχῆμα τῆς ψυχῆς, ἄλλο ἐνδυσάμενος εἴσελθε. Ἔκδυσαι τὸ σχῆμα, ὃ εἶχες, μὴ ἐπικαλύψῃς· ἔκδυσαί μοι πορνείαν καὶ ἀκαθαρσίαν, καὶ ἔνδυσαί μοι σωφροσύνης λαμπροτάτην στολήν[1]). Ἐγὼ παραγγέλλω, πρὶν ὁ νυμφίος τῶν ψυχῶν εἰσέλθῃ Ἰησοῦς καὶ ἴδῃ τὰ σχήματα. Πολλή σοι ἡ προθεσμία· τεσσαράκοντα ἡμερῶν μετάνοιαν ἔχεις. Ἔχεις πολλὴν εὐκαιρίαν καὶ ἐκδύσασθαι καὶ ἀποπλύνασθαι, καὶ ἐνδύσασθαι καὶ εἰσελθεῖν. Εἰ δὲ ἐπιμένεις κακῇ προαιρέσει, ὁ μὲν λέγων ἀναίτιος, σὺ δὲ μὴ προσδόκα λήψεσθαι τὴν χάριν· τὸ μὲν γὰρ ὕδωρ σε δέξεται, τὸ δὲ πνεῦμά σε οὐκ ἀποδέξεται[2]). Εἴ τις σύνοιδεν ἑαυτῷ τὸ τραῦμα, τὸν

χουμένοις καὶ ὁ ἱερὸς Χρυσόστομος· «Εἴ τις, λέγει, τὰ ἐλαττώματα τῶν τρόπων μὴ διώρθωσε, μηδὲ παρεσκεύασεν ἑαυτῷ τὴν ἀρετὴν εὔκολον, μὴ βαπτιζέσθω. Τὰ μὲν γὰρ πρότερα ἁμαρτήματα ἀφεῖναι δύναται τὸ λουτρὸν, δέος δὲ οὐ μικρὸν καὶ κίνδυνος οὐχ ὁ τυχὼν, μήποτε πάλιν ἐπ' αὐτὰ ἐπανέλθωμεν, καὶ γένηται ἡμῖν ἕλκος τὸ φάρμακον» (Τόμ. Β'. σελ. 279). Ὅτι δὲ οἱ ἱερεῖς ἐξεῖργον καὶ διεκώλυον ἀπὸ τοῦ ἁγίου Βαπτίσματος τοὺς μήπω γεγονότας ἀξίους, γίνεται δῆλον καὶ ἐκ τοῦ θείου Κυρίλλου Ἀλεξ. (εἰς Ἰωάν. ιβ'.)· «Ἢ γὰρ καλοῦσιν ἐπὶ τὸ βάπτισμα (οἱ πνευματοφόροι) τοὺς σεμνότητι βίου καὶ πίστει δεδοκιμασμένους, ἢ διακωλύουσί τινας, καὶ τῆς θείας χάριτος ἐξείργουσιν, οὔπω τέως γεγονότας ἀξίους».

[1]) Παραπλησίως εἶπε καὶ ὁ Ἑρμᾶς (ἐν τῷ Ποιμ. β'. 2.)· «Ἔνδυσαι τὴν ἁπλότητα καὶ τὴν σεμνότητα», καὶ ὁ Κλήμης Ῥώμης· «Ἐνδυσώμεθα τὴν ὁμόνοιαν» (Ἐπιστ. πρὸς Κορινθ. §. 30.) καὶ ὁ Κλήμης Ἀλεξ. (Παιδαγ. Α.)· «τῆς κακίας ἐκδυσάμενοι τὸν χειτῶνα». Τὸ ἐνδύομαι καὶ ἐκδύομαι ἐνταῦθα εἴληπται μεταφορικῶς, ὡς σύνηθες τοῦτο τῇ ἁγίᾳ Γραφῇ καὶ τοῖς ἱεροῖς Πατράσιν· «Ἐνδύσασθε τὸν καινὸν ἄνθρωπον» φησὶν ὁ Ἀπόστολος (Ἐφεσ. δ'. 24. καὶ Κολασ. γ'. 10.)· «ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον» (Κολασ. γ'. 9. Ῥωμ. ιγ'. 12)· «ἐνδύσασθε σπλάγχνα οἰκτιρμῶν, χρηστότητα, ταπεινοφροσύνην, πραότητα, μακροθυμίαν» (Κολασ. γ'. 12)· «ἐνδύσασθε τὸν Κύριον Ἰησοῦν Χριστὸν» (Ῥωμ. ιγ'. 14.). Ὅθεν λέγει καὶ ὁ ἱερὸς Χρυσοῤῥήμων· «Αὐτὸν τὸν Δεσπότην δίδωσιν ἡμῖν ἱμάτιον, αὐτὸν τὸν βασιλέα· ὁ γὰρ τοῦτον περιβεβλημένος ἅπασαν ἔχει καθόλου τὴν ἀρετήν. Ὅταν δὲ εἴπῃ, ἐνδύσασθαι, πάντοθεν ἡμᾶς αὐτὸν περιβαλέσθαι κελεύει» (Ὁμιλ. ΚΔ'. εἰς τὴν πρὸς Ῥωμ.). Τούτοις συνῳδὰ φθέγγεται καὶ ὁ Οἰκουμένιος· «Ὁ αὐτὸν ἐνδεδυμένος ἔχει καθόλου τὴν ἀρετήν. Πῶς δὲ αὐτὸν ἐνδυτέον; Εἰ πάντα ἡμῖν αὐτὸς εἴη ἔσωθεν καὶ ἔξωθεν ἐν ἡμῖν φαινόμενος» (πρὸς Ῥωμ. κεφ. δ'.).

[2]) Ὅρα Κατήχ. ΙΖ'. §. 36. Τὸ τοῦ ἁγίου Βαπτίσματος ὕδωρ διὰ τὴν ἑνοῦσαν αὐτῷ τοῦ Πνεύματος χάριν

ἔμπλαστρον λαβέτω· εἴ τις ἔπεσεν, ἐγειρέσθω. Μηδεὶς ἐν ὑμῖν Σίμων, μηδεμία ὑπόκρισις [1]), μηδὲ περιεργία τοῦ πράγματος.

καλεῖται «ὕδωρ καθάρσιον» (Γρηγ. Ναζιανζ. Λόγ. Μ΄.), καὶ «ὕδωρ ζῶν», καὶ «ὕδωρ λυτήριον τῶν ἁμαρτημάτων». «Ὕδωρ ζῶν καλεῖται τὸ βάπτισμα, οὐχ ἐπειδὴ φύσιν ἑτέραν ἔχει τὸ τοῦ βαπτίσματος ὕδωρ, ἀλλ' ὅτι δι' ἐκείνου τοῦ ὕδατος ἡ θεία χάρις τὴν αἰώνιον δωρεῖται ζωήν» (Θεοδώρητ. εἰς Γένεσιν 26). Ἀλλ' ὅμως, ἂν μὴ μετὰ πίστεως καὶ προθέσεως ἀγαθῆς προσέλθῃ τις εἰς τὸ ζωοποιὸν τοῦτο νᾶμα, βαπτίζεται μὲν τὸ σῶμα καὶ λαμβάνει τοῦ βαπτίσματος τὴν σφραγῖδα, μένει δ' ἄμοιρος καὶ ἀμέτοχος τῆς τοῦ πνεύματος χάριτος. Διὰ τοῦτο εἶπε καὶ ὁ Μ. Βασίλειος· «Πίστις καὶ βάπτισμα δύο τρόποι τῆς σωτηρίας συμφυεῖς ἀλλήλοις καὶ ἀδιαίρετοι· πίστις μὲν γὰρ τελειοῦται διὰ βαπτίσματος, βάπτισμα δὲ θεμελιοῦται διὰ τῆς πίστεως» (κεφ. ιβ΄. περὶ τοῦ ἁγίου Πνεύματος). Φησὶ δὲ καὶ ἀλλαχοῦ ὁ αὐτὸς Πατήρ· «Ἔστι γὰρ τὸ βάπτισμα σφραγὶς τῆς πίςεως· πιστεῦσαι γὰρ δεῖ πρότερον, εἶτα τῷ βαπτίσματι ἐπισφραγίσασθαι» (κατὰ Εὐνομ. Βιβλ. Γ΄.). Λέγει δὲ καὶ ὁ θεηγόρος Νύσσης (ἐν τῷ Κατηχητικῷ κεφ. 33.)· «Εὐχὴ πρὸς τὸν Θεόν, καὶ χάριτος οὐρανίας ἐπίκλησις, καὶ ὕδωρ, καὶ πίστις ἐστί, δι' ὧν τὸ τῆς ἀναγεννήσεως πληροῦται μυστήριον». Τούτοις πρόσθες καὶ τὰ τοῦ θείου Δαμασκηνοῦ· «Ὁ ἐν δόλῳ προσιὼν τῷ βαπτίσματι κατακριθήσεται μᾶλλον ἢ ὠφεληθήσεται» (δ΄. 10.). Ἀλλὰ καὶ αὐτὸς ὁ ἱερὸς Κύριλλος ἐν τῇ πρώτῃ Κατηχ. §. 3. αὐτὸ τοῦτο διασαφῶν λέγει· «Τοῖς οὖν λαμβάνουσι τὴν πνευματικὴν ταύτην σφραγῖδα καὶ σωτήριον χρεία καὶ τῆς οἰκείας προαιρέσεως». Οὐ μόνον δ' ἐν τῇ ἐλλείψει τῆς πίστεως ἄπεςιν ἡ χάρις, ἀλλὰ καὶ ἐν τῷ ἐμπαθεῖ καὶ ἀμετανοήτῳ βίῳ· οὐδεμία γὰρ ἐπιφοιτᾷ δωρεὰ Πνεύματος ἁγίου ἐπὶ τὸν βαπτιζόμενον, ὅταν αὐτὸς ἀμετανόητον ἔχῃ τὴν πρόθεσιν καὶ ἐσκληρυμένην ἐν τῷ κακῷ τὴν καρδίαν. Καθαρώτατα ἐξέφρασε τοῦτο ὁ ἱερὸς Γρηγόριος Νύσσης (Κατηχ. κεφ. 40.)· «Εἰ δὲ τὸ λουτρὸν μὲν ἐπαχθείη τῷ σώματι, ἡ δὲ ψυχὴ τὰς ἐμπαθεῖς κηλῖδας μὴ ἀποῤῥίψοιτο, ἀλλ' ὁ μετὰ τὴν μύησιν βίος συμβαίνει τῷ ἀμυήτῳ βίῳ, κἂν τολμηρὸν εἰπεῖν ᾖ, λέξω, καὶ οὐκ ἀποτραπήσομαι, ὅτι ἐπὶ τούτων τὸ ὕδωρ ὕδωρ ἐστίν, οὐδαμοῦ τῆς δωρεᾶς τοῦ ἁγίου Πνεύματος ἐπιφανείσης τῷ γενομένῳ κτλ.». Τὴν πίστιν τελείωσιν τοῦ βαπτίσματος ὀνομάζει καὶ ὁ Μ. Ἀθανάσιος (Τόμ. Α΄. σελ. 209.). Κείσθω δ' ἐνταῦθα ὡς ἀξιοσημείωτον καὶ τὸ ὑπὸ τοῦ Μόσχου ἐν τῷ πνευματικῷ αὐτοῦ Λειμῶνι περὶ αὐτῆς τῆς ὑποθέσεως ἱστορούμενον (σελ. 1153).

[1]) Ἀπὸ τῆς ὑποκρίσεως ταύτης τοῦ Σίμωνος ἀποτρέπει τοὺς Κατηχουμένους ὁ Κύριλλος καὶ ἐν Κατηχ. ΙΖ΄. §. 35. «Βλέπε μή ποτε κατὰ τὸν Σίμωνα προσέρχῃ τοῖς βαπτίζουσιν ὑποκρινόμενος».

§. Ε΄. Ἐγχωρεῖ σε καὶ προφάσει ἄλλῃ ἐλθεῖν· ἐγχωρεῖ καὶ ἄνδρα βούλεσθαι γυναικὶ καθικετεῦσαι, καὶ διὰ τοῦτο προσελθεῖν. Ἀντιστρέφει καὶ ἐπὶ γυναικῶν τὸ ὅμοιον ὁ λόγος· καὶ δοῦλος πολλάκις δεσπότῃ, καὶ φίλος φίλῳ ἀρέσαι ἠθέλησε. Δέχομαι τὸ δέλεαρ τοῦ ἀγκίστρου καὶ καταδέχομαί σε, κακῇ προαιρέσει μὲν ἐλθόντα, ἐλπίδι δὲ ἀγαθῇ σωθησόμενον. Ἴσως οὐκ ᾔδεις ποῦ ἔρχῃ, οὐδὲ ποία σε σαγήνη λαμβάνει. Γέγονας εἴσω δικτύων ἐκκλησιαστικῶν, ζωγρήθητι, μὴ φύγῃς· ἀγκιστρεύει γάρ σε Ἰησοῦς, οὐχ ἵνα θανατώσῃ, ἀλλ᾽ ἵνα θανατώσας ζωοποιήσῃ· δεῖ σε ἀποθανεῖν καὶ ἀναστῆναι· ἤκουσας γὰρ τοῦ Ἀποστόλου λέγοντος· «Νεκροὶ μὲν τῇ ἁμαρτίᾳ, ζῶντες δὲ τῇ δικαιοσύνῃ» [1]). Ἀπόθανε τοῖς ἁμαρτήμασι, καὶ ζῆσον τῇ δικαιοσύνῃ· ἀπὸ τῆς σήμερον ζῆσον [2]).

§. ς΄. Βλέπε μοι πηλίκην σοι ἀξίαν ὁ Ἰησοῦς χαρίζεται. Κατηχούμενος ἐλέγου, ἔξωθεν περιηχούμενος, ἀκούων ἐλπίδα, καὶ μὴ εἰδώς· ἀκούων μυστήρια, καὶ μὴ νοῶν· ἀκούων Γραφάς, καὶ μὴ εἰδὼς τὸ βάθος. Οὐκέτι περιηχῇ, ἀλλ᾽ ἐνηχῇ [3])· τὸ γὰρ ἔνοικον Πνεῦμα

---

[1]) Ῥωμ. ς΄. 11 14.

[2]) Φησὶ δὲ καὶ ὁ Θεολόγος Γρηγόριος (Λόγ. Μ΄.)· «Ἀεὶ τὴν σωτηρίαν ἐργάζου, καὶ πᾶς ἔστω σοι καιρὸς τοῦ βαπτίσματος ὅρος· ἐὰν ἀεὶ τὸ σήμερον παρατρέχων ἐπιτηρῇς τὸ εἰς αὔριον, λανθάνεις ταῖς κατὰ μικρὸν ἀναβολαῖς ὑπὸ τοῦ πονηροῦ κλεπτόμενος».

[3]) Σημείωσαι τὴν ἐνταῦθα ἐκδοχὴν τῶν λέξεων κατηχεῖσθαι, περιηχεῖσθαι καὶ ἐνηχεῖσθαι, ὧν τὰ μὲν δύο πρῶτα λαμβάνονται ὡς ταυτόσημα, καὶ σημαίνουσι τὴν μέχρις ἀκοῆς μόνον διδασκαλίαν· ὅθεν εἶπε καὶ ὁ Καβάσιλας (Ἑρμην. τῆς θείας Λειτουργ. κεφ. κγ΄.)· «οὓς κατηχουμένους ἔτι καλοῦμεν, ὅτι μέχρις ἀκοῆς, καὶ ὅσον διδασκαλία δύναται μόνον, τὸν χριστιανισμὸν ὑπεδέξαντο»· τὸ δὲ ἐνηχεῖσθαι σημαίνει τὴν εἰς βάθος καὶ μέχρι τῶν μυχῶν αὐτῶν τῆς ψυχῆς εἰσδύουσαν καὶ τὸν νοῦν φωτίζουσαν διδασκαλίαν καὶ ἐνέργειαν τοῦ ἁγίου Πνεύματος. Διὰ τοῦτο καὶ πολλοὶ Πατέρες ἐχρήσαντο τῇ λέξει ἐνηχεῖν ἐπὶ τῶν εἰς τοὺς Προφήτας γενομένων ἐλλάμψεων καὶ ἀποκαλύψεων τοῦ παναγίου Πνεύματος· οἷον ὁ Κύριλλος Ἀλεξανδρ. (ἐν τῷ ς΄. ἑορταστικῷ Λόγῳ)· «πρὸς τὸν μακάριον ἐκεῖνον προφήτην Ἡσαΐαν ἐνηχεῖτο διὰ τοῦ πνεύματος»· καὶ ἀλλαχοῦ· «ἐνηχοῦντος αὐτοῖς (τοῖς Πατράσι) τἀληθὲς τοῦ ἁγίου Πνεύματος» (Ἐπιστ. πρὸς

λοιπὸν οἶκον θεῖον τὴν διάνοιάν σου ἐργάζεται. Ὅταν ἀκούσῃς τὰ περὶ τῶν μυστηρίων γεγραμμένα, τότε νοήσεις ἃ μὴ ᾔδεις. Καὶ μὴ νομίσῃς, ὅτι μικρὸν πρᾶγμα λαμβάνεις· ἄνθρωπος ὢν οἰκτρὸς, Θεοῦ λαμβάνεις προσηγορίαν [1]). Ἄκουε Παύλου λέγοντος· «Πιστὸς ὁ Θεός» [2]). Ἄκουε ἄλλης γραφῆς λεγούσης· «Θεὸς πιστὸς καὶ δίκαιος» [3]). Τοῦτο προβλέπων ὁ Ψαλμῳδὸς ἔλεγεν ἐκ προσώπου τοῦ Θεοῦ (ἐπειδὴ μέλλουσιν ἄνθρωποι Θεοῦ προσηγορίαν λαμβάνειν)· «Ἐγὼ εἶπα, θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες» [4]). Ἀλλὰ βλέπε μὴ πιστοῦ μὲν ἡ προσηγο-

---

τοὺς ἐν Αἰγ. μοναχοὺς §. 5.). Ἔφη δὲ καὶ ὁ Θεοδώρητος περὶ τῶν ἁγίων Πατέρων (Διαλογ. Α΄. σελ. 32.)· «ὑπὸ μιᾶς ἅπαντες πνευματικῆς ἐνηχήθησαν χάριτος». Τῷ αὐτῷ νοήματι εἶπε καὶ ὁ Θεολόγος Γρηγόριος (Λόγ. Μ΄.)· «Εἰ κωφὸς ἦσθα καὶ ἄλαλος, ὁ λόγος ἐνηχησάτω»· καὶ πάλιν «Ἀκουτισθῶμεν ἀγαλλίασιν καὶ εὐφροσύνην ἀκοαῖς θείαις ἐνηχουμένην».

[1]) Πιστὸς καλεῖται ὁ Θεὸς, τουτέστιν «ἀληθὴς» κατὰ τὸν Χρυσόστομον (Ὁμιλ. Γ΄. εἰς τὴν Β΄. Κορ.), ἢ «ἀξιόπιστος» κατὰ τὸν Ἀθανάσιον (Τόμ. Α΄. σελ. 190.), ἢ «ἀσφαλὴς καὶ ἀψευδὴς» κατὰ τὸν Οἰκουμένιον (εἰς τὴν Α΄. Πέτρ. δ΄.). Πιστὸς δὲ λέγεται καὶ ὁ βεβαπτισμένος χριστιανὸς, διότι πιστεύει τῷ Θεῷ καὶ πιστεύεται τὰ μυστήρια παρὰ τοῦ Θεοῦ, κατὰ τὸν αὐτὸν Χρυσορρήμονα (Ὁμιλ. ΚΑ΄. εἰς τοὺς Ἀνδριάντας καὶ Ὁμιλ. Α΄. εἰς τὴν πρὸς Κολ.), καὶ δέχεται ἀναμφιβόλως τοὺς λόγους τοῦ Θεοῦ, ὡς λέγει ὁ μακάριος Θεοδώρητος (εἰς Ψαλμ. α΄.). Τὴν αὐτὴν λοιπὸν προσηγορίαν τοῦ πιστοῦ ἔχει καὶ ὁ Θεὸς, λαμβάνει καὶ ὁ χριστιανὸς, καί τοι κατὰ τὸν θεῖον Αὐγουστῖνον (in Psalm. 32. Enarat. 2.) ὁ μὲν ἄνθρωπός ἐστι πιστὸς ὡς πιστεύων τῷ ὑπισχνουμένῳ Θεῷ· ὁ δὲ Θεός ἐστι πιστὸς, ὡς παρέχων τῷ ἀνθρώπῳ ἅπερ ὑπέσχετο· «Fidelis est homo promittenti Deo, fidelis est Deus exhibens homini quod promisit». «Διπλοῦν εἶναι τὸν νοῦν ἐν τῇ Γραφῇ περὶ τοῦ πιστοῦ· τὸ μὲν ὡς πιστεῦον, τὸ δὲ ὡς ἀξιόπιστον· καὶ τὸ μὲν ἐπ᾽ ἀνθρώπων, τὸ δὲ ἐπὶ Θεοῦ ἁρμόζειν» Ἀθανάσιος (Τόμ. Α΄. σελ. 190.). Περὶ ταύτης τῆς μεγάλης προσηγορίας τοῦ πιστοῦ λέγει ὁ ἱερὸς Κύριλλος καὶ ἀλλαχοῦ (Κατήχ. Ε΄. §. 1.)· «Θεοῦ γὰρ πιστοῦ καλουμένου, καὶ σὺ ταύτην τὴν προσηγορίαν λαμβάνεις, μέγα λαμβάνων ἀξίωμα· ὥσπερ γὰρ καλεῖται Θεὸς ἀγαθὸς, καὶ δίκαιος, καὶ παντοκράτωρ, καὶ δημιουργὸς τῶν ὅλων, οὕτω καὶ πιστός». Ὅρα περὶ τῆς προσηγορίας ταύτης καὶ Διάλογ. Α΄.

[2]) Α΄. Κορ. α΄. 9.

[3]) Δευτερ. ΛΒ΄. 4.

[4]) Ψαλμ. Π΄. 6.

Τὸ θεῖον Βάπτισμά ἐστι, κατὰ τὸν

ρία, ἀπίστου δὲ ἡ προαίρεσις. Εἰσῆλθες εἰς ἀγῶνα, κάμε τὸν δρόμον· ἄλλον καιρὸν τοιοῦτον οὐκ ἔχεις. Εἴ σοι γάμων ἡμέραι προέκειντο, οὐκ ἂν κατεφρόνησας πάντων, καὶ περὶ τὴν ἑτοιμασίαν τῆς ἑστιάσεως ἐγένου; μέλλων δὲ τὴν ψυχὴν καθοσιοῦν τῷ ἐπουρανίῳ νυμφίῳ, οὐκ ἀργήσεις σωματικῶν, ἵνα ἄρῃς πνευματικά;

§. Ζ΄. Οὐκ ἔνι δὶς καὶ τρὶς λαβεῖν τὸ λουτρόν [1])· ἐπεὶ ἐνῆν εἰπεῖν· ἅπαξ ἀποτυχὼν, δεύτερον κατορθῶ [2])· ἐὰν δὲ τὸ ἅπαξ ἀποτύχῃς,

---

ἅγιον Ἰσίδ. τὸν Πηλουσιώτην (Ἐπις. ΡϞΕ. Βιβλ. Γ΄.), «υἱοθεσίας καὶ θείας συγγενείας ποιητικόν»· ὅθεν εἶπε καὶ ὁ ἱερὸς Κλήμ· «Βαπτιζόμενοι φωτιζόμεθα· φωτιζόμενοι υἱοποιούμεθα· υἱοποιούμενοι τελειούμεθα· τελειούμενοι ἀπαθανατιζόμεθα· «Ἐγὼ, φησὶν, εἶπα, θεοί ἐστε καὶ υἱοὶ Ὑψίστου πάντες»· (Παιδαγ. Βιβλ. Α΄. κεφ. ς΄. §. 26.). Φησὶ δὲ καὶ ὁ μακάριος Θεοδώρητος (Ἑρμην. εἰς τὴν πρὸς Γαλ. Γ΄. 27.)· «Ἐπειδὴ εἶπεν, ὅτι πάντες υἱοὶ Θεοῦ ἐστε, διδάσκει καὶ πῶς ἔτυχον τούτου, καὶ φησίν· ἐνδύσασθε τὸν Χριστὸν τὸν ἀληθῶς Υἱὸν τοῦ Θεοῦ· ἐκεῖνον γὰρ ἐνδεδυμένοι, εἰκότως υἱοὶ Θεοῦ χρηματίζετε».

[1]) Τοὺς Οὐαλεντινιανοὺς καὶ Μαρκιωνίτας αἰνίττεται ὁ Πατὴρ ἐνταῦθα, ὧν οἱ μὲν πρῶτοι δύο ἐδίδουν βαπτίσματα κατὰ τὸν Ἱερώνυμον (in Epist. Pauli ad Ephes. cap. 4.)· οἱ δὲ Μαρκιωνῖται καὶ μέχρι τῶν τριῶν προεχώρουν, καθ' ἃ βεβαιοῖ Ἐπιφάνιος (Αἵρ. 42.)· «Οὐ μόνον παρ' αὐτῷ ἓν λουτρὸν δίδοται, ἀλλὰ καὶ ἕως τριῶν λουτρῶν καὶ ἐπέκεινα ἔξεστι διδόναι παρ' αὐτοῖς τῷ βουλομένῳ, ὡς παρὰ πολλῶν ἀκήκοα». Φησὶ δὲ καὶ ὁ Βαλσαμὼν περὶ τοῦ Μαρκίωνος· «Ἐβάπτιζεν οὐ μόνον ἅπαξ, ἀλλὰ καὶ ἐκ τρίτου» (εἰς τὸν ϞΕ. Κανόνα τῆς ἐν Τρούλλῳ Συνόδ.)· καὶ ὁ Δαμασκηνὸς (περὶ Αἱρ. μβ΄.).

[2]) Ὅμοια τούτοις εἰσὶ καὶ ὅσα λέγει περὶ τῆς ἅπαξ μόνον κτωμένης δωρεᾶς τοῦ ἁγίου Βαπτίσματος ὁ ἱερὸς Χρυσόστομος ἐν τῇ ἐνάτῃ Ὁμιλ. τῆς πρὸς Ἑβρ. Ἐπιστ. «Ἀπάγων οὖν αὐτοὺς (ὁ Παῦλος) τῆς τοιαύτης ῥαθυμίας, καὶ προσεκτικωτέρους ποιῶν, τοῦτον τὸν λόγον κινεῖ. Οὐκ ἔνι γὰρ εἰπεῖν ὅτι, ἂν νῦν ῥαθύμως ζήσωμεν, πάλιν βαπτισθησόμεθα, πάλιν κατηχηθησόμεθα, καὶ πάλιν ληψόμεθα τὸ πνεῦμα· ἢ ὅτι, ἂν νῦν τῆς πίστεως ἐκπέσωμεν, πάλιν δυνηθησόμεθα βαπτιζόμενοι τὰ ἁμαρτήματα ἀπολούσασθαι, καὶ τῶν αὐτῶν τυχεῖν, ὧν περ καὶ πρότερον. Σφάλεσθε, φησὶ, ταῦτα νομίζοντες· ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ μετόχους γενηθέντας Πνεύματος ἁγίου, καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα, δυνάμεις τε μέλλοντος αἰῶνος, καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασταυροῦντας ἑαυτοῖς

ἀδιόρθωτον τὸ πρᾶγμα. Εἷς γὰρ Κύριος, καὶ μία πίστις, καὶ ἓν βάπτισμα [1])· μόνον γὰρ οἱ αἱρετικοὶ ἀναβαπτίζονται. ἐπειδὴ τὸ πρότερον οὐκ ἦν βάπτισμα.

§. Η΄. Οὐδὲν γὰρ ἄλλο παρ' ἡμῶν ζητεῖ ὁ Θεὸς, εἰ μὴ προαι-

τὸν Υἱὸν τοῦ Θεοῦ καὶ παραδειγματίζοντας». Φησὶ δὲ καὶ ὁ Εὐλόγιος παρὰ τῷ Φωτίῳ (Βιβλιοθ. 280)· «Ἀδύνατον τοὺς ἅπαξ φωτισθέντας, πάλιν δεύτερον βάπτισμα προσδοκᾶν· ἅπαξ γὰρ ὁ Χριστὸς ἐπὶ συντελείᾳ τῶν αἰώνων ἔπαθεν».

[1]) Περὶ τοῦ ἑνὸς καὶ μόνου καὶ μηδέποτε δευτερουμένου ὀρθοδόξου βαπτίσματος πολλαὶ πρόκεινται καὶ ἀμφιλαφεῖς αἱ μαρτυρίαι τῶν ἱερῶν διδασκάλων, σαφῶς καὶ διαῤῥήδην βεβαιοῦσαι τὸ τοῦ βαπτίσματος ἑνιαῖον. Ἐν πρώτοις ἀποφαίνεται ὁ ΜΗ΄. Ἀποστολικὸς Κανών· «Ἐπίσκοπος καὶ Πρεσβύτερος τὸν κατὰ ἀλήθειαν ἔχοντα βάπτισμα, ἐὰν ἄνωθεν βαπτίσῃ—καθαιρείσθω, ὡς γελῶν τὸν σταυρὸν καὶ τὸν τοῦ Κυρίου θάνατον». Εἴρηται δὲ καὶ ἐν ταῖς τῶν Ἀποστόλων Διαταγαῖς (ς΄. 15.)· «Βαπτίσματι ἑνὶ ἀρκεῖσθαι μόνῳ, τῷ εἰς τὸν τοῦ Κυρίου θάνατον δεδομένῳ, οὐ τῷ παρὰ τῶν δυσωνύμων αἱρετικῶν, ἀλλὰ τῷ παρὰ τῶν ἀμέμπτων ἱερέων δεδομένῳ εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Μήτε δὲ τὸ παρὰ τῶν ἀσεβῶν δεκτὸν ὑμῖν ἔστω, μήτε τὸ παρὰ τῶν ὁσίων ἀκυρούσθω διὰ δευτέρου· ὡς γὰρ εἷς ὁ Θεὸς, εἷς ὁ Χριστὸς, καὶ εἷς ὁ Παράκλητος, εἷς δὲ καὶ ὁ τοῦ Κυρίου ἐν σώματι θάνατος, οὕτως ἓν ἔστω καὶ τὸ εἰς αὐτὸν διδόμενον βάπτισμα». «Ἓν οἴδαμεν τὸ σωτήριον Βάπτισμα, λέγει καὶ ὁ Μ. Βασίλειος (περὶ τοῦ ἁγ. Πνεύμ. κεφ. 15), ἐπειδὴ εἷς ἐστιν ὁ ὑπὲρ τοῦ κόσμου θάνατος, καὶ μία ἡ ἐκ νεκρῶν ἐξανάστασις, ὧν τύπος ἐστὶ τὸ βάπτισμα». Φησὶ δὲ καὶ ὁ ἱερὸς Χρυσοῤῥήμων (Ὁμιλ. Θ΄. εἰς τὴν πρὸς Ἑβρ. Ἐπιστ.)· «Ὥσπερ οὖν οὐκ ἔνι δεύτερον σταυρωθῆναι τὸν Χριστόν· τοῦτο γὰρ παραδειγματίσαι αὐτόν ἐστιν· οὕτως οὐδὲ βαπτισθῆναι—Οὐκ ἔστι τοίνυν δεύτερον λουτρὸν, οὐκ ἔστιν· εἰ δέ ἐστι, καὶ τρίτον ἐστὶ, καὶ τέταρτόν ἐστι, καὶ ὑπὸ τοῦ ὑστέρου ἀεὶ τὸ πρῶτον καταλύεται, καὶ τοῦτο πάλιν ὑπὸ τοῦ ἄλλου, καὶ τοῦτο εἰς ἄπειρον». Λέγει δὲ καὶ ὁ μακάριος Ἐπιφάνιος (Αἱρ. 59.)· «Οὐ δύναταί τις λουτρὸν δεύτερον λαμβάνειν· ἓν γάρ ἐστι βάπτισμα, καὶ εἷς ὁ ἐγκαινισμός». Πρόσθες τούτοις καὶ τὰ τοῦ θείου Δαμασκηνοῦ (περὶ Ὀρθοδ. πίστ. δ΄. 10.)· «ὥσπερ ἅπαξ ἐτελέσθη ὁ τοῦ Κυρίου θάνατος, οὕτω καὶ ἅπαξ δεῖ βαπτίζεσθαι». Ἐκ δὲ τῶν Λατίνων πατέρων ὁ ἱερὸς Αὐγουστῖνος διδάσκει, ὅτι «τὸ ἀναβαπτίζειν Καθολικὸν, δεινότατόν ἐστιν ἔγκλημα» Rebaptizare Catholicum, immanissimum scelus est» (Epist. 203.). Ὅρα καὶ Τερτυλλιανὸν de pudicitia cap. 16. de baptismo

ρεσιν ἀγαθήν. Μὴ λέγε· πῶς μου ἐξαλείφονται αἱ ἁμαρτίαι; Ἐγώ σοι λέγω, τῷ θέλειν, τῷ πιστεύειν· τί τούτου συντομώτερον[1]; Ἐὰν δὲ τὰ μὲν χείλη σου λέγῃ τὸ θέλειν, ἡ δὲ καρδία μὴ λέγῃ, καρδιογνώστης ὁ κρίνων. Ἄργησον ἀπὸ τῆς σήμερον ἀπὸ παντὸς φαύλου πράγματος· μή σου λαλησάτω ἡ γλῶσσα ἄσεμνα ῥήματα· μή σου τὸ βλέμμα ἁμαρτανέτω, μηδὲ ῥεμβέσθω ὁ νοῦς σου περὶ τὰ ἀχρήσιμα[2]).

---

cap. 15.—Περὶ τοῦ ἑνὸς βαπτίσματος πρόσθες καὶ ἄλλους ἐκ τοῦ corpus haeresiol. p. 377.

[1]) Τὴν ἐκ τῆς ἀγαθῆς προαιρέσεως καὶ βουλήσεως τοῦ θέλειν μόνον εὐκολίαν ταύτην παριστῶν καὶ ὁ Θεολόγος Γρηγόριος, λέγει· «Ὢ τοῦ τάχους τῆς φιλανθρωπίας· ὢ τῆς εὐκολίας τοῦ συναλλάγματος· ὤνιόν σοι τοῦτο τοῦ θελῆσαι μόνον τὸ ἀγαθόν· αὐτὴν τὴν ὁρμὴν ἀντὶ τοῦ μεγάλου τιμήματος δέχεται· διψᾷ τὸ διψᾶσθαι· ποτίζει τοὺς πιεῖν ἐθέλοντας» (Λόγ. Μ'.).

[2]) Πολλοὶ τῶν Κατηχουμένων, ἕξεις κακὰς ἔτι ἔχοντες, προσήρχοντο πρὸς τὸ φώτισμα, εὔκολον νομίζοντες τὴν ἐκ μιᾶς πρόρριζον ἐκκοπὴν τῶν ἕξεων τούτων μετὰ τὴν ἀναγέννησιν· ὅθεν παραινεῖ τούτοις ὁ θεσπέσιος Κύριλλος ἵνα ἀπὸ τοῦδε, πρὶν ἢ βαπτισθῶσιν, ἀπομάθωσι τὰ κακὰ καὶ ἐκριζώσωσι πᾶσαν φαύλην συνήθειαν ἐν θεαρέστοις ἔργοις προγυμναζόμενοι, ἵνα μὴ ξενοπαθῶσιν ἔπειτα ἢ θορυβῶνται, καινὰ τὰ παλαίσματα ὁρῶντες. Τὴν πρὸ τοῦ βαπτίσματος ταύτην κάθαρσιν καὶ τὴν μετὰ τὸ βάπτισμα προσοχὴν διδάσκων καὶ ὁ Θεολόγος Γρηγόριος (Λόγ. Μ'.) λέγει· «Εἴ τι οὖν ἐμοὶ πείθεσθε, τοὺς μὲν τοιούτους λόγους χαίρειν ἐάσατε, αὐτοὶ δὲ τῷ ἀγαθῷ προσπηδήσατε, καὶ διπλοῦν ἀγῶνα ἀγωνιεῖσθε· τὸν μὲν προκαθαίρειν ὑμᾶς αὐτοὺς τοῦ βαπτίσματος, τὸν δὲ συντηρεῖν τὸ βάπτισμα· ἐπειδὴ τῆς αὐτῆς ἐστι δυσχερείας καὶ κτήσασθαί τι τῶν ἀγαθῶν οὐχ ὑπάρχον, καὶ κτηθὲν διασώσασθαι· πολλάκις γὰρ ὃ μὲν σπουδὴ προσέλαβε, ῥαθυμία διέφθειρεν· ὃ δὲ ὄκνος ἀπώλεσεν, ἀνεκαλέσατο ἐπιμέλεια. Καλόν σοι βοήθημα πρὸς τὸ τυχεῖν ὧν ἐπιποθεῖς, ἀγρυπνίαι, νηστεῖαι, χαμευνίαι, προσευχαί, δάκρυον κτλ.». Θαυμαστά εἰσι καὶ ὅσα περὶ τούτου παραινεῖ τοῖς Κατηχουμένοις καὶ ὁ ἱερὸς Χρυσορρήμων (Τόμ. Β'. σελ. 280.)· «Ἵνα οὖν μὴ πρὸς τὸν πρότερον ἐπανίωμεν ἔμετον, παιδεύσωμεν ἑαυτοὺς ἐντεῦθεν ἤδη· ὅτι γὰρ δεῖ πρότερον μετανοήσαντας καὶ τῶν προτέρων ἀποστάντας κακῶν, οὕτω τῇ χάριτι προσιέναι, ἄκουσον τί μὲν Ἰωάννης φησί, τί δὲ ὁ τῶν Ἀποστόλων κορυφαῖος τοῖς βαπτίζεσθαι μέλλουσιν· ἐκεῖνος μὲν γάρ φησι· Ποιήσατε καρπὸν ἄξιον τῆς μετανοί-

§. Θ'. Οἱ πόδες σου εἰς τὰς Κατηχήσεις σπευδέτωσαν. Τοὺς ἐπορκισμοὺς δέχου μετὰ σπουδῆς [1]) κἂν ἐμφυσηθῇς, κἂν ἐπορκισθῇς,

---

ας, καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς, ὅτι πατέρα ἔχομεν τὸν Ἀβραάμ· οὗτος δὲ τοῖς ἐρωτῶσι πάλιν ἔλεγε· Μετανοήσατε καὶ βαπτισθήτω ἕκαστος ὑμῶν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ. Ὁ δὲ μετανοῶν οὐκέτι τῶν αὐτῶν ἅπτεται πραγμάτων, ἐφ' οἷς μετενόησε. Διὰ τοῦτο καὶ κελευόμεθα λέγειν· ἀποτάσσομαί σοι Σατανᾶ, ἵνα μηκέτι πρὸς αὐτὸν ἐπανέλθωμεν. Καθάπερ γὰρ ἐπὶ τῶν ζωγράφων γίνεται, οὕτω καὶ νῦν γινέσθω· καὶ γὰρ ἐκεῖνοι τὰς σανίδας προθέντες καὶ λευκὰς περιάγοντες γραμμὰς, καὶ τὰς βασιλικὰς ὑπογράφοντες εἰκόνας, πρὶν ἢ τῶν χρωμάτων ἐπαγαγεῖν τὴν ἀλήθειαν, μετ' ἐξουσίας ἁπάσης τὰ μὲν ἐξαλείφουσι, τὰ δὲ ἀντεγγράφουσι, καὶ διορθοῦντες τὰ ἡμαρτημένα καὶ μετατιθέντες τὰ κακῶς ἔχοντα. Ἐπειδὰν δὲ τὴν βαφὴν λοιπὸν ἐπαγάγωσιν, οὐκέτι εἰσὶ κύριοι πάλιν ἐξαλεῖψαι καὶ ἀντεγγράψαι, ἐπεὶ τῷ κάλλει τῆς εἰκόνος λυμαίνονται, καὶ ἔγκλημα τὸ πρᾶγμα γίνεται· τοῦτο δὴ καὶ σὺ ποίησον· νόμισον εἰκόνα σοι τὴν ψυχὴν εἶναι· πρὶν ἢ τοίνυν ἐπελθεῖν τὴν ἀληθῆ τοῦ Πνεύματος βαφὴν, ἐξάλειψον τὰς κακῶς ἐντεθείσας σοι συνηθείας εἴτε ὀμνύναι, εἴτε ψεύδεσθαι, εἴτε ὑβρίζειν, εἴτε αἰσχρολογεῖν, εἴτε γελωτοποιεῖν, εἴτε ἄλλο τι τῶν τοιούτων τῶν μὴ νενομισμένων συνήθειαν ἔχεις ποιεῖν· ἔξελε τὴν συνήθειαν, ἵνα μὴ πάλιν πρὸς αὐτὴν ἐπανέλθῃς μετὰ τὸ βάπτισμα».

[1]) Ἐπορκισμὸς ἢ ἐφορκισμὸς ἢ συνηθές. ἐξορκισμὸς λέγεται ἡ ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος τοῦ κόσμου ἐκδίωξις καὶ φυγάδευσις τοῦ Δαίμονος ἀπὸ τοῦ ἀνθρώπου. Ἡ Ἐκκλησία ἔσχεν ἀνέκαθεν σταθερὸν τὸ δόγμα, ὅτι πᾶς ὁ μὴ διὰ τοῦ ἁγίου Βαπτίσματος ἀναγεννηθεὶς, μηδὲ διὰ τῆς ἀναγεννήσεως ταύτης υἱὸς φωτὸς καὶ ἡμέρας γενόμενος, ἐκεῖνος υἱὸς τυγχάνει σκότους καὶ ὑπὸ τὸ κράτος ἐστὶ τοῦ Σατανᾶ, καὶ ἔχει καὶ ἐν αὐτοῖς τοῖς μέλεσιν αὐτοῦ ἐμφωλευομένας τὰς ἀντικειμένας δυνάμεις (Κατ. Κ'. 2. Χρυσόστ. Ὁμιλ. Β'. εἰς τὴν Β'. πρὸς Κορινθ.). Ἐκ ταύτης τῆς ἐν ταῖς Γραφαῖς ἐῤῥιζωμένης πεποιθήσεως ὁρμωμένη ἡ Ἐκκλησία ἄνωθεν καὶ ἀπ' αὐτῶν ἔτι τῶν ἀποστολικῶν χρόνων διετέλεσεν ἐξορκίζουσα τοὺς Κατηχουμένους πρὸ τοῦ βαπτίσματος, τουτέστι δι' εὐχῆς καὶ ἐπικλήσεως τοῦ ὀνόματος τοῦ Θεοῦ καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀπελαύνουσα πρότερον καὶ φυγαδεύουσα πᾶσαν ἀντικειμένην δύναμιν, πᾶσαν ἰσχὺν τοῦ Διαβόλου ἐν τοῖς μέλεσι βασιλεύουσαν, πᾶσαν τυραννίαν τοῦ Σατανᾶ τυραννεύουσαν ἐπὶ τῶν τοῦ Θεοῦ πλασμάτων. Ὅθεν λέγει παρακατιὼν ὁ Κύριλλος· «Ἄνευ ἐπορκισμῶν οὐ δύναται καθαρθῆναι ψυχή». Οἱ ἐξορκισμοὶ

σωτηρία σοι τὸ πρᾶγμα. Νόμισον εἶναι ἀργὸν χρυσὸν καὶ δεδολωμένον, ποικίλαις ὕλαις ἀναμεμιγμένον, χαλκῷ καὶ κασσιτέρῳ, καὶ σιδήρῳ, καὶ μολύβδῳ· ζητοῦμεν τὸν χρυσὸν μόνον ἔχειν· χρυσὸς μὴ

οὗτοι ἐγίνοντο ἐσκεπασμένου τοῦ προσώπου, ἵνα μηδὲ τὸ βλέμμα μηδὲ ὁ νοῦς ῥέμβηται τοῦ Κατηχουμένου. Τοῖς ἐξορκισμοῖς τούτοις προσετίθεντο καὶ ἐμφυσήματα δύο τινὰ δηλοῦντα· τὴν χάριν τοῦ ἁγίου Πνεύματος, οὗ τῇ δυνάμει ἐτελοῦντο οἱ ἐξορκισμοὶ, καὶ τὴν δι' αὐτοῦ, ὡς διὰ πυρὸς, ἐκδίωξιν καὶ ἀπέλασιν πάσης δαιμονικῆς ἐνεργείας· «Τὸ ἁπλοῦν ἐμφύσημα τοῦ ἐπορκίζοντος, λέγει ὁ Κύριλλος (Κατήχ. ΙΣΤ'. 19.) πῦρ γίνεται τῷ μὴ φαινομένῳ»· φησὶ δὲ καὶ ἀλλαχοῦ (Κατήχ. Κ'. 3.)· «Τὰ ἐμφυσήματα τῶν ἁγίων καὶ ἡ τοῦ ὀνόματος τοῦ Θεοῦ ἐπίκλησις ὥσπερ σφοδροτάτη φλὸξ καίει καὶ ἐκδιώκει δαίμονας». Ὅθεν γέγραπται καὶ ἐν τῷ ἡμετέρῳ Εὐχολογίῳ (σελ. 133)· «Καὶ ἐμφυσᾷ αὐτοῦ (τοῦ Κατηχουμένου) ὁ ἱερεὺς τὸ στόμα, τὸ μέτωπον καὶ τὸ στῆθος λέγων· ἐξέλασον ἀπ' αὐτοῦ πᾶν πονηρὸν καὶ ἀκάθαρτον πνεῦμα, κεκρυμμένον καὶ ἐμφωλεῦον αὐτοῦ τῇ καρδίᾳ· πνεῦμα πλάνης, πνεῦμα πονηρίας κτλ.». Συνῳδὰ τῷ θείῳ Κυρίλλῳ φθέγγεται περὶ τοῦ ἐξορκισμοῦ καὶ ὁ Θεολόγος Γρηγόριος (Λόγ. Μ'.)· «Μὴ διαπτύσῃς, λέγει, ἐξορκισμοῦ θεραπείαν, μηδὲ πρὸς τὸ μῆκος αὐτῆς ἀπαγορεύσῃς· βάσανός ἐστι καὶ αὕτη τῆς περὶ τὸ χάρισμα γνησιότητος». Περὶ τοῦ ἐξορκισμοῦ τούτου τῶν Κατηχουμένων καὶ τοῦ ἐμφυσήματος διαγορεύει καὶ ὁ ΖΕ'. Κανὼν τῆς ΣΤ'. Οἰκουμ. Συνόδου λέγων· «Τὴν πρώτην ἡμέραν ποιοῦμεν αὐτοὺς χριστιανοὺς, τὴν δὲ δευτέραν Κατηχουμένους, εἶτα τὴν τρίτην ἐξορκίζομεν αὐτοὺς μετὰ τοῦ ἐμφυσᾶν τρίτον εἰς τὸ πρόσωπον καὶ εἰς τὰ ὦτα». Ἦσαν δ' ἀνέκαθεν ἐν τῇ Ἐκκλησίᾳ καὶ ἄνδρες ἴδιον τοῦτο ἔχοντες ἔργον, τὸ τοὺς ἐπορκισμοὺς τῶν Κατηχουμένων ποιεῖν· ὅθεν ὠνομάζοντο καὶ ἰδίῳ ὀνόματι ἐπορκισταὶ, ἢ ἐφορκισταὶ, ἢ ἐξορκισταὶ (Ἀποστολ. Διαταγ. Η'. 26. Καν. Ι'. τῆς ἐν Ἀντιοχ. Συνόδ. Καν. ΚΔ'. τῆς ἐν Λαοδ. Συνόδ.). Σημείωσαι ὅτι οἱ ἐπὶ τῶν Κατηχουμένων διατετυπωμένοι οὗτοι ἐξορκισμοὶ διαφέρουσι τῶν ἄλλων ἐξορκισμῶν τῶν γινομένων ἐπὶ τῶν ἐνεργουμένων, τουτέστι τῶν δαιμονιζομένων, τῶν φανερῶς ὑπὸ πονηρῶν πνευμάτων κατεχομένων. Ὅθεν ἐπὶ τούτων καὶ ἴδιαι εὐχαὶ κεῖνται ἐν τῷ Εὐχολογίῳ. Σημειούσθω δὲ πρὸς τούτοις καὶ τοῦτο, ὅτι οἱ ἐν τῷ Εὐχολογίῳ ἐπὶ τῶν ἐνεργουμένων ἐξορκισμοὶ πρέπον ἐστὶν ἵνα λέγωνται καὶ ἀναγινώσκωνται ἐπὶ τῶν ἀληθῶς δαιμονιζομένων καὶ αἰσθητῶς ὑπὸ πονηρῶν πνευμάτων κατεχομένων, οὐχὶ δὲ ἐπὶ πάσης οἱασδήποτε φυσικῆς ἀσθενείας· διότι ἐπὶ τοιαύτης φυσικῆς ἀῤῥωστίας καὶ μαλακίας κεῖται ἰδιαιτέρα εὐχὴ (Εὐχολ. σελ. 230.),

δύναται ἄνευ πυρὸς καθαρθῆναι τὰ ἀνοίκεια· οὕτως ἄνευ ἐπορκισμῶν οὐ δύναται καθαρθῆναι ψυχή. Εἰσὶ δὲ θεῖοι, ἐκ θείων Γραφῶν συνειλεγμένοι[1]). Ἐσκέπασαί σου τὸ πρόσωπον, ἵνα σχολάσῃ λοιπὸν ἡ διάνοια, ἵνα μὴ τὸ βλέμμα ῥεμβόμενον ποιήσῃ ῥέμβεσθαι καὶ τὴν καρδίαν. Τῶν δὲ ὀφθαλμῶν ἐσκεπασμένων, οὐκ ἐμποδίζεται τὰ ὦτα δέξασθαι τὸ σωτήριον· ὃν γὰρ τρόπον οἱ τῆς χρυσοχοϊκῆς ἐργασίας ἔμπειροι διά τινων λεπτῶν ὀργάνων τὸ πνεῦμα τῷ πυρὶ παρεμβάλλοντες, καὶ τὸ ἐν τῇ χώνῃ κεκρυμμένον χρυσίον ἀναφυσῶντες, τὴν παρακειμένην ἐρεθίζοντες φλόγα, εὑρίσκουσι τὸ ζητούμενον, οὕτω τῶν ἐπορκιζόντων διὰ Πνεύματος θείου ἐμβαλλόντων τὸν φόβον, καὶ ὥσπερ ἐν χώνῃ τῷ σώματι τὴν ψυχὴν ἀναζωπυρούντων, φεύγει μὲν ὁ ἐχθρὸς Δαίμων, παραμένει δὲ ἡ σωτηρία, καὶ παραμένει ἡ ἐλπὶς

καὶ διότι ἅπαντα τὰ τῶν ἐξορκισμῶν ῥήματα καὶ νοήματα ἀφορῶσι καὶ ἐξορκίζουσι Δαίμονα ἐγκεκρυμμένον καὶ ἐνεργοῦντα ἐν τῷ πλάσματι τοῦ Θεοῦ· ἄτοπον δὲ τὸ ἐπὶ τῆς τυχούσης σωματικῆς ἀῤῥωστίας ὑποτιθέναι Δαίμονα βασανίζοντα καὶ τὸ τοῦ Θεοῦ πλάσμα κατέχοντα. Ὅθεν νομίζομεν ἐσφαλμένην καὶ ὑπὸ μεταγενεστέρας τινὸς χειρὸς προστεθειμένην τὴν ἐν τῇ ἐπιγραφῇ τῶν εὐχῶν προσθήκην· «καὶ πρὸς ἑκάστην ἀσθένειαν».

[1]) Οὕτω κατά τινας Κώδηκας, ἀντὶ τοῦ συνεκλελεγμένοι, ὅπερ παρεδέξατο ἐν τῷ κειμένῳ καὶ Μ. καὶ Τ.

Ἐκ τῶν θείων Γραφῶν λέγει συνειλεγμένους τοὺς ἐν τῇ Ἐκκλησίᾳ εἰθισμένους ἐξορκισμούς· διότι ἦσαν καὶ ἄλλοι ἐξορκισμοί, οὓς συνέταττον ἐξ ἰδίων λέξεων καὶ ἐπινοήσεων ἄλλοι ἄνθρωποι, ἐξορκιςὰς ἑαυτοὺς ὀνομάζοντες, περὶ ὧν γέγραπται ἐν τῇ πρὸς Μαρκελλῖνον Ἐπιστολῇ τοῦ Μ. Ἀθανασίου τὰ ἑξῆς· «Ἐγὼ γοῦν, ἔλεγεν ὁ Γέρων, ἤκουσα παρὰ φρονίμων ἀνδρῶν, ὡς ἄρα τὸ παλαιὸν ἐν τῷ Ἰσραὴλ μόνον ἀναγινώσκοντες τὰς Γραφὰς ἐδίωκον Δαίμονας, καὶ ἤλεγχον τὰς παρ' αὐτῶν γενομένας τοῖς ἀνθρώποις ἐπιβουλάς· ὅθεν καταγνώσεως πάσης ἀξίους εἶναι ἔλεγε τοὺς ταῦτα μὲν ἀφιέντας, συντιθέντας δὲ ἑαυτοῖς ἔξωθεν ῥήματα πιθανὰ, καὶ ἐν τούτοις ἐξορκιστὰς ἑαυτοὺς ὀνομάζοντας· μᾶλλον γὰρ παίζουσι καὶ παρέχουσιν ἑαυτοὺς ἐκείνοις εἰς τὸ χλευάζεσθαι, οἷα πεπόνθασιν ἐν ταῖς Πράξεσιν Ἰουδαίων Σκευᾶ οἱ υἱοὶ, ἐπιχειρήσαντες καὶ αὐτοὶ τὸν τρόπον τοῦτον ἐξορκίζειν. Ταῦτα μὲν ἀκούοντες παρὰ τῶν τοιούτων οἱ Δαίμονες παίζουσι· τὰ δὲ τῶν ἁγίων φοβοῦνται ῥήματα, ἢ καὶ φέρειν αὐτὰ οὐ δύνανται».

τῆς αἰωνίου ζωῆς· καὶ λοιπὸν ἡ ψυχὴ καθαρθεῖσα τῶν ἁμαρτημάτων, ἔχει τὴν σωτηρίαν [1]). Παραμένωμεν τοίνυν τῇ ἐλπίδι, ἀδελφοί, καὶ δῶμεν ἑαυτοὺς, καὶ ἐλπίσωμεν, ἵνα ὁ Θεὸς τῶν ὅλων τὴν ἡμετέραν προαίρεσιν ἰδὼν, καθάρῃ μὲν ἡμᾶς τῶν ἁμαρτιῶν, ἐλπίδας δὲ ἡμῖν ἀγαθὰς παράσχῃ τῶν πραγμάτων, καὶ δώῃ ἡμῖν μετάνοιαν σωτηρίας [2]). Θεὸς ἐκάλεσε, σὺ δὲ ἐκλήθης.

§. Ι΄. Παράμενε ταῖς Κατηχήσεσιν, εἰ καὶ πολλὰ παρατείνομεν λέγοντες, μήποτε ἡ διάνοιά σου ἐκλυθῇ· ὅπλα γὰρ λαμβάνεις κατὰ ἀντικειμένης ἐνεργείας· ὅπλα λαμβάνεις κατὰ αἱρέσεων, κατὰ Ἰουδαίων καὶ Σαμαρειτῶν καὶ ἐθνῶν [3]). Πολλοὺς ἐχθροὺς ἔχεις, πολλὰ

---

[1]) Προκαθαίρεται μὲν ἡ ψυχὴ διὰ τῶν ἐπορκισμῶν καὶ προτελειοῦται, ἐλευθερουμένη πάσης ἀντικειμένης δυνάμεως καὶ πάσης διαβολικῆς ἐνεργείας ἐνεργούσης ἐν τῷ παλαιῷ καὶ μὴ ἀναγεγεννημένῳ ἀνθρώπῳ· ἀλλ' ἡ τελεία κάθαρσις καὶ πλήρης τῶν ἁμαρτιῶν ἡμῶν ἄφεσις καὶ ἡμῶν αὐτῶν ζωοποίησις καὶ παλιγγενεσία γίνεται ἐν αὐτῷ τῷ ἁγίῳ Βαπτίσματι, καθὰ διατρανοῖ τοῦτο ὁ ἱερὸς Πατὴρ ἀλλαχοῦ (Κατήχ. Κ΄. 4. 6. Γ΄. 15.). Φησὶ δὲ καὶ ὁ μακάριος Ἐπιφάνιος· «Ἡ τελεία μετάνοια ἐν τῷ λουτρῷ τυγχάνει» (Τόμ. Α΄. σελ. 493.).

[2]) Ὀρθοτέρα αὕτη ἡ γραφὴ, ἣν ἔχουσι καὶ πολλοὶ κώδηκες, ἀντὶ τοῦ «μετάνοιαν σωτηρίαν».

[3]) Ὅρα τὰς τέσσαρας ταύτας τάξεις καὶ φάλαγγας τῶν ἐχθρῶν τῆς πίστεως· πρὸς ἑκάστην δὲ τούτων ἀντιπαρατάσσεσθαι χρὴ, καὶ ἀκοντίζειν καὶ μάχας συνάπτειν, ἀλλ' οὐχὶ τοῖς αὐτοῖς ὅπλοις καὶ τρόποις· διότι ἄλλη ἄλλην μορφὴν πλάνης ἔχει, καὶ ἄλλη ἄλλοις ὅπλοις καταγωνίζεται· τοῦθ' ὅπερ δείκνυσι καὶ ὁ ἱερὸς Κύριλλος ἐν ταῖς Κατηχήσεσι ταύταις, ἐν αἷς τοὺς μὲν ἐθνικοὺς τοὺς μὴ τὰς ἁγίας Γραφὰς παραδεχομένους καταπολεμεῖ διὰ συλλογισμῶν καὶ διὰ τῆς ἐκπομπεύσεως τῶν ἰδίων αὐτῶν μύθων (Κατήχ. ΙΒ΄. 27. Κατ. ΙΓ΄. 37. Κατήχ. ΙΗ΄. 10.), τοὺς δὲ Σαμαρείτας, τοὺς μόνον τὴν Πεντάτευχον καὶ τὸν νόμον Μωσέως ἀποδεχομένους, ἐξ αὐτοῦ τοῦ νόμου καὶ τῆς Πεντατεύχου καταγωνίζεται (Κατήχ. ΙΗ΄. 11. 12. 13.), τοὺς δὲ Ἰουδαίους τὰς ἐξ ἁπάσης τῆς Π. Διαθήκης προφητικὰς φωνὰς εἰς μέσον προθεὶς ἐξελέγχει (Κατήχ. ΙΒ΄. Κατήχ. ΙΓ΄. 37. Κατήχ. ΙΔ΄. 15)· τοὺς δὲ αἱρετικοὺς διττοῖς καὶ τριττοῖς ὅπλοις ἔκ τε τῆς Παλαιᾶς δηλονότι καὶ τῆς Νέας Διαθήκης καὶ τῆς ἐκκλησιαστικῆς παραδόσεως καρτε-

βέλη λάμβανε· πρὸς πολλοὺς γὰρ ἀκοντίζεις, καὶ χρεία σοι μαθεῖν, πῶς κατακοντίσῃς τὸν Ἕλληνα, πῶς ἀγωνίσῃ πρὸς αἱρετικὸν, πρὸς Ἰουδαῖον καὶ Σαμαρείτην. Καὶ τὰ μὲν ὅπλα ἕτοιμα, καὶ τὸ ξίφος τοῦ Πνεύματος ἑτοιμότατον [1])· δεῖ δὲ καὶ δεξιὰς τείνειν διὰ προαιρέσεως ἀγαθῆς, ἵνα πόλεμον Κυρίου πολεμήσῃς, ἵνα νικήσῃς ἀντικειμένας ἐνεργείας, ἵνα ἀήττητος γένῃ παντὶ αἱρετικῷ πράγματι [2]).

§. ΙΑ'. Παραγγελία δέ σοι καὶ τοῦτο ἔστω· τὰ λεγόμενα μάνθανε, καὶ τήρει εἰς τὸν αἰῶνα. Μὴ νομίσῃς τὰς συνήθεις εἶναι προσομιλίας [3])· κἀκεῖναι μὲν γὰρ ἀγαθαὶ, καὶ πίστεως ἄξιαι· ἀλλ᾽ ἐὰν σή-

---

ρῶς ἐξακοντίζων ἐς τοὔδαφος ῥίπτει (Κατήχ. Δ'. 35. 5. 12. Κατήχ. ΙΓ'. 37.). Τὸν ποικίλον καὶ διάφορον τρόπον τῆς Κατηχήσεως, τὸν κατὰ τὰς διαφορὰς τῶν θρησκειῶν ἀπαιτούμενον, διδάσκων καὶ ὁ θαυμάσιος Γρηγόριος Νύσσης (ἐν τῷ μεγάλῳ Κατηχητικῷ) λέγει· «Ἐν τοῖς αὐτοῖς θεραπεύσεις τοῦ Ἕλληνος τὴν πολυθεΐαν καὶ τοῦ Ἰουδαίου τὴν περὶ τὸν Μονογενῆ Θεὸν ἀπιστίαν· οὐδὲ ἀπὸ τῶν αὐτῶν τοῖς κατὰ τὰς αἱρέσεις πεπλανημένοις ἀνατρέψεις τὰς ἠπατημένας περὶ τῶν δογμάτων μυθοποιΐας, ... ἀλλὰ χρὴ, καθὼς εἴρηται, πρὸς τὰς ὑπολήψεις τῶν ἀνθρώπων βλέπειν, καὶ κατὰ τὴν ἐγκειμένην ἑκάστῳ πλάνην ποιεῖσθαι τὸν λόγον». Ὅθεν ἐπαινῶν ἀλλαχοῦ τὸν ὁμαίμονα θεῖον Βασίλειον, καὶ τοῦτο τῆς δεινότητος τοῦ ἀνδρὸς γνώρισμα τίθησι, ὅτι οἷά τις ἀριστεὺς περιδέξιος ὑπεραίρει τοὺς προσπαλαίοντας, «τοὺς μὲν ἐκ τῆς αἱρέσεως τὰς Γραφὰς προβαλλομένους ταῖς Γραφαῖς ἀνατρέπων, Ἕλληνας δὲ διὰ τῆς ἰδίας αὐτῶν συμποδίζων παιδεύσεως» (Ἐπιτάφ. εἰς τὸν Μ. Βασίλειον).

[1]) Οὕτω κομψοτέρα εὕρηται ἡ συνθήκη τῶν λέξεων τούτων ἐν τῷ Ἀρχιεπισκοπικῷ Κώδηκι, καθὼς καὶ ἐν τῷ Κώδηκι Roe, ἀντὶ τοῦ συνήθως φερομένου «τὸ ξίφος ἑτοιμότατον τοῦ πνεύματος».

[2]) Ἀήττητος καὶ ἀπερίτρεπτος γίνεται ὁ χριστιανὸς, ὅταν ἡ ψυχὴ αὐτοῦ ὑπάρχῃ ἑδραία καὶ πεπηγμένη ἐν τῷ θεμελίῳ τῆς ὀρθῆς πίστεως, ὡς διδάσκει ὁ ἱερὸς Χρυσοῤῥήμων (Τόμ. Γ'. σελ. 289.)· «Καθάπερ οὖν τὰ δένδρα αἱ τῶν ἀνέμων προσβολαὶ πάντοθεν ῥιπίζουσαι ἰσχυρότερα ποιοῦσιν, ἂν ᾖ καλῶς ἐῤῥιζωμένα καὶ μετὰ ἀκριβείας, οὕτω δὲ καὶ τὰς ψυχὰς τὰς πεπηγυίας ἐν τῷ θεμελίῳ τῆς ὀρθῆς πίστεως, ὅσαι ἂν προσβάλωσιν αἱρέσεις, οὐ περιτρέπουσιν, ἀλλὰ καὶ ἰσχυροτέρας ποιοῦσι».

[3]) Ἐπὶ τῇ αὐθεντίᾳ τριῶν Κωδήκων, τοῦ Ἀρχιεπισκόπου τοῦ Roe καὶ τοῦ Casaub. στηριζόμενοι ἐθήκαμεν «προσομιλίας», ἀντὶ τοῦ συνήθους

μερον ἀμελήσωμεν, αὔριον μανθάνομεν· τὰ δὲ περὶ τοῦ λουτροῦ τῆς παλιγγενεσίας κατ' ἀκολουθίαν διαδιδόμενα [1]) διδάγματα ἐὰν σήμερον

«ὁμιλίας». Ὅτι δὲ ἡ λέξις προσομιλία ἦν εὔχρηστος τὸ πάλαι καὶ παρ' ἄλλοις Πατράσι, γίνεται φανερὸν ἐκ τοῦ Ἱερωνύμου, ὅστις ἐν τῷ περὶ τῶν Ἐκκλ. Συγγραφέων καταλόγῳ περὶ Ἱππολύτου τὸν λόγον ποιούμενος λέγει, ὅτι ἀνέγνωκεν αὐτοῦ «librum προσομιλιῶν de laude Domini Salvatoris in Ecclesia pronuntiatarum».

Ὁμιλίαι εἰσὶν ἐνταῦθα οἱ πρὸς τὸν λαὸν ἐν Ἐκκλησίᾳ ἐκφωνούμενοι λόγοι τῶν Ἱεροκηρύκων, αἱ ἐν ταῖς Συνάξεσι τῶν πιστῶν διδαχαί. Τοιαῦται διδαχαὶ ἐκηρύσσοντο ἀνέκαθεν ἐν τῇ Ἐκκλησίᾳ κατὰ πᾶσαν Κυριακήν. Τοῦτο βεβαιοῖ καὶ ὁ κατὰ τὸν Β'. αἰῶνα ἀκμάσας ἱερὸς Ἰουστῖνος, ἐν οἷς λέγει ἐν τῇ Β'. Ἀπολογίᾳ· «Τῇ τοῦ Ἡλίου λεγομένῃ ἡμέρᾳ, πάντων κατὰ πόλεις ἢ ἀγροὺς μενόντων, ἐπὶ τὸ αὐτὸ συνέλευσις γίνεται . . . . εἶτα παυσαμένου τοῦ ἀναγινώσκοντος, ὁ προεστὼς διὰ λόγου τὴν νουθεσίαν καὶ πρόκλησιν τῆς τῶν καλῶν τούτων μιμήσεως ποιεῖται». Τοιαύτας ἐπὶ Συνάξεως διδαχὰς ἀπήγγειλε καὶ ὁ θεῖος Κύριλλος ἐν ἡμέραις Κυριακαῖς, ὡς γίνεται δῆλον ἐκ τῆς δεκάτης Κατηχήσεως, ἔνθα λέγει· «Καθὼς ἤκουσας ἐν τῇ Κυριακῇ διαλεγομένων ἡμῶν ἐπὶ τῆς Συνάξεως»· ὅρα καὶ Κατήχ. ΙΔ'., 24. Σημείωσαι δὲ ὅτι ὁμιλίαι καὶ λόγοι διαφέρουσιν ἀπ' ἀλλήλων, καθ' ὃ αἱ μὲν ὁμιλίαι, πρὸς παρόντα πλήθη ἀποτεινόμεναι, περιέχουσι καὶ ἐρωτήσεις καὶ ἀποκρίσεις καὶ ὑποσχέσεις καὶ ἄλλα τοιαῦτα, ὅσα εἴθισται ἐν ταῖς μετ' ἀλλήλων συνδιαλέξεσιν· οἱ δὲ λόγοι, ἑνὶ καὶ συνεχεῖ τόνῳ προήκοντες, ἢ οὐδαμῶς, ἢ σπανίως μόνον καὶ σὺν οἰκονομίᾳ ἐκφέρουσι τοιαῦτα σχήματα καὶ τοιαύτας ἐνδείξεις. Ὅθεν καὶ ὁ ἱερὸς Φώτιος (Βιβλιοθ. 174.), περὶ τῶν εἰς τὴν Γένεσιν ὁμιλιῶν τοῦ θείου Χρυσοστόμου λαλῶν, φησίν· «Ἔνεστι δὲ συνιδεῖν, ὡς εἰ καὶ λόγοι ἔχει τὴν ἐπιγραφὴν τὸ βιβλίον· οὕτω γὰρ εὗρον ἐν οἷς ἀνέγνων· ἀλλὰ μᾶλλον ἐοίκασιν ὁμιλίαις τά τε ἄλλα καὶ ὅτι ἐν πολλοῖς πολλάκις, ὡς παρόντας ὁρῶν τοὺς ἀκροατάς, οὕτω πρὸς αὐτοὺς ἀποτείνεται, καὶ ἐρωτᾷ, καὶ ἀποκρίνεται, καὶ ὑπισχνεῖται, δυναμένου μὲν, καὶ ἄλλως ἔχοντος τοῦ λόγου, καὶ οὐ καθ' ὁμιλίαν τὰ τοιαῦτα σχηματίζειν καὶ ἐνδείκνυσθαι· οὐ μὴν ἀλλὰ συνεχῶς καὶ ἐπιμόνως τοῦτο ποιεῖν καὶ οὐχὶ σὺν οἰκονομίᾳ τινὶ παρίστησιν ὁμιλίας αὐτὰς εἶναι· ὡμίλει δὲ ταύτας τῷ πλήθει, ὡς ἔστι μαθεῖν ἐξ αὐτῶν τούτων». Πολλαὶ δὲ τοιαῦται ὁμιλίαι πολλάκις ἀπηγγέλλοντο, ἡ μία μετὰ τὴν ἄλλην.

[1]) Αἱ πρὸ τοῦ Μ. ἐκδόσεις ἔχουσι «διδόμενα», καθὼς καὶ ὁ Κώδηξ Α.



ἀμεληθῇ, πότε κατορθωθήσεται[1]); Νόμισόν μοι φυτείας εἶναι δένδρων καιρόν· ἐὰν σκάψωμεν καὶ βαθύνωμεν, πότε δύναται ἄλλοτε καλῶς φυτευθῆναι τὸ ἅπαξ κακῶς[2]) φυτευθέν; Νόμισόν μοι οἰκοδομὴν εἶναι τὴν Κατήχησιν· ἐὰν μὴ βαθύνωμεν καὶ θεμέλιον θῶμεν[3])· ἐὰν μὴ κατὰ ἀκολουθίαν δεσμοῖς οἰκοδομοῖς ἁρμολογήσωμεν τὸν δόμον, ἵνα μὴ εὑρεθῇ τι χαῦνον, καὶ σαθρὰ γένηται ἡ οἰκοδομή, οὐδὲν ὄφελος οὐδὲ τοῦ προτέρου κόπου[4])· ἀλλὰ δεῖ κατὰ ἀκολουθίαν λίθον μὲν λίθῳ ἀκολουθεῖν, καὶ γωνίαν γωνίᾳ ἕπεσθαι· ἀποξεόντων δὲ ἡμῶν τὰ περισσά, οὕτως[5]) δεῖ λοιπὸν λείαν οἰκοδομὴν ἀναβαίνειν· οὕτω προσφέρομέν σοι λίθους ὥσπερ γνώσεως. Δεῖ ἀκούειν τὰ περὶ Θεοῦ ζῶντος· δεῖ ἀκούειν τὰ περὶ κρίσεως· δεῖ ἀκούειν τὰ περὶ Χριστοῦ· δεῖ ἀκούειν τὰ περὶ ἀναστάσεως, καὶ πολλά ἐστιν ἀκολούθως λεγόμενα, νῦν μὲν σποράδην εἰρημένα, τότε δὲ κατὰ ἁρμονίαν προσφερό-

---

[1]) Αἱ μὲν ὁμιλίαι ἐκ τῶν ἐν τῇ Ἐκκλησίᾳ ἀναγνωσμάτων περικοπὰς λαμβάνουσαι, ἐπὶ τούτων ἀναπτύσσουσι καὶ εἰς πλάτος διασαφοῦσιν ἄλλοτε ἄλλας δογματικὰς καὶ ἠθικὰς ἀληθείας, καὶ οὐδεμία ἀνάγκη ἵνα συνέχηται καὶ κατ' ἀκολουθίαν προβαίνῃ ἡ μία ὑπόθεσις πρὸς τὴν ἄλλην· ἐν ταῖς Κατηχήσεσιν ὅμως ὁδῷ καὶ τάξει πρόεισιν ἡ διδασκαλία καὶ καθ' εἱρμὸν συνάπτονται αἱ τῆς πίστεως ἀλήθειαι· διὰ τοῦτο καὶ κατωτέρω ὁ Πατὴρ τὴν κατηχητικὴν διδασκαλίαν παρομοιάζει πρὸς οἰκοδομήν, ἔνθα πρῶτον τίθενται τὰ θεμέλια, εἶτα λίθος ἐφαρμόζεται λίθῳ, καὶ οὕτως ἄνεισιν εἰς ὕψος συνηρμολογημένον τὸ οἰκοδόμημα.

[2]) Τὸ «κακῶς» ἐλλείπει ἐκ τοῦ Κώδηκος Α.

[3]) Τὰς λέξεις, «ἐὰν μὴ ἐμβαθύνωμεν καὶ θεμέλιον θῶμεν» προσέθηκεν ὁ Τ. ἐκ τοῦ Βασιλικοῦ Κώδηκος· ἐλλείπουσι δὲ αἱ λέξεις ἐκ πάντων τῶν Κωδήκων καὶ πασῶν τῶν ἐκδόσεων.

[4]) Τὴν ἀνταποδοτικὴν ταύτην φράσιν καλῶς ἐποίησεν ὁ Τ. προσθεὶς εἰς τὸ κείμενον ἐκ τῶν Κωδ. Roe καὶ Casaub. καὶ συμπληρώσας οὕτω τὸν λόγον.

[5]) Ἐξωβελίσαμεν τὸν «καὶ» πρὸ τοῦ «οὕτως» κείμενον· οὐχ εὕρηται δὲ οὔτε ἐν τῷ Κώδ. Α. οὔτε ἐν ἄλλοις Κώδηξι, πλὴν τῶν δύο Roe καὶ Casaub. ἐξ ὧν λαβὼν παρέθηκεν ὁ Τ. ἐν τῷ κειμένῳ εἰς οὐδὲν δέον.

μενα [1]). Ἐὰν δὲ [2]) μὴ συνάψῃς ἐν τῷ ἑνὶ [3]), καὶ μνημονεύσῃς τῶν πρώτων καὶ τῶν δευτέρων, ὁ μὲν οἰκοδομῶν οἰκοδομεῖ, σὺ δὲ σαθρὰν ἕξεις τὴν οἰκοδομήν.

§. ΙΒʹ. Ὅτε τοίνυν Κατήχησις λέγεται [4]), ἐάν σε Κατηχούμενος ἐξετάσῃ, τί εἰρήκασιν οἱ διδάσκοντες, μηδὲν λέγε τῷ ἔξω· μυστήριον γάρ σοι παραδίδομεν [5]), καὶ ἐλπίδα μέλλοντος αἰῶνος.

---

[1]) Τὰ κεφάλαια τῆς πίστεως, ἐν οἷς διδάσκονται καὶ μαθητεύονται οἱ Κατηχούμενοι, δηλοῦνται ἐν ταῖς τῶν Ἀποστόλων διαταγαῖς (Ζʹ. 40.)· « Ὁ μέλλων κατηχεῖσθαι τὸν λόγον τῆς εὐσεβείας, παιδευέσθω πρὸ τοῦ βαπτίσματος τὴν περὶ τοῦ ἀγεννήτου γνῶσιν· τὴν περὶ Υἱοῦ Μονογενοῦς ἐπίγνωσιν· τὴν περὶ τοῦ ἁγίου Πνεύματος πληροφορίαν. Μανθανέτω δημιουργίας διαφόρου τάξιν· προνοίας εἱρμόν· νομοθεσίας διαφόρου δικαιωτήρια. Παιδευέσθω διατὶ κόσμος γέγονε, καὶ δι' ὃ κοσμοπολίτης ὁ ἄνθρωπος· ἐπιγινωσκέτω τὴν ἑαυτοῦ φύσιν, οἵα τις ὑπάρχει. Παιδευέσθω ὅπως ὁ Θεὸς τοὺς πονηροὺς ἔπλασεν ὕδατι καὶ πυρί, τοὺς δ' ἁγίους ἐδόξασε καθ' ἑκάστην γενεάν ». Τὰ κεφάλαια ταῦτα, ἅπερ πρέπον ἐστὶν ἵνα μανθάνῃ καὶ γνωρίζῃ ὁ χριστιανὸς, ἐκτίθησι πληρέστερον καὶ ὁ Χρυσορρήμων διδάσκαλος (Τόμ. Βʹ. σελ. 434.)· «Τί γὰρ, εἰπέ μοι, διδάξαι σε τῶν ἀναγκαίων δυνησόμεθα, ἅπαξ τοῦ ἐνιαυτοῦ ἢ δεύτερον παρ' ἡμῖν φοιτῶντα, περὶ ψυχῆς, περὶ σώματος, περὶ ἀθανασίας, περὶ βασιλείας οὐρανῶν, περὶ κολάσεως, περὶ γεέννης, περὶ μακροθυμίας Θεοῦ, περὶ συγγνώμης, περὶ μετανοίας, περὶ βαπτίσματος, περὶ ἁμαρτημάτων ἀφέσεως, περὶ τῆς κτίσεως ταύτης τῆς ἄνω καὶ τῆς κάτω, περὶ ἀνθρώπων φύσεως, περὶ ἀγγέλων, περὶ τῆς τῶν δαιμόνων κακουργίας, περὶ τῶν μεθοδειῶν τοῦ Διαβόλου, περὶ πολιτείας, περὶ δογμάτων, περὶ τῆς ὀρθῆς πίστεως, περὶ τῶν διεφθαρμένων αἱρέσεων; Ταῦτα γὰρ καὶ πολλῷ πλείονα τούτων τὸν χριστιανὸν εἰδέναι χρή ».

[2]) Ἐλλείπει ὁ «δὲ» ἐκ τοῦ Κώδηκος Α.

[3]) Ἐν τῷ Κώδ. Α. κεῖται, οὐκ ἀπροσφυῶς, «ἐν τῷ ἑνὶ», καὶ πάντως παρεθήκαμεν ἂν τὴν γραφὴν ταύτην ἐν τῷ κειμένῳ, εἰ εἴχομεν καὶ ἄλλου τινὸς Κώδηκος αὐθεντίαν.

[4]) Ἐγράψαμεν «λέγεται» ἐκ τῶν Κωδ. Α. Roe, Casaub. ἀντὶ τῆς ἄχρι τοῦδε ἐν ταῖς ἐκδόσεσι φερομένης γραφῆς «λέγηται».

[5]) Μυστήριον καλεῖται αὐτὸ τὸ Εὐαγγελικὸν κήρυγμα καὶ ἡ τῆς ἐνσάρκου οἰκονομίας διδασκαλία, οὐ μόνον διότι ἀπόρρητος αὕτη καὶ ἀκατάληπτος, ἀλλὰ καὶ διότι ἄλλο βλέποντες ἄλλο νοοῦμεν, καθὼς λέγει ὁ

Τήρησον τὸ μυστήριον τῷ μισθαποδότῃ. Μή ποτέ σοί τις εἴπῃ· τί βλάπτῃ, ἐὰν κἀγὼ μάθω; Καὶ οἱ νοσοῦντες τὸν οἶνον ζητοῦσιν· ἀλλ' ἐὰν ἀκαίρως δοθῇ, φρενῖτιν ἐργάζεται, καὶ δύο κακὰ γίνεται, καὶ ὁ νοσῶν ἀπόλλυται, καὶ ὁ ἰατρὸς διαβάλλεται· οὕτως καὶ [1]) ὁ Κατηχούμενος, ἐὰν ἀκούσῃ παρὰ πιστοῦ, καὶ ὁ Κατηχούμενος φρενιτιᾷ· οὐκ οἶδε γὰρ τί ἤκουσε, καὶ ἐλέγχει τὸ πρᾶγμα, καὶ ἐκμυκτηρίζει τὸ λεγόμενον· καὶ ὁ πιστὸς ὡς προδότης κατακρίνεται. Ἤδη δὲ σὺ ἐν μεθορίῳ στήκεις, βλέπε μοι μὴ ἐκλαλήσῃς· οὐχ ὅτι οὐκ ἄξια λαλιᾶς τὰ λεγόμενα, ἀλλ' ὅτι ἡ ἀκοὴ ἀναξία τοῦ δέξασθαι. Ἧς καὶ σύ ποτε Κατηχούμενος, οὐ διηγησάμην σοι τὰ προκείμενα· ὅταν τῇ πείρᾳ λάβῃς [2]) τὸ ὕψωμα τῶν διδασκομένων, τότε γνώσῃ [3]), ὅτι ἀνάξιοι οἱ Κατηχούμενοι τῆς ἀκοῆς.

§. ΙΓ'. Μιᾶς μητρὸς γεγόνατε υἱοὶ καὶ θυγατέρες οἱ ἀπογραφέντες [4])· ὅταν εἰσέλθητε πρὸ τῆς ὥρας τῶν ἐπορκισμῶν, εἷς ἕκαστος ὑμῶν λαλείτω τὰ πρὸς εὐσέβειαν· κἂν τις ὑμῶν μὴ παρῇ, ἐπιζητήσατε· εἰς τράπεζαν εἰ ἐκλήθης, οὐκ ἂν περιέμενες τὸν συγκεκλημένον; ἀδελφὸν εἰ εἶχες, οὐκ ἂν τῷ ἀδελφῷ τὸ ἀγαθὸν ἐζήτεις; Μὴ πολυπραγμόνει λοιπὸν πραγμάτων ἀνωφέλειαν· μή, τί ἐποίησε πόλις· μή, τί ἐποίησε κώμη· μή, τί ἐποίησε βασιλεύς· μή, τί ἐποίησεν ἐπί-

---

Θεοφύλακτος (εἰς τὴν Α'. πρὸς Κορινθ. β'. 7.)· «Μυστήριον καλεῖ τὸ κατὰ Χριστὸν κήρυγμα· εἰ γὰρ καὶ κήρυγμά ἐστιν, ἀλλὰ καὶ μυστήριόν ἐστι, καθὸ οὐδὲ ἄγγελοι ᾔδεσαν αὐτὸ πρὶν γενέσθαι, καὶ καθὸ ἄλλο βλέποντες, ἄλλο νοοῦμεν».

[1]) Ὁ σύνδεσμος «καὶ» ἐλλείπει ἐκ τοῦ Κώδ. Α. καὶ ἐξ ἄλλων Κωδήκων. Ὁ Τ. ἔθηκεν αὐτὸν ἐν τῷ κειμένῳ λαβὼν ἐκ τῶν Roe, Casaub.

[2]) Ἐν τῷ Α. κεῖται· «ὅταν δὲ τῇ πείρᾳ μάθῃς».

[3]) Ἐπὶ τῇ αὐθεντίᾳ τοῦ Κώδ. Α. ἀπηλείψαμεν τὸν «ἂν» κείμενον πρὸ τοῦ «γνώσῃ».

[4]) Υἱοὶ τῆς Ἐκκλησίας γινόμεθα κυρίως διὰ τοῦ ἁγίου Βαπτίσματος· ἀλλ' ὁ ἱερὸς Κύριλλος πολλαχοῦ θεωρεῖ τοὺς ἀπογραφέντας ἤδη καὶ πρὸς τὸ ἅγιον φώτισμα εὐτρεπισθέντας ὡς πιστοὺς καὶ χριστιανοὺς καὶ ὡς ἀναμφιβόλως ταχθησομένους μετὰ μικρὸν ἐν τῷ χορῷ τῶν βεβαπτισμένων. Ὅρα καὶ Κατήχ. ΙΑ'. 9. Κατήχ. ΙΗ'. 26.

σκοπος· μή, τί ἐποίησε πρεσβύτερος. Ἄνω βλέπε· ὁ καιρὸς [1]) ὁ σὸς ἐκείνου χρείαν ἔχει. «Σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός» [2]). Ἐὰν ἴδῃς τοὺς πιστοὺς διακονοῦντας, καὶ μὴ μεριμνῶντας, ἔχουσι τὸ ἀσφαλὲς [3]), οἴδασι τί ἔλαβον, κατέχουσι τὴν χάριν. Σὺ δὲ ἀκμὴν ἐν ζυγῷ στήκεις ἢ δεχθῆναι ἢ μὴ δεχθῆναι. Μὴ μιμήσῃ τοὺς ἔχοντας τὸ ἀμέριμνον, ἀλλὰ μέτελθε τὸν φόβον.

§. ΙΔ′. Καὶ [4]) ὅταν ἐπορκισμὸς γένηται, ἕως ὅτου οἱ ἄλλοι ἐπορκιζόμενοι παραγένωνται [5]), ἄνδρες μετ᾽ ἀνδρῶν, καὶ γυναῖκες μετὰ γυναικῶν [6]). Νῦν γάρ μοι χρεία τῆς τοῦ Νῶε κιβωτοῦ, ἐν ᾗ ἦν Νῶε

---

[1]) Προσεθήκαμεν ἐν τῷ κειμένῳ τὸ ἄρθρον «ὁ» ἐκ τῶν Κωδ. Α. Roe, Casaub.

[2]) Ψαλμ. ΜΕ′. 10.

[3]) Περὶ τῆς ἀμεριμνίας ταύτης τῶν πιστῶν λέγει καὶ ὁ Μ. Βασίλειος (εἰς Ψαλμ. ΜΘ′.)· «Τὸ βάπτισμα ἄφεσιν ἔχει τῶν ἁμαρτιῶν, καὶ ἀμεριμνίας πρόξενον γίνεται τοῖς καταχρέοις». Φησὶ δὲ καὶ ὁ θεῖος Χρυσόστομος (Ὁμιλ. Γ′. εἰς τὴν Α′. πρὸς Κορινθ.)· «Οὐ τοῦτο ἰσχύει τὸ βάπτισμα μόνον τὸ τὰ πρότερα ἀφανίσαι πλημμελήματα, ἀλλὰ καὶ πρὸς τὰ μέλλοντα ἀσφαλίζεται». Ἀξιάγαστά εἰσι καὶ ὅσα ἡ θεολόγος γλῶττα τοῦ Γρηγορίου φθέγγεται περὶ τῆς ἐκ τοῦ ἁγίου Βαπτίσματος ἀσφαλείας (Λόγ. Μ′.)· «Εἰ δὲ προκαταλάβοις σεαυτὸν τῇ σφραγίδι καὶ τὸ μέλλον ἀσφαλίσαιο τῷ καλλίστῳ τῶν βοηθημάτων καὶ στεῤῥοτάτῳ, σημειωθεὶς καὶ ψυχὴν καὶ σῶμα τῷ χρίσματι καὶ τῷ πνεύματι, ὡς ὁ Ἰσραὴλ πάλαι τῷ νυκτερινῷ καὶ φυλακτικῷ τῶν πρωτοτόκων αἵματι, τί σοι συμβήσεται καὶ τί σοι πεπραγμάτευται; τῶν Παροιμιῶν ἄκουσον· «Ἐὰν γὰρ κάθῃ, φησὶν, ἄφοβος ἔσῃ· ἐὰν δὲ καθεύδῃς, ἡδέως ὑπνώσεις» (Παροιμ. Γ′. 24.). Καὶ παρὰ τοῦ Δαβὶδ εὐαγγελίσθητι· «Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ» (Ψαλμ. 4., 5.). Τοῦτό σοι καὶ ζῶντι μέγιστον εἰς ἀσφάλειαν».

[4]) Ὁ «καὶ» ἐλλείπει ἐκ τοῦ Κώδηκος Α.

[5]) Ἐπωρκίζοντο οὐχὶ πολλοὶ ὁμοῦ, ἀλλ᾽ εἷς μετὰ τὸν ἄλλον· ὅθεν ἐκαθέζοντο ἐν τῇ Ἐκκλησίᾳ οἱ Κατηχούμενοι ἀναμένοντες τὸ τέλος τῶν προηγουμένων ἐπορκισμῶν καὶ τὴν ἐπιστροφὴν τῶν ἐπορκισθέντων, ἵνα καὶ αὐτοὶ ἔπειτα κατὰ τάξιν προσέλθωσιν εἰς τοὺς ἐπορκισμούς. Τὸ «παραγένωνται» λοιπὸν σημαίνει ἐνταῦθα· ἔλθωσιν ἐκ τῶν ἐπορκισμῶν, ἐπιστρέψωσι.

[6]) Ἀρχαιότατον τοῦτο ἔθος ἐν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, ἵνα ὦσι κεχωρισμέναι ἀπὸ τῶν ἀνδρῶν αἱ γυναῖκες.

καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ ἡ γυνή, καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ· εἰ γὰρ καὶ μία ἦν ἡ κιβωτός, καὶ κεκλεισμένη ἦν ἡ θύρα, ἀλλὰ ἐσχηματιστο τὰ πράγματα [1]). Εἰ καὶ κέκλεισται ἡ Ἐκκλησία, καὶ πάντες ὑμεῖς ἔνδον, ἀλλὰ διεστάλθω τὰ πράγματα, ἄνδρες μετὰ ἀνδρῶν, καὶ γυναῖκες μετὰ γυναικῶν· μὴ γένηται ἡ ὑπόθεσις τῆς σωτηρίας πρόφασις ἀπωλείας· κᾂν ἡ ὑπόθεσις καλῇ [2]) πλησίον ἀλλήλων καθέζεσθαι, ἀλλὰ μακρὰν ἔστω τὰ πάθη. Εἶτα οἱ ἄνδρες καθεζόμενοι ἐχέτωσαν καὶ [3]) βιβλίον χρήσιμον· καὶ ὁ μέν τις ἀναγινωσκέτω, ὁ δέ τις ἀκουέτω· κᾂν μὴ βιβλίον παρῇ, ὁ μὲν προσευχέσθω, ὁ δέ τι χρήσιμον λαλείτω. Καὶ ὁ σύλλογος πάλιν ὁ παρθενικὸς οὕτω συνειλέχθω, ἢ ψάλλων ἢ ἀναγινώσκων ἡσυχῇ· ὥστε λαλεῖν μὲν τὰ χείλη, μὴ ἀκούειν δὲ τὰ ἀλλότρια ὦτα· «Γυναιξὶ γὰρ λαλεῖν ἐν Ἐκκλησίᾳ οὐχ

Τοῦτο παραγγέλλεται καὶ ἐν ταῖς Ἀποστολικαῖς Διαταγαῖς (Β΄. 57.)· «Οἱ λαϊκοὶ καθεζέσθωσαν μετὰ πάσης ἡσυχίας καὶ εὐταξίας, καὶ αἱ γυναῖκες κεχωρισμέναι καὶ αὗται καθεζέσθωσαν». Ἐν δὲ τοῖς χρόνοις τοῦ Χρυσοστόμου διείργοντο ἀπὸ τῶν ἀνδρῶν αἱ γυναῖκες καὶ διὰ τειχίων, καθὰ διδάσκει αὐτὸς ὁ χρυσοῦς διδάσκαλος (Ὁμιλ. ΟΔ΄. εἰς Ματθ.)· «Ἐχρῆν μὲν οὖν ἔνδον ἔχειν τὸ τεῖχος, τὸ διεῖργον ὑμᾶς τῶν γυναικῶν· ἐπειδὴ δὲ οὐ βούλεσθε, ἀναγκαῖον ἐνόμισαν εἶναι οἱ Πατέρες, κᾂν ταῖς σανίσιν ὑμᾶς ταύταις διατειχίσαι, ὡς ἔγωγε ἀκούω τῶν Πρεσβυτέρων, ὅτι τὸ παλαιὸν οὐδὲ ταῦτα ἦν τὰ τειχία». Περὶ τοῦ ἔθους τούτου βλέπε καὶ τὸν σοφὸν Κοτελέριον Not. ad Constitt. apostol. II, 57.

[1]) Ῥητῶς μὲν οὐ λέγει ἡ Γραφή, ὅτι ἐν τῇ Κιβωτῷ ἐκάθηντο οἱ ἄνδρες κεχωρισμένοι ἀπὸ τῶν γυναικῶν· ἀλλὰ συνεπέρανε τοῦτο ὁ Πατὴρ ἐκ τῆς τάξεως καὶ σειρᾶς τῶν λέξεων· «ὁ Νῶε καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ ἡ γυνὴ καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ», καθὼς αὐτὸς ὁ Κύριλλος ἐξέθηκεν ἐν Κατηχ. ΙΖ΄, §. 10. Σημείωσαι δὲ ὅτι ἡ τοῦ Νῶε Κιβωτὸς κατὰ πολλὰ νοήματα λαμβάνεται ὡς τύπος τῆς Ἐκκλησίας παρὰ τοῖς ἱεροῖς Πατράσι, βλ. Χρυσόστομον (Τόμ. Β΄. σελ. 959), Ἱερώνυμον (Τόμ. Β΄. σελ. 176.)· πρβλ. Κύριλλον Κατήχ. ΙΖ΄. 10.

[2]) Οὕτως ἐκ τοῦ Κώδ. Α. διωρθωσάμεθα τὸ ἄχρι τοῦδε φερόμενον· «κᾂν ἡ ὑπόθεσις καλή».

[3]) Ἅπαντες οἱ Κώδηκες καὶ ἐκδόσεις ἔχουσι τὸν «καὶ» τοῦτον· κεῖται δὲ οὐκ ἀπροσφυῶς οὐδ' ἀσυνήθως· ὁ δὲ Τ., οὐκ οἶδ' ὅ,τι παθών, ἐξήλειψεν αὐτόν, ὡς περιττόν, ἐπὶ τῇ αὐθεντίᾳ ἑνὸς μόνου Κώδηκος.

ἐπιτρέπω» [1]). Καὶ ἡ ἔγγαμος δὲ ὁμοίως μιμείσθω, καὶ προσευχέσθω καὶ τὰ χείλη κινείτω [2]), φωνὴ δὲ μὴ ἀκουέσθω, ἵνα παρέλθῃ Σαμουὴλ, ἵνα σου ἡ στεῖρα ψυχὴ γεννήσῃ τὴν σωτηρίαν Θεοῦ ἐπακούσαντος· ὁ γὰρ Σαμουὴλ ταύτην ἔχει τὴν ἑρμηνείαν [3]).

§. ΙΕ΄. Ὄψομαι τὴν σπουδὴν ἑκάστου, ὄψομαι τὸ εὐλαβὲς ἑκάστης. Πυρούσθω ἡ διάνοια πρὸς [4]) εὐλάβειαν· χαλκευέσθω ἡ ψυχή· σφυροκοπείσθω τὸ σκληρὸν τῆς ἀπιστίας· ἀποπεσάτωσαν αἱ περισσαὶ τοῦ σιδήρου λεπίδες, μενέτω τὸ καθαρόν· ἀποπεσάτω τοῦ σιδήρου ὁ ἰὸς, μενέτω τὸ γνήσιον. Πότε ὑμῖν [5]) δείξει [6]) ὁ Θεὸς ἐκείνην τὴν νύκτα, τὸ σκότος τὸ ἡμεροφανὲς [7]), περὶ οὗ εἴρηται· «Σκότος οὐ

---

[1]) Α΄. Τιμ. β΄. 12. καὶ Α΄. Κορινθ. ιδ΄. 34.

[2]) Οὕτως ἐγράψαμεν ἐκ τοῦ Κώδ. Α. ἀντὶ τοῦ συνήθως φερομένου· «κινείσθω».

[3]) Ὁ ἱερὸς Κύριλλος παράγει τὴν λέξιν· «Σαμουὴλ» ἐκ τοῦ שמע, ישוע, ואל τουτέστιν· «ἤκουσεν ὁ σώζων Θεός». Ὁ Τουταῖος ὡς ἀληθῆ παραγωγὴν τῆς λέξεως ἀποδέχεται τὴν ἐκ τοῦ שאול מאל «ἐζητημένος ὑπὸ Θεοῦ». Ἄλλοι ἐτυμολογοῦσι τὴν λέξιν ἐκ τοῦ שמועאל ὅπερ ἐστίν· «ἀκουσθεὶς ὑπὸ Θεοῦ» (Gesen. Lex. p. 932.). Ἡ τελευταία γνώμη συνᾴδει μᾶλλον πρὸς τὴν τοῦ θείου Κυρίλλου, καὶ φαίνεται ὀρθοτέρα.

[4]) Ἐν τῷ Κώδ. Α. κεῖται «εἰς».

[5]) Ὁ μὲν Μ. ἔχει «πότε ὑμῖν», ὁ δὲ Τ. «πότε μὲν ὑμῖν». Ἀλλὰ δῆλον ὅτι ὁ «μὲν» οὐδόλως φαίνεται ἀναγκαῖος ἐνταῦθα, καθὼς τῷ ὄντι οὐκ ἔχουσιν αὐτὸν οὐδ' οἱ ὑπὸ τοῦ Μ. σημειούμενοι Κώδηκες, οὐδ' ὁ Α. Προειλόμεθα δὲ καὶ τὸ «πότε» ἀντὶ τοῦ «ποτὲ», ὡς οὐκ ἀπροσφυῶς κειμένου ἐνταῦθα τοῦ ἐρωτηματικοῦ σχήματος· ἔχει γάρ τι χαρμόσυνον καὶ σκιρτητικόν.

[6]) Ἐγράψαμεν· «δείξει» ἐκ τοῦ Κώδ. Α. ἀντὶ τοῦ ἄχρι τοῦδε ἐν πάσαις ταῖς ἐκδόσεσι φερομένου· «δείξῃ».

[7]) Σκότος ἡμεροφανὲς λέγει ὁ Πατὴρ τὴν φαιδρὰν καὶ φωταυγῆ καὶ λαμπροφόρον ἐκείνην νύκτα τῆς τοῦ Χριστοῦ Ἀναστάσεως, ὅτε τὸ χαροποιὸν καὶ ἄπλετον φῶς τῶν φαεινῶν λαμπάδων καταλάμπει τὴν Ἐκκλησίαν ὅλην καὶ τὰς αὐγὰς τῆς ἡμέρας ὑπερνικᾷ. Περὶ ταύτης τῆς νυκτὸς λέγει ὁ ἱερὸς Νύσσης (Λόγ. Δ΄. εἰς τὸ ἅγιον Πάσχα)· «Φωτεινὴ νὺξ αὕτη, τὰς ἐκ τῶν λαμπάδων αὐγὰς ὀρθριναῖς ἀκτῖσι τοῦ ἡλίου συμμίξασα, μίαν κατὰ τὸ συνεχὲς ἡμέραν ἐποίησε, μὴ διαμερισθεῖσα τῇ παρενθήκῃ

σκοτισθήσεται ἀπὸ σοῦ, καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται»;[1]) Ὅτε[2]) ὑμῶν ἑκάστῳ καὶ ἑκάστῃ παραδείσου θύρα ἀνοιχθῇ; Τότε ὑδάτων ἀπολαύσετε χριστοφόρων, ἐχόντων εὐωδίαν; Τότε Χριστοῦ προσηγορίαν λάβετε[3]) καὶ ἐνέργειαν θείων πραγμάτων; Ἤδη μοι τῆς διανοίας τὸ ὄμμα ἀναβλέψατε· ἤδη μοι χοροὺς ἀγγελικοὺς ἐννοήσατε, καὶ δεσπότην τῶν ὅλων Θεὸν καθεζόμενον, Υἱὸν δὲ μονογενῆ ἐν δεξιᾷ συγκαθήμενον, καὶ Πνεῦμα συμπαρόν. Θρόνους δὲ καὶ Κυριότητας λειτουργοῦντας· καὶ ὑμῶν δὲ ἕκαστον καὶ ἑκάστην σωζόμενον καὶ

τοῦ σκότους«· φησὶ δὲ καὶ ὁ Θεολόγος Γρηγόριος (Λόγ. εἰς τὸ Πάσχα)· «Καλὴ μὲν καὶ ἡ χθὲς ἡμῖν λαμπροφορία καὶ φωταγωγία, ἣν ἰδίᾳ τε καὶ δημοσίᾳ συνεστησάμεθα, δαψιλῶς τῷ πυρὶ τὴν νύκτα καταφωτίζοντες, καὶ τοῦ μεγάλου φωτὸς ἀντίτυπος». Περὶ ταύτης τῆς χαρμονικῆς καὶ πανευφροσύνου νυκτὸς ἀνακράζει καὶ ὁ μελῳδός· «Ὡς ὄντως ἱερὰ καὶ πανέορτος αὕτη ἡ σωτήριος νὺξ καὶ φωταυγής, τῆς λαμπροφόρου ἡμέρας τῆς ἐγέρσεως οὖσα προάγγελος, ἐν ᾗ τὸ ἄχρονον φῶς ἐκ τάφου σωματικῶς πᾶσιν ἐπέλαμψε».

[1]) Ψαλμ. ΡΛΗ΄. 12.

[2]) Σημείωσαι, ὅτι οὐκ ὀλίγον ἄτακτοι καὶ συγκεχυμέναι εὕρηνται αἱ ἀρχαὶ τῶν τεσσάρων τούτων φράσεων ἐν τοῖς Κώδηξιν· ἄλλοι μὲν ἔχουσι· «πότε», ἄλλοι δὲ «ὅτε», ἄλλοι δὲ «τότε». Ὁ ἀρχιεπισκοπικὸς Κώδηξ ἐν ἅπασιν ἔχει «πότε». Ἡμεῖς ἐν τῷ δευτέρῳ τούτῳ κώλῳ ἐθήκαμεν τὸ «ὅτε», ἐκ τῶν Κωδ. Roe Casaub., ἐν δὲ τοῖς ἑπομένοις δύο τὸ «τότε» ἐκ τῶν αὐτῶν Κωδήκων.

[3]) Τὴν ἔνδοξον καὶ ὑπέρτιμον καὶ γλυκυτάτην ταύτην προσηγορίαν λαμβάνομεν κυρίως ἐν τοῖς ῥείθροις τοῦ σωτηρίου βαπτίσματος· οἱ ἐν τούτοις ἀναγεννώμενοι καταξιοῦνται γνησίως τοῦ ὀνόματος τῶν χριστιανῶν· «Βασιλεῖς μὲν γὰρ ἄνθρωποι ἀκοινώνητον πρὸς ἀνθρώπους ἔχουσι τῆς βασιλείας τὴν προσηγορίαν· Ἰησοῦς δὲ Χριστὸς, Θεοῦ Υἱὸς ὤν, χριστιανοὺς καλεῖσθαι ἡμᾶς κατηξίωσεν» (Κύριλ. Κατήχ. Ι΄., 16.). Ἀλλὰ σημειούσθω, ὅτι πλατυτέρᾳ ἐννοίᾳ χριστιανοὶ καλοῦνται καὶ οἱ Κατηχούμενοι, ἔτι καὶ μήπω τοῦ βαπτίσματος καταξιωθέντες. Ἡ προσηγορία αὕτη ἐδίδετο εἰς τὸν ἐθνικόν, ὅτε προσήρχετο καὶ ὡμολόγει ὅτι ἐδέχετο τὴν τοῦ Χριστοῦ πίστιν, καὶ διὰ χειροθεσίας τοῦ ἱερέως κατετάσσετο ἐν τῇ τάξει τῶν Κατηχουμένων. Τοῦτο γίνεται φανερὸν ἐκ τοῦ Ζ΄. Κανόνος τῆς Β΄. Οἰκουμεν. Συνόδου· ἔχει δὲ οὕτω· «Πάντας τοὺς ἀπ' αὐτῶν (Εὐνομιανῶν, Μοντανιστῶν κλτ.) θέλοντας προστίθεσθαι τῇ ὀρθοδοξίᾳ, ὡς Ἕλληνας δεχόμεθα. Καὶ τὴν μὲν πρώτην ἡμέραν ποιοῦμεν

σωζομένην [1]). Ἤδη ὑμῶν τὰ ὦτα ὥσπερ κατηχήσθω· ποθήσατε [2]) ἐκείνην τὴν καλὴν ἠχὴν, ὅτε ὑμῶν σωθέντων οἱ ἄγγελοι ἐπιφωνήσουσι· «Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι» [3]). Ὅτε, ὥσπερ ἀστέρες τῆς Ἐκκλησίας [4]), εἰσέλθητε φαιδροὶ τῷ σώματι, καὶ φωτεινοὶ τῇ ψυχῇ.

αὐτοὺς χριστιανοὺς, τὴν δὲ δευτέραν Κατηχουμένους, εἶτα τῇ τρίτῃ ἐξορκίζομεν αὐτοὺς μετὰ τοῦ ἐμφυσᾷν τρίτον εἰς τὸ πρόσωπον καὶ εἰς τὰ ὦτα· καὶ οὕτω κατηχοῦμεν αὐτοὺς καὶ ποιοῦμεν χρονίζειν εἰς τὴν Ἐκκλησίαν, καὶ ἀκροᾶσθαι τῶν Γραφῶν, καὶ τότε αὐτοὺς βαπτίζομεν».

[1]) Τὴν ἄρρητον καὶ ὑπερφυῆ δύναμιν καὶ χάριν τοῦ ἁγίου Βαπτίσματος ἐκδηλῶν ὁ μακάριος Κύριλλος διδάσκει ὅτι ἐν τῇ φρικτῇ τελετῇ τοῦ μεγάλου τούτου μυστηρίου ὅλη παροῦσα ὑπάρχει ἡ παναγία Τριὰς, καὶ χοροὶ Ἀγγέλων παρεστῶτες καθυπουργοῦσι, καὶ ἐπὶ τῇ σωτηρίᾳ τῶν βαπτιζομένων γεγηθότες ἀνευφημοῦσι, καὶ δαβιτικὰ μελῳδήματα ἠχῇ ἐπουρανίῳ ἐπιφωνοῦσι· ὅθεν λέγει καὶ ἀλλαχοῦ ὁ Πατήρ· «Μέγα τὸ πρᾶγμα ἀληθῶς, ἀδελφοὶ, καὶ μετὰ προσοχῆς αὐτῷ προσέλθετε. Μέλλει ἕκαστος ὑμῶν παρίστασθαι τῷ Θεῷ, ἐνώπιον μυριάδων στρατιῶν Ἀγγέλων» (Κατήχ. Γ΄. 3.).

[2]) Ἅπαντες οἱ Κώδηκες ἔχουσι «ποιήσατε»· εἷς δὲ μόνον, ὁ Βασιλικὸς λεγόμενος, ἔχει «ποθήσατε»· ἐκ τούτου τοῦ Κώδηκος λαβὼν ἔθηκεν ἐν τῷ κειμένῳ ὁ Τ. τὸ «ποθήσατε». Ἐτηρήσαμεν τὴν γραφὴν καὶ ἡμεῖς, ὡς οὐκ ἄκομψον οὐδ᾽ ἀνάρμοστον.

[3]) Ψαλμ. ΛΑ΄., 1.—Περὶ τοῦ ἁγίου Βαπτίσματος καὶ πρὸς τοὺς βαπτιζομένους ποιούμενος τὸν λόγον καὶ ὁ Θεολόγος Γρηγόριος, προτίθησι τὴν ψαλμικὴν ταύτην ῥῆσιν, ἣν καὶ ἑρμηνεύει κατ᾽ ἴδιον τρόπον· «Δεῖ δὲ μὴ σοφισθῆναι τὸν καθαρμὸν, ἀλλ᾽ ἐνσημανθῆναι· μηδὲ ἐπικάλυψιν τῶν ἁμαρτιῶν, ἀλλ᾽ ἀπαλλαγὴν ἔχειν τὸ χάρισμα. Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι· τοῦτο τῆς παντελοῦς καθάρσεως· καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι· τοῦτο τῶν οὔπω τὸ βάθος καθηραμένων» (Λόγ. Μ΄.).

[4]) Ἐν ταῖς ἀρχαίαις ἐκδόσεσι καὶ ἐν ἅπασι τοῖς Κώδηξι κεῖται· «ὡς περιστεραὶ», ὅπερ ὁ Μ. διώρθωσεν εἰς τὸ «ὥσπερ ἀστέρες»· τὴν διόρθωσιν ταύτην ἀπεδέξατο καὶ ὁ Τ., ἐθήκαμεν δὲ καὶ ἡμεῖς ἐν τῷ κειμένῳ. Ἀλλ᾽ ἀποροῦμεν, διατί ἄνευ αὐθεντίας Κωδήκων ἐγένετο ἡ διόρθωσις αὕτη, ἐν ᾧ ἡ ἀρχαία γραφὴ οὐχ ἧττον καλὸν καὶ προσφυὲς ἀποδίδωσι νόημα. Πρὸς περιστερὰς παρομοιάζει τοὺς νεοφωτίστους ὁ Κύριλλος καὶ ἀλλαχοῦ (Κατήχ. ΙΗ΄. 34.) διὰ τὸ ἄκακον καὶ ἀκέραιον.

§. Ις'. Μέγα τὸ προκείμενον βάπτισμα· αἰχμαλώτοις λύτρον· ἁμαρτημάτων ἄφεσις· θάνατος ἁμαρτίας· παλιγγενεσία ψυχῆς· ἔνδυμα φωτεινόν· σφραγὶς ἁγία ἀκατάλυτος· ὄχημα πρὸς οὐρανόν· παραδείσου τρυφή· βασιλείας πρόξενον· υἱοθεσίας χάρισμα[1]). Ἀλλὰ δράκων περὶ τὴν ὁδὸν τηρεῖ τοὺς περιπατοῦντας[2])· βλέπε μὴ δάκῃ τῇ ἀπιστίᾳ· βλέπει τοσούτους σωζομένους, καὶ ζητεῖ τίνα καταπίῃ. Πρὸς Πατέρα πνευμάτων εἰσέρχῃ, ἀλλὰ δι' ἐκείνου τοῦ δράκοντος διέρχῃ. Πῶς οὖν αὐτὸν διέλθῃς[3]); Ὑπόδησαι τοὺς πόδας ἐν ἑτοι-

---

[1]) Ταῖς αὐταῖς σχεδὸν λέξεσιν ἐγκωμιάζει τὸ βάπτισμα καὶ ὁ Μ. Βασίλειος (Ὁμιλ. προτρεπτ. εἰς τὸ ἅγ. Βάπτισμα)· «Βάπτισμα αἰχμαλώτοις λύτρον, ὀφλημάτων ἄφεσις, θάνατος ἁμαρτίας, παλιγγενεσία ψυχῆς, ἔνδυμα φωτεινὸν, σφραγὶς ἀνεπιχείρητος, ὄχημα πρὸς οὐρανὸν, βασιλείας πρόξενον, υἱοθεσίας χάρισμα». Ὑψηλὰ ἐγκώμια πλέκουσιν εἰς τὸ ἅγιον Βάπτισμα καὶ ἐκ τῶν ἄλλων Πατέρων συχνοί· οἷον Γρηγόριος ὁ Ναζιανζ. (Λόγ. Μ'.), Γρηγόρ. Νύσσης (Λόγ. εἰς τὸ βάπτ. τοῦ Χριστοῦ), Θεοδώρητος (Ἐπιτομ. τῶν θείων δογμάτων κεφ. ιη'.), οὗ αἱ λέξεις ἔχουσιν οὕτως· «Ἀῤῥαβών ἐστι τῶν μελλόντων ἀγαθῶν, καὶ τῆς ἐπομένης ἀναστάσεως τύπος, καὶ κοινωνία τῶν δεσποτικῶν παθημάτων, καὶ μετουσία τῆς δεσποτικῆς ἀναστάσεως, καὶ ἱμάτιον σωτηρίου, καὶ χιτὼν εὐφροσύνης, καὶ στολὴ φωτοειδὴς, μᾶλλον δὲ αὐτὸ τὸ φῶς».

[2]) Δράκων ὀνομάζεται ὁ Διάβολος (Ἀποκάλ. ΙΒ'., 3.)· ὅθεν εἶπε καὶ Θεόφιλος ὁ Ἀντιοχείας (πρὸς Αὐτόλ. Βιβλ. Β'.)· «Δαίμων καὶ δράκων καλεῖται»· «Δράκοντα ἀποστάτην» εἶπε τὸν Διάβολον καὶ Ἰγνάτιος (ἐπις. πρὸς Φιλαδελφεῖς). Φησὶ δὲ καὶ ὁ θεῖος Χρυσόστομος (Ὁμιλ. ΣΤ'. εἰς τὴν πρὸς Φιλιππησ.)· «Ὅταν μὲν γὰρ αὐτοῦ τὸ ἁρπακτικὸν ἡ Γραφὴ βούληται δηλῶσαι, φησίν· ὡς λέων ὠρυόμενος περιέρχεται, ζητῶν τίνα καταπίῃ· ὅταν δὲ τὸ ἰοβόλον καὶ θανάσιμον καὶ ὀλέθριον, ὄφιν αὐτὸν καλεῖ καὶ σκορπίον· ὅταν δὲ τὸ ἰσχυρὸν ὁμοῦ καὶ ἰοβόλον, δράκοντα αὐτὸν καλεῖ». Ὁ αὐτὸς Χρυσόστομος λέγει (παρὰ τῷ Φωτίῳ Βιβλιοθ. 237.)· «Δράκοντα πολλάκις ἡ Γραφὴ καλεῖ τὸν Διάβολον». Ἔφη δὲ καὶ ὁ θεῖος Αὐγουστῖνος (ἐν τῇ ΙΕ'. εὐχῇ τῶν Ἐρωτικῶν)· «Αὐτός ἐστι, Κύριε, ὁ δράκων ὁ μέγας καὶ φοινικοῦς, ὁ ἀρχαῖος ὄφις, ὁ Σατανᾶς καὶ Διάβολος ἐπικεκλημένος».

[3]) Ἐν τῷ Κώδ. Α. κεῖται «παρέλθῃς».

μασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης, ἵνα, κἂν δάκῃ, μὴ βλάπτῃ· πίστιν ἔνοικον ἔχε, κραταιὰν ἐλπίδα, κρηπῖδα ἰσχυρὰν [1]), ἵνα διέλθῃς τὸν ἐχθρὸν, καὶ εἰσέλθῃς πρὸς τὸν Δεσπότην [2]). Τὴν σαυτοῦ καρδίαν ἑτοίμασον εἰς ὑποδοχὴν διδασκαλίας, εἰς κοινωνίαν ἁγίων Μυστηρίων. Εὔχου πυκνότερον, ἵνα ὁ Θεός σε καταξιώσῃ τῶν ἐπουρανίων καὶ ἀθανάτων Μυστηρίων· μήτε ἡμέραν ἄργει, μήτε νύκτα· ἀλλ' ὅταν ὁ ὕπνος ἐκ τῶν ὀμμάτων σου ἐκπέσῃ, τότε ἡ διάνοιά σου εἰς προσευχὴν σχολαζέτω [3])· κἂν ἴδῃς λογισμὸν αἰσχρὸν ἀναβάντα εἰς τὴν διάνοιάν σου, λάβε κρίσεως ἔννοιαν, ὑπομνηστικὴν σωτηρίας [4]). Σχόλασον τὴν διάνοιαν εἰς τὸ μαθεῖν, ἵνα ἐπιλάθῃ φαύλων πραγμάτων. Ἐὰν ἴδῃς τινά σοι λέγοντα· καὶ εἰσέρχῃ εἰς τὸ ὕδωρ καταβῆναι; ἄρτι γὰρ οὐκ ἔχει ἡ πόλις [5]) βαλανεῖα; γίνωσκε ὅτι ὁ δράκων τῆς θαλ-

---

[1]) Ἐν τῷ Κώδ. Α. «ἀσφαλῆ».

[2]) Φησὶ δὲ καὶ ὁ ἱερὸς Χρυσοῤῥήμων (Ὁμιλ. ΣΤ'. εἰς τὴν πρὸς Φιλιππησ.)· «Καὶ δράκοντα καὶ ὄφιν σκολιὸν καὶ ἀσπίδα αὐτὸν (τὸν Διάβολον) καλεῖ πανταχοῦ· πολύπλοκον γὰρ τὸ θηρίον καὶ ποικίλον, καὶ πολλὴν ἔχει τὴν ἰσχύν· πάντα κινεῖ, πάντα θορυβεῖ, πάντα ἄνω καὶ κάτω στρέφει· ἀλλὰ μὴ φοβηθῆτε, ἀλλὰ μὴ δείσητε· γρηγορεῖτε μόνον, καὶ ὡς στρουθίον ἔσται».

[3]) Πόσον ἐναγώνιον καθίστησι τὸν φωτιζόμενον ὁ ἱερὸς Κύριλλος, ἔνθεν μὲν παριστῶν τὸ τῶν προσδοκωμένων θείων δωρεῶν μέγεθος, ἔνθεν δὲ δεικνὺς τὰ ἐξ ἀμελείας πτώματα καὶ τοὺς ἐγκεκρυμμένους κινδύνους. Τὴν εἰς ὑποδοχὴν τῶν ἁγίων Μυστηρίων πρέπουσαν ἐγρήγορσιν τῶν φωτιζομένων διδάσκων καὶ ὁ ἱερὸς Χρυσόστομος, λέγει· «Τὸν γὰρ τοῖς ἱεροῖς τούτοις καὶ φρικτοῖς μέλλοντα προσιέναι μυστηρίοις ἐγρηγορέναι χρὴ καὶ διεγηγέρθαι, πάσης βιωτικῆς φροντίδος εἶναι καθαρὸν, πολλῆς γέμειν σωφροσύνης, πολλῆς προθυμίας, πάντα τὸν μυστηρίων ἀλλότριον λογισμὸν ἐξορίζειν τῆς διανοίας, καὶ πάντοθεν καθαρὸν παρασκευάζειν τὸν οἶκον».

[4]) Ἄπορον, διατὶ οὕτω σαφοῦς καὶ καθαρᾶς κειμένης τῆς φράσεως ἐν τοῖς Κώδηξι Roe, Casaub., ὁ μὲν Μ. ἔθηκε· «λάβε κρίσεως ὑπομνηστικὸν σωτηρίας», ὁ δὲ Τ. «λάβε κρίσεως ἔννοιαν ὑπομνηστικὸν σωτηρίας».

[5]) Οὕτως ἐκ τῶν Κωδήκων Roe, Casaub. ἀντὶ τοῦ ἀνάρθρου «πόλις» κειμένου ἐν τοῖς ἐκδεδομένοις. Ἔναρθρος κεῖται ἡ λέξις καὶ ἐν τῷ Κώδ. Α.

άσσης [1]) ταῦτά σοι κατασκευάζει [2]). Μὴ πρόσεχε τοῖς χείλεσι τοῦ λαλοῦντος, ἀλλὰ τῷ ἐνεργοῦντι [3]). Φύλασσε τὴν σαυτοῦ ψυχὴν, ὅπως ἄληπτος γένῃ· ἵνα παραμείνας τῇ ἐλπίδι, κληρονόμος γένῃ σωτηρίας αἰωνίου [4]).

§. ΙΖ'. Ἡμεῖς μὲν ταῦτα ὡς ἄνθρωποι καὶ παραγγέλλομεν καὶ διδάσκομεν· μὴ ποιήσητε δὲ τὴν οἰκοδομὴν ἡμῶν χόρτον καὶ καλάμην καὶ ἄχυρα, ἵνα μὴ, τοῦ ἔργου κατακαέντος, ζημιωθῶμεν· ἀλλὰ ποιήσατε τὸ ἔργον χρυσίον καὶ ἀργύριον καὶ λίθους τιμίους· ἐν ἐμοὶ μὲν γάρ [5])

---

[1]) Δράκων τῆς θαλάσσης ἐστὶ καὶ ἐνταῦθα αὐτὸς ὁ Διάβολος· «Δράκοντα τὸν ἐν τῇ θαλάσσῃ» καλεῖ αὐτὸν ὁ Ἡσαΐας (κζ'. 1.). «Δράκων ὁ ἐν τῇ θαλάσσῃ» λέγεται καὶ παρὰ τῷ Ἰεζεκιὴλ (λβ'., 2.), ὅπερ χωρίον ἀναπτύσσων ὁ ἱερὸς Θεοδώρητος, λέγει· «ἐζηλωκέναι τοῦ ἐν τῇ θαλάσσῃ δράκοντος τὴν ὑπερηφάνειαν· ἐδιδάχθημεν δὲ τοῦτον εἶναι τὸν Διάβολον, τὸν πάλαι ποτὲ τῶν ἐθνῶν πικρῷ καὶ ἁλμυρῷ ἐνδιαιτηθέντα φρονήματι». Πρβλ. τὸ τροπάριον τῆς ά. Ὠδῆς τοῦ Κανόνος τῶν Θεοφανείων· «Ἀδὰμ τὸν φθαρέντα ἀναπλάττει ῥείθροις Ἰορδάνου, καὶ δρακόντων κεφαλὰς ἐμφωλευόντων διαθλάττει ὁ Βασιλεὺς τῶν αἰώνων Κύριος».

[2]) Ἐν τῷ Βασιλικῷ (reg. cod.) Κώδηκι κεῖται· «Γίνωσκε ὅτι ἐχθρὸς μέν ἐστι τοῦ Θεοῦ, διαβολικὸς δὲ δράκων ὁ ταῦτά σοι κατασκευάζων».

[3]) Οἱ μὲν ἄλλοι Κώδηκες καὶ αἱ ἐκδόσεις ἔχουσι· «τῷ ἐνεργοῦντι Θεῷ», ὁ δὲ Ἀρχιεπισκοπικὸς ἔχει μόνον· «τῷ ἐνεργοῦντι». Ἡ ἔννοια δὲ τοῦ λόγου ἀπαιτεῖ ἐνταῦθα ὅπως ἐννοήσωμεν εἰς τὸ «ἐνεργοῦντι» οὐχὶ «Θεῷ», ἀλλὰ «Διαβόλῳ», ἢ «πνεύματι πλάνης», ἤ τι τοιοῦτο· καὶ ἀληθῶς τοῦτ' αὐτὸ εὕρηται προστεθειμένον ἐν τῷ Βασιλικῷ λεγομένῳ Κώδηκι, ἐν ᾧ κεῖται καὶ φράσις οὕτω· «ἀλλὰ τῷ ἐνεργοῦντι ἐν αὐτῷ πνεύματι τῆς ἀπιστίας καὶ πλάνης». Ἡ γραφὴ λοιπὸν τοῦ Κώδ. Α., ἣν παρεδεξάμεθα, ἐστὶ συνᾴδουσα πρὸς τὸ νόημα.

[4]) Ἐν τῷ Βασιλικῷ Κώδηκι ἡ περίοδος αὕτη κεῖται οὕτω· «Φύλασσε τὴν σεαυτοῦ ψυχὴν, ὅπως μὴ ληφθῇς τοῖς τοῦ πολέμου θανατηφόροις μηχανήμασι, καὶ παραμένῃς ἐν τῇ ἀγαθῇ ἐλπίδι, (καὶ) γενέσθαι κληρονόμος καταξιωθῇς τῆς ἐπουρανίου καὶ αἰωνίου σωτηρίας».

[5]) Προσεθήκαμεν ἐνταῦθα τὸν «μὲν» ἐκ τῶν Κωδήκων Roe Casaub., διότι ἐμφαντικώτερος ἅμα καὶ γλαφυρώτερος πρόεισιν οὕτως ὁ λόγος· Εἴθισται δὲ παρὰ τῷ ἱερῷ Κυρίλλῳ ἡ χρῆσις τοῦ «μὲν γάρ» ἐν ταῖς ἀντιθέσεσιν· ὅρα ἀνωτ. §. 4. Κατήχ. Γ'.

ἐστι τὸ εἰπεῖν, ἐν σοὶ δὲ τὸ προσθέσθαι[1]), ἐν Θεῷ δὲ τὸ τελειῶσαι. Νευρώσωμεν τὴν διάνοιαν· συντείνωμεν τὴν ψυχήν· ἑτοιμάσωμεν τὴν καρδίαν· περὶ ψυχῆς τρέχομεν· περὶ αἰωνίων πραγμάτων ἐλπίζομεν. Δυνατὸς δὲ ὁ Θεὸς, ὁ τὰς καρδίας ὑμῶν εἰδὼς, καὶ γινώσκων, τίς μέν ἐστι γνήσιος, τίς δὲ ὑποκριτὴς, τὸν μὲν γνήσιον φυλάξαι, τὸν δὲ ὑποκριτὴν πιστοποιῆσαι· δύναται γὰρ ὁ Θεὸς καὶ τὸν ἄπιστον πιστοποιῆσαι, ἐὰν μόνον δῷ τὴν καρδίαν, καὶ ἐξαλεῖψαι τὸ καθ' ἡμῶν χειρόγραφον[2]). Ἀμνηστίαν δὲ ὑμῖν παράσχοι τῶν πρώτων παραπτωμάτων· φυτεύσοι δὲ ὑμᾶς εἰς τὴν Ἐκκλησίαν, καὶ στρατεύσοι ὑμᾶς ἑαυτῷ, ὅπλα περιβαλὼν τῆς δικαιοσύνης· οὐρανίων δὲ πραγμάτων Καινῆς Διαθήκης πληρώσειε, καὶ Πνεύματος ἁγίου σφραγῖδα δώῃ ἀνεξάλειπτον εἰς τοὺς αἰῶνας· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων[3]). Ἀμήν.

---

1. 2. Κατήχ. Δ΄. 26. 27. Κεῖται δὲ ὁ «μὲν» καὶ ἐν τῷ Κώδ. Α.

[1]) Ἐπὶ συγκαταθέσεως καὶ ἀποδοχῆς εἴληπται τὸ ῥῆμα τοῦτο καὶ ἐν τῇ ἁγίᾳ Γραφῇ· οἷον «Γνώριζε δικαίῳ, καὶ προσθήσει τοῦ δέχεσθαι» (Παροιμ. θ΄., 9.)· καὶ «Λόγον σοφὸν ἐὰν ἀκούσῃ, ἐπιστήμων, αἰνέσει αὐτὸν, καὶ ἐπ' αὐτὸν προσθήσει» (Σοφ. Σειρ. κα΄., 15.).

[2]) Ἐτηρήσαμεν τὸ κείμενον ὅπως εὑρίσκεται ἐν τῷ Μ., ἐξελάβομεν δηλονότι τὸ «ἐξαλεῖψαι» ἀπαρεμφατικῶς, καὶ συνήψαμεν αὐτὸ πρὸς τὰ προηγούμενα. Ὁ Τ. ὅμως ἔκ τινων Κωδήκων διωρθώσατο τὴν φράσιν, μεταβαλὼν τὸ «ἐξαλεῖψαι» εἰς εὐκτικὴν «ἐξαλείψαι», συνῆψε δὲ τοῦτο πρὸς τὰ ἑπόμενα· ἀντὶ δὲ τοῦ «ἡμῶν» ἔχει «ὑμῶν». Ὅθεν παρὰ τῷ Τ. τὰ εὐκτικὰ ῥήματα ἄρχονται ἀπὸ τοῦ «καὶ ἐξαλείψαι τὸ καθ' ὑμῶν χειρόγραφον· ἀμνηστίαν δὲ κτλ.».

[3]) Ἐν τῷ Κώδ. Α. ἡ δοξολογία λήγει οὕτω· «ᾧ πρέπει κράτος, τιμὴ καὶ προσκύνησις, εἰς τοὺς αἰῶνας τῶν αἰώνων».

Τὰς τῶν φωτιζομένων Κατηχήσεις ταύτας, τοῖς μὲν τῷ βαπτίσματι προσερχομένοις καὶ τοῖς τὸ λουτρὸν ἔχουσιν ἤδη πιστοῖς εἰς ἀνάγνωσιν παρεχόμενος, μὴ δὸς τὸ σύνολον μήτε Κατηχουμένοις, μήτε ἄλλοις τισὶ τοῖς μὴ οὖσι χριστιανοῖς, ἐπεὶ τῷ Κυρίῳ λόγον δώσεις. Καὶ ἐὰν ποιῇς ἀντίγραφον, ὡς ἐπὶ Κυρίου ταῦτα πρόγραψον [1]).

---

[1]) Ἐπειδὴ ἐλλείπει ἔκ τινων Κωδήκων ἡ ἐν τέλει τῆς Προκατηχήσεως διαμαρτύρησις αὕτη, ὑπέλαβον αὐτήν τινες ὑποβολιμαίαν καὶ ξένης χειρὸς προσθήκην. Ἀλλ' ὁμοίας ἐν τέλει τῶν βιβλίων παραγγελίας ἔχουσι καὶ ἄλλοι ἱεροὶ συγγραφεῖς· οἷον ὁ Ἰωάννης ἐν τῇ Ἀποκαλύψει (κβ'. 18.), ὁ Εἰρηναῖος εἰς τὸ τέλος τοῦ περὶ ὀγδοάδος βιβλίου, κατὰ τὸν Εὐσέβιον (Ἐκκλησ. Ἱστορ. έ. 20.), ὁ Εὐσέβιος αὐτὸς ἐν τῇ ἀρχῇ τοῦ ἰδίου χρονικοῦ, ὁ Ῥουφῖνος ἐν τῷ τέλει τοῦ προοιμίου τοῦ εἰς τὴν μετάφρασιν τῶν βίβλων τοῦ Ὠριγένους προτεταγμένου. Ὁ Τ. πείθεται περὶ τῆς ἀρχαιότητος τῆς διαμαρτυρήσεως ταύτης καὶ ἐκ τούτου, ὅτι τηρεῖται ἐν αὐτῇ ἡ συνήθεια τῆς ἱεροσολυμικῆς Ἐκκλησίας, ἥτις διέκρινεν ἀπ' ἀλλήλων καὶ διέστελλε Φωτιζομένους καὶ Κατηχουμένους. Ὅτι δὲ ἡ παραγγελία αὕτη τοῦ ἱεροῦ Κυρίλλου εὑρίσκεται τεταγμένη ἐνταῦθα, καὶ οὐχὶ μᾶλλον ἐν τῷ τέλει τῶν Κατηχήσεων, τοῦθ' οὐδόλως ἔπρεπεν ἵνα σκανδαλίσῃ τὸν σοφὸν Οὐαλέσιον· διότι σκοπὸς τοῦ θείου Πατρός ἐστι δεῖξαι, τίσι μὲν συγκεχώρηται ἀναγινώσκειν τὴν βίβλον ταύτην, τίσι δὲ μή· πολλῷ δὲ ἀσφαλέστερον καὶ καταλληλότερον δειχθῆναι τοῦτο ἐν τῷ προμετώπῳ τοῦ βιβλίου ἢ ἐν τῷ τέλει.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΚΑΤΗΧΗΣΙΣ Α΄.

ΦΩΤΙΖΟΜΕΝΩΝ[1]),

ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα, Εἰσαγωγικὴ τοῖς τῷ βαπτίσματι προσελθοῦσι. Καὶ ἀνάγνωσις ἐκ τοῦ Ἡσαΐου· Λούσασθε, καθαροὶ γίνεσθε· ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν, ἀπέναντι τῶν ὀφθαλμῶν μου, καὶ τὰ ἑξῆς.

§. Α΄. Καινῆς διαθήκης μαθηταὶ, καὶ Χριστοῦ μυστηρίων κοινωνοὶ νῦν μὲν τῇ κλήσει, μετ᾽ ὀλίγον δὲ καὶ τῇ χάριτι, καρδίαν ἑαυτοῖς ποιήσατε καινὴν, καὶ πνεῦμα καινὸν[2]), ἵνα εὐφροσύνη γένη-

---

[1]) Ἀντὶ φωτιζομένων ἐν τοῖς Κώδηξι Roe καὶ Casaub. εὕρηται, βαπτιζομένων, ὅπερ καταδικάζει μὲν ὁ Μ., ἀκατάκριτον δὲ καὶ συνώνυμον θεωρεῖ ὁ Τ. Τὸ «βαπτιζομένων», οὕτω κατ᾽ ἐνεστῶτα ἐκφερομένης τῆς μετοχῆς, οὐδόλως τῷ ὄντι διαφέρει τοῦ «φωτιζομένων», ἐν βεβαίᾳ ἐλπίδι τοῦ ἁγίου Βαπτίσματος διατελούντων καὶ πρὸς τοῦτο εὐτρεπιζομένων, ὡς ἀδιαφόρως κεῖνται αἱ δύο αὗται λέξεις καὶ ἐν ταῖς τῶν Ἀποστόλων Διαταγαῖς (Γ΄. 16. Η΄. 8.).

[2]) Οἱ ἐν τοῖς νάμασι τοῦ ἁγίου Βαπτίσματος τὸν παλαιὸν ἄνθρωπον θάπτοντες, καὶ ἐκ τῆς ἱερᾶς κολυμβήθρας ὡς ἀστέρες φωτεινοὶ ἀνατέλλοντες, καινὴ ὑπάρχουσι κτίσις, καὶ καινὴν ὀφείλουσιν ἵνα ἔχωσι καὶ ψυχὴν καὶ καρδίαν· «Δεῖ γὰρ, λέγει ὁ θεῖος Μακάριος, τὴν ψυχὴν τὴν ἐν ἀληθείᾳ πιστεύουσαν Χριστῷ μετατεθῆναι καὶ ἀλλαγῆναι ἀπὸ τῆς νῦν

ται τοῖς οὐρανίοις [1])· εἰ γὰρ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι χαρὰ γίνεται κατὰ τὸ Εὐαγγέλιον, πόσῳ μᾶλλον ἡ τοσούτων σωτηρία ψυχῶν κινήσει πρὸς εὐφροσύνην τοὺς οὐρανούς [2]); Ἀγαθῆς ὁδοῦ καὶ καλλίστης ἐφαψάμενοι, τὸν τῆς εὐσεβείας εὐλαβῶς δράμετε δρόμον· εἰς γὰρ τὴν ὑμετέραν ἀπολύτρωσιν ἑτοιμότατος πάρεστιν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, λέγων· «Δεῦτε πρός με [3]) πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς» [4]). Οἱ τὸ χαλεπὸν τῶν πταισμάτων ἠμφιεσμένοι, καὶ σειραῖς τῶν οἰκείων ἁμαρτιῶν ἐσφιγμένοι, τῆς προφητικῆς φωνῆς ἀκούσατε λεγούσης· «Λούσασθε, καθαροὶ γίνεσθε· ἀφέλετε τὰς πονηρίας ὑμῶν ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου»· ἵνα ἀγγελικὸς ὑμῖν ἐπιβοήσῃ [5]) χορός· «Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι» [6]). Οἱ τὰς τῆς πίστεως λαμπάδας ἐξάψαντες ἀρτίως, ἀσβέστους ἐν χερσὶ διατηρήσατε ταύτας, ἵν' ὁ τῷ λῃστῇ τότε τὸν παράδεισον ἐν τῷ παναγίῳ τούτῳ Γολγοθᾷ διὰ τὴν πίστιν ἀνοίξας, τὸ νυμφικὸν ὑμῖν ᾆσαι παράσχοι μέλος.

§. Β΄. Δοῦλος εἴ τις ἐστὶν ἐνταῦθα τῆς ἁμαρτίας, ἑτοιμότατος γενέσθω διὰ τῆς πίστεως εἰς τὴν ἐλευθέριον τῆς υἱοθεσίας ἀναγέν-

---

πονηρᾶς καταςάσεως εἰς ἑτέραν κατάςασιν ἀγαθὴν, καὶ ἀπὸ τῆς νῦν φύσεως ταπεινῆς εἰς ἑτέραν θείαν φύσιν, καὶ καινὴν αὐτὴν ἀπεργασθῆναι διὰ τῆς δυνάμεως τοῦ ἁγίου Πνεύματος, καὶ οὕτω δύναται χρησιμεῦσαι εἰς τὴν ἐπουράνιον βασιλείαν» (Ὁμιλ. ΜΔ΄.).

[1]) Ἐτηρήσαμεν τὴν φράσιν ὡς κεῖται ἐν τοῖς ἐκδεδομένοις· ἀλλὰ χαριεστέραν καὶ τῇ τοῦ λόγου συνθήκῃ καταλληλοτέραν νομίζομεν τὴν ἐν τοῖς Κώδηξι Roe καὶ Casaub. κειμένην, ἔχουσαν οὕτω· «ἵνα εὐφροσύνης ὑπόθεσις γένησθε τοῖς οὐρανίοις».

[2]) Ἐγράψαμεν «οὐρανούς», κατὰ τὰς πρὸ τοῦ Τ. ἐκδόσεις καὶ τὸν Κώδηκα Α. ἀντὶ «οὐρανίους», ὅπερ ἔθηκεν ὁ Τ. ἐν τῇ ἰδίᾳ ἐκδόσει ἐκ τῶν Κωδ. Roe, Casaub.

[3]) Ἐθήκαμεν τὸ «πρός με», κατὰ τοὺς Κώδ. Roe καὶ Casaub. καὶ κατὰ τὸ ἱερὸν κείμενον τοῦ Εὐαγγελιστοῦ.

[4]) Ματθ. ιά. 28.

[5]) Ἐν τοῖς Κώδ. Roe καὶ Casaub. κεῖται «ἐπιφωνήσῃ». Τὴν αὐτὴν δὲ λέξιν καὶ τὸ αὐτὸ νόημα ἐξέθηκεν ὁ Πατὴρ ἐν τῇ Προκατηχήσει §. 15.

[6]) Ψαλμ. λά, 1.

νησιν[1]). Καὶ τὴν μὲν τῶν ἁμαρτιῶν χακίστην δουλείαν ἀποθέμενος, τὴν δὲ τοῦ Κυρίου μακαριωτάτην δουλείαν κτησάμενος, καταξιωθήτω τὴν τῶν οὐρανῶν κληρομῆσαι βασιλείαν. Ἐκδύσασθε τὸν παλαιὸν ἄνθρωπον, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, διὰ τῆς ἐξομολογήσεως, ὅπως ἐνδύσησθε τὸν καινὸν, τὸν ἀνακαινούμενον κατ' ἐπίγνωσιν τοῦ κτίσαντος αὐτόν. Τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος τοῦ ἁγίου κτήσασθε διὰ τῆς πίστεως[2]), ὅπως δυνηθῆτε δεχθῆναι εἰς

---

[1]) Οὕτω κεῖται ἡ φράσις ἐν τοῖς ἐκδεδομένοις. Οἱ δὲ Κώδ. Roe καὶ Casaub. ἔχουσιν· «εἰς ἐλευθερίαν καὶ εἰς τὴν τῆς υἱοθεσίας ἀναγέννησιν». Ταύτην δὲ τὴν γραφὴν τῶν δύο Κωδήκων νομίζομεν γνησιωτέραν καὶ πρὸς τὸ ἀνωτέρω «δοῦλος» προσφυεστέραν.

[2]) Ἀῤῥαβὼν τοῦ ἁγίου Πνεύματός ἐστιν ἡ τοῖς πιστοῖς χορηγουμένη ἐνέργεια καὶ δωρεὰ αὐτοῦ· οἷον ἁμαρτημάτων συγχώρησις, κολάσεως ἄφεσις, δικαιοσύνη, ἁγιασμὸς, ἀπολύτρωσις, τῶν ἁγίων Μυστηρίων κοινωνία καὶ μέθεξις. Λέγεται δὲ ἡ χορήγησις αὕτη τοῦ ἁγίου Πνεύματος «ἀῤῥαβὼν», διότι ὁ ἀῤῥαβὼν μέρος ἐστὶ τοῦ παντὸς, καὶ τὰ χαρίσματα ταῦτα τοῦ Πνεύματος ὡς μέρος μόνον καὶ ὡς ἐνέχυρον ἡμῖν διδόμενα ἐν τῷδε τῷ βίῳ, τελείαν ἐμποιοῦσι πληροφορίαν καὶ βεβαίους ἡμᾶς ἀπεργάζονται περὶ τῶν μελλόντων ἐκείνων ἀγαθῶν, ἃ ὀφθαλμὸς οὐκ οἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. Ὅθεν εἶπε καὶ ὁ Χρυσόστομος (Τόμ. Β'. σελ. 515.)· «Ἀῤῥαβῶνα ἡμῖν ἔδωκεν, οὐ χρημάτων, οὐδὲ χρυσοῦ καὶ ἀργύρου, ἀλλ' ἀῤῥαβῶνα Πνεύματος· ὁ δὲ ἀῤῥαβὼν μέρος ἐστὶ τοῦ παντὸς, καὶ ὑπὲρ τοῦ παντὸς πιστός· καθάπερ γὰρ ἐπὶ τῶν συμβολαίων ὁ τὸν ἀῤῥαβῶνα δεξάμενος ὑπὲρ τοῦ παντὸς θαῤῥεῖ λοιπὸν καὶ πεπίστευκεν, οὕτω καὶ σὺ λαβὼν ἀῤῥαβῶνα, τοῦ Πνεύματος τὰ χαρίσματα λέγω, μηκέτι ἀμφίβαλλε περὶ τῶν ἀποκειμένων ἀγαθῶν». Λέγει δὲ καὶ ὁ Θεοδώρητος (εἰς τὴν Β'. Κορ. ά., 22.)· «Ὁ Θεὸς ἡμᾶς ἔχρισε, καὶ τῆς τοῦ παναγίου Πνεύματος σφραγῖδος ἠξίωσεν, οἱόν τινα ἀῤῥαβῶνα τῶν μελλόντων ἀγαθῶν δωρησάμενος ταύτην ἡμῖν τὴν χάριν· διὰ μέν τοι τοῦ ἀῤῥαβῶνος ἠνίξατο τῶν δοθησομένων τὸ μέγεθος· ὁ γὰρ ἀῤῥαβὼν μικρόν τι μέρος ἐστὶ τοῦ παντός». Ἀξιάγαστά εἰσι καὶ τὰ τοῦ ἁγίου Μάρκου τοῦ ἀσκητοῦ (ἐν τῇ Βιβλιοθ. τῶν Πατέρων Τόμ. Α'. σελ. 930.)· «Οὐ μόνον τὴν Ἱερουσαλὴμ, ἀλλὰ καὶ τὰ λοιπὰ ἀγαθὰ, ὅσα μέλλουσιν ἐν τῇ ἀναστάσει λαμβάνειν οἱ δίκαιοι, οἴδαμεν, ὅτι ἄνω εἰσί· τούτων δὲ οἱ ἀῤῥαβῶνες καὶ ἀπαρχαὶ ἐν ταῖς καρδίαις τῶν βεβαιοπίστων ἀπὸ

τὰς αἰωνίους μονάς[1]). Προσέλθετε εἰς τὴν μυστικὴν σφραγῖδα[2]), ἵνα εὔγνωστοι ἦτε τῷ Δεσπότῃ· συγκαταριθμήθητε τῇ ἁγίᾳ καὶ λογικῇ τοῦ Χριστοῦ ποίμνῃ, εἰς τὰ δεξιὰ αὐτοῦ ἀφορισθησόμενοι, καὶ κληρονομοῦντες τὴν ἡτοιμασμένην ὑμῖν ζωήν· οἷς γὰρ ἔτι τὸ τραχὺ τῶν ἁμαρτιῶν περίκειται, οὗτοι ἐν τοῖς ἀριστεροῖς τυγχάνουσι, διὰ τὸ μὴ προσελθεῖν τῇ τοῦ Θεοῦ χάριτι, τῇ δοθείσῃ διὰ Χριστοῦ ἐπὶ τῇ τοῦ λουτροῦ ἀναγεννήσει. Ἀναγέννησιν δὲ οὐ σωμάτων λέγω, ἀλλὰ ψυχῆς τὴν πνευματικὴν ἀναγέννησιν· τὰ μὲν γὰρ σώματα διὰ τῶν φαινομένων γονέων γεννῶνται, αἱ δὲ ψυχαὶ διὰ τῆς πίστεως ἀναγεννῶνται· «τὸ γὰρ Πνεῦμα ὅπου θέλει πνεῖ»[3])· καὶ τότε ἀκοῦσαι ἔχεις, ἐὰν ἄξιος γένῃ· «Εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ»[4]), ὅταν εὑρεθῇς μηδὲν ἀκάθαρτον ὑποκρίσεως ἔχων ἐν συνειδήσει.

§. Γ'. Εἰ γάρ τις τῶν ἐνταῦθα νομίζοι πειράζειν τὴν χάριν, ἑαυτὸν ἀπατᾷ, καὶ τὴν δύναμιν ἀγνοεῖ. Ἀνυπόκριτον ἔχε τὴν ψυχήν,

---

τοῦ νῦν πνευματικῶς ἐνεργοῦσιν, ὅπως πληροφορηθέντες περὶ τῶν μελλόντων, τῶν παρόντων ἁπάντων καταφρονήσωμεν, καὶ ἕως θανάτου τὸν Θεὸν ἀγαπήσωμεν».

[1]) Ἐν ἄλλοις Κώδηξι κεῖται «σκηνάς», ὅπως καὶ ἐν τῷ κατὰ Λουκᾶν ἁγίῳ Εὐαγγελίῳ ΙΣΤ'. 9.

[2]) «Μυστικὴν σφραγῖδα», καὶ κατωτέρω «σωτηριώδη καὶ θαυμασίαν σφραγῖδα» καλεῖ ὁ Πατὴρ τὸ ἅγιον Βάπτισμα, οὐ μόνον δι' ὃν ἐντίθησι τῷ βαπτιζομένῳ ἀνεξάλειπτον χαρακτῆρα καὶ περιφανὲς γνώρισμα, ἀλλὰ καὶ διότι φρουρεῖ καὶ συντηρεῖ τὸν ἔχοντα, πάντοθεν αὐτὸν περισκέπον τῇ χάριτι καὶ τῇ τοῦ Θεοῦ δυνάμει· «Σφραγὶς ἁγία, ἀκατάλυτος» ὠνομάσθη τὸ θεῖον Βάπτισμα ὑπὸ τοῦ αὐτοῦ Πατρὸς καὶ ἀνωτέρω §. ΙΣΤ'. «Σφραγῖδα ἀνεπιχείρητον» ἀπεκάλεσεν αὐτὸ καὶ ὁ Μ. Βασίλειος (Ὁμιλ. προτρεπτ. εἰς τὸ ἅγιον Βάπτισμα)· «Σφραγῖδα μυστικῆς τελειότητος» εἶπε τοῦτο καὶ ὁ Καισάριος (Ἐρώτ. ΙΒ'. σελ. 26.)· «Ἀθανατοποιὸν σφραγῖδα» ἐκάλεσε τοῦτο καὶ ὁ Μ. Κωνσταντῖνος, κατὰ τὸν Εὐσέβιον (ἐν βίῳ Κωνσταντ. βιβλ. Δ'. κεφ. 62.). Ὁ δὲ Θεολόγος Γρηγόριος, ἐν τῷ τεσσαρακοστῷ αὐτοῦ Λόγῳ, πολλάκις «σφραγῖδα» ὀνομάζει τὸ ἅγιον Βάπτισμα, ἐξηγεῖ δὲ καὶ τὸν λόγον τῆς τοιαύτης προσηγορίας, λέγων· «Σφραγῖδα δὲ ὡς συντήρησιν καὶ τῆς δεσποτείας σημείωσιν»· ἀλλὰ καὶ Κλήμης ὁ Ῥώμης (Ἐπιστ. πρὸς Κορινθ. §. 7.

[3]) Ἰωάν. γ', 8.

[4]) Ματθ. κέ, 21.

ὦ ἄνθρωπε, διὰ τὸν ἐτάζοντα καρδίας καὶ νεφρούς· ὥσπερ γὰρ οἱ μέλλοντες στρατεύειν ἐρευνῶσι τὰς ἡλικίας καὶ τὰ σώματα τῶν στρατευομένων, οὕτω καὶ ὁ Κύριος στρατολογῶν τὰς ψυχὰς ἐρευνᾷ τὰς προαιρέσεις· κἂν μὲν ὑπόκρισιν ἔχῃ τις κρυπτομένην[1]), ἀπέβαλε τὸν ἄνθρωπον, ὡς τῆς ἀληθοῦς στρατείας ἀνεπιτήδειον· εἰ δὲ ἄξιον καταλάβῃ, τούτῳ δίδωσιν ἑτοίμως τὴν χάριν. Οὐ δίδωσι τὰ ἅγια τοῖς κυσὶν, ἀλλ' ὅπου βλέπει τὴν ἀγαθὴν συνείδησιν[2]), ἐκεῖ τὴν σωτηριώδη δίδωσι σφραγῖδα, τὴν θαυμασίαν, ἣν τρέμουσι δαίμονες, καὶ γινώσκουσιν ἄγγελοι, ἵνα οἱ μὲν φύγωσιν ἐλασθέντες, οἱ δὲ περιέπωσιν ὡς οἰκείαν[3]). Τοῖς οὖν λαμβάνουσι τὴν πνευματικὴν ταύτην σφραγῖδα καὶ σωτήριον, χρεία καὶ τῆς οἰκείας προαιρέσεως· ὥσπερ γὰρ κάλαμος γραφικὸς ἢ καὶ βέλος χρείαν ἔχει τοῦ συνεργοῦντος, οὕτω καὶ ἡ χάρις χρείαν ἔχει τῶν πιστευόντων[4]).

§. Δ'. Ὅπλον λαμβάνεις οὐ φθαρτὸν, ἀλλὰ πνευματικόν· καταφυτεύῃ λοιπὸν εἰς τὸν νοητὸν παράδεισον[5]). Λαμβάνεις ὄνομα καινὸν,

---

[1]) Ἐν τοῖς Κώδηξι Roe καὶ Casaub. κεῖται ἡ φράσις προσφυέστερον ἐν ταὐτοπροσωπίᾳ οὕτω· «κἂν μὲν ὑπόκρισιν εὕρῃ κρυβομένην».

[2]) Οἱ Κώδ. Roe καὶ Casaub. ἔχουσι «τὴν ἀγαθὴν προαίρεσιν», καὶ ταύτην τὴν γραφὴν εὐλόγως ὀρθοτέραν νομίζει ὁ Μ., διότι μικρὸν ἀνωτέρω, καὶ πάλιν μικρὸν κατωτέρω, καὶ ἀλλαχοῦ πολλαχοῦ τίθησιν ὁ Πατὴρ τὴν λέξιν «προαίρεσιν».

[3]) Ὁ μὲν Τ. ἐκ τῆς ἐκδόσεως τοῦ 1608 παραλαβὼν γράφει «οἰκεῖον», ὁ δὲ Μ. καὶ ἄλλοι ἔχουσιν «οἰκεῖοι»· ἀλλ' ἡ γνησία γραφὴ φαίνεται οὖσα «οἰκείαν», ἥτις καὶ κεῖται ἀληθῶς ἐν τῷ Κώδ. Roe, καὶ ἣν προειλόμεθα ἐν τῷ ἡμετέρῳ κειμένῳ.

[4]) Συνῳδὰ τούτοις λέγει καὶ ὁ θεῖος Χρυσόστομος· «Ἡ γὰρ χάρις καὶ ὁ ἔλεος, κἂν χάρις ᾖ καὶ ἔλεος, ἀλλὰ τοὺς βουλομένους καὶ χάριν ἔχοντας σώζει, οὐ τοὺς ἀφηνιῶντας καὶ μὴ βουλομένους δέξασθαι τὴν δωρεὰν» (Ὁμιλ. εἰς τὸν Ε'. Ψαλμ.)· καὶ ἀλλαχοῦ· «Ἡ γὰρ χάρις, εἰ μὴ τὰ παρ' ἡμῶν πρότερον ἐζήτει, ἀθρόως ἂν εἰς τὰς ἁπάντων ἐξεχύθη ψυχάς· οὐ γάρ ἐστι προσωπολήπτης ὁ Θεός· ἐπειδὴ δὲ καὶ τὰ παρ' ἡμῶν ζητεῖ, διὰ τοῦτο τοῖς μὲν ἕπεται καὶ παραμένει, τῶν δὲ ἀφίπταται, εἰς δὲ τοὺς λοιποὺς οὐδὲ τὴν ἀρχὴν καθικνεῖται» (Τόμ. Α'. σελ. 169. ἐκδ'. Δ'.).

[5]) Νοητὸς παράδεισός ἐστιν ὁ ἐν οὐρανοῖς τόπος τῆς μακαριότητος τῶν

ὃ πρότερον οὐκ εἶχες· πρὸ τούτου Κατηχούμενος ἧς, νῦν δὲ πιστὸς κληθήσῃ· μεταφυτεύῃ λοιπὸν εἰς τὰς ἐλαίας τὰς νοητάς, ἐξ ἀγριελαίου εἰς καλλιέλαιον ἐγκεντριζόμενος, ἐξ ἁμαρτιῶν εἰς δικαιοσύνην, ἐκ μολυσμῶν εἰς καθαρότητα. Γίνῃ κοινωνὸς τῆς ἁγίας ἀμπέλου· ἀλλ' ἐὰν μὲν ἐπιμείνῃς τῇ ἀμπέλῳ, αὔξῃ ὡς κλῆμα καρποφόρον· ἐὰν δὲ μὴ ἐπιμείνῃς, ὑπὸ τοῦ πυρὸς καταναλωθήσῃ. Καρποφορήσωμεν τοίνυν ἀξίως· μὴ γένοιτο γὰρ ἵνα ἐν ἡμῖν γένηται τὸ κατὰ τὴν ἄκαρπον ἐκείνην συκῆν, μή ποτε ἐλθὼν ὁ Ἰησοῦς καὶ νῦν καταράση-

---

δικαίων, οὗ τύπος ἐστὶ καὶ ἀπεικόνισμα· λέγεται δὲ νοητὸς πρὸς διάκρισιν ἀπὸ τοῦ αἰσθητοῦ καὶ ἐπιγείου τοῦ ἐν ἀρχῇ τῆς δημιουργίας κτισθέντος καὶ τῷ Ἀδὰμ εἰς κατοίκησιν δοθέντος. Σημείωσαι, ὅτι ὁ ἱερὸς Κύριλλος μετὰ πολλῶν καὶ ἄλλων Πατέρων διακρίνει τὸν οὐρανὸν ἀπὸ τοῦ Παραδείσου, καὶ ταῦτα δύο θεωρεῖ πράγματα ἀπ' ἀλλήλων διεσταλμένα. Κατήχ. ΙΔ'. 26. Κατήχ. ΙΣΤ'. 20. Τὴν διάκρισιν δὲ ταύτην εὑρίσκει ὁ Πατὴρ ἐγκειμένην ἐν αὐτῷ τῷ ἱερῷ τῆς Γραφῆς κειμένῳ (Β'. Κορινθ. ιβ'. 2.), ἔνθα λέγεται ὅτι ὁ Παῦλος ἡρπάγη ἕως τρίτου οὐρανοῦ, καὶ ὅτι πάλιν ἡρπάγη εἰς τὸν παράδεισον. Διαστέλλουσιν οὐρανὸν καὶ παράδεισον ἐν τῷ χωρίῳ τούτῳ καὶ Κλήμης ὁ Ἀλεξανδρεὺς (Στρωμ. έ., 12, §. 80.), καὶ Εἰρηναῖος (β'. 30, §. 7.), καὶ Μεθόδιος (παρὰ τῷ Ἐπιφανίῳ Τόμ. Α'. σελ. 572.), καὶ Καισάριος ἐν τῷ Γ'. Διαλόγῳ Ἀπόκρ. 143.), καὶ Φώτιος (Ἀμφιλοχ. Ζήτ. ιέ.). Τὴν αὐτὴν διαστολὴν ποιοῦνται καὶ Ἀθανάσιος (Τόμ. Α'. σελ. 394), καὶ Ἐπιφάνιος (ἐν τῷ Ἀγκυρωτῷ §. 54.)· ἀλλ' οἱ δύο οὗτοι διδάσκαλοι παράδεισον ἐνταῦθα ἐννοοῦντες φαίνονται τὸν ἐπίγειον, ἐκεῖνον δηλαδή, ἀφ' οὗ ἐξώσθη ὁ Ἀδάμ. Σημειούσθω δὲ ἐν γένει, ὅτι τρεῖς περὶ παραδείσου γνῶμαι ὑπῆρξαν τὸ πάλαι· ἡ μὲν μία αἰσθητὸν μόνον καὶ ἐπίγειον παράδεισον ἀπεδέχετο, οὐχὶ δὲ καὶ νοητόν· ἡ δὲ δευτέρα μόνον νοητὸν καὶ πνευματικόν, οὐχὶ δὲ καὶ αἰσθητόν· ὅσα δὲ περὶ αἰσθητοῦ παραδείσου ἱστόρηνται, ταῦτα ἐξελάμβανον ἀλληγορικῶς, καθὼς ὁ Ὠριγένης· ἡ δὲ τρίτη γνώμη, ἡ καὶ ὀρθοτέρα καὶ κοινοτέρα τῶν θεολόγων, δύο ἀπεδέχετο παραδείσους, τὸν μὲν αἰσθητόν, ἐν ᾧ ἐτέθη ὁ Ἀδάμ, τὸν δὲ νοητόν, εἰς ὃν ἡρπάγη ὁ Παῦλος. Τὰς τρεῖς ταύτας γνώμας ἐκτίθησι καὶ ὁ μακάριος Αὐγουστῖνος (de gen. ad lit. VIII, 2.)· «Non ignoro de Paradiso multos multa dixisse. Tres tamen de hac re quasi generales sunt . . . . . . ». Ὅρ. Kirchenlex. ἐν λ. Paradisus. βλ. καὶ σημ. εἰς Κατήχ. ΙΓ'. §. 31.

ται διὰ τὴν ἀκαρπίαν, ἀλλ' εἴη πάντας ἐκεῖνο λέγειν· «Ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα» [1]. Ἐλαία οὐκ αἰσθητὴ, ἀλλὰ νοητὴ, φωτοφόρος. Αὐτοῦ μὲν οὖν ἐστι τὸ καταφυτεῦσαι καὶ ποτίσαι, σὸν δὲ τὸ καρποφορῆσαι· Θεοῦ τὸ χαρίσασθαι, σὸν δὲ τὸ λαβεῖν καὶ διατηρῆσαι. Μὴ διὰ τὸ δωρεὰν δίδοσθαι τὴν χάριν καταφρόνει, ἀλλὰ λαβὼν συντήρησον εὐλαβῶς.

§. Ε΄. Καιρὸς ἐξομολογήσεως ὁ παρών [2]· ἐξομολόγησαι τὰ πεπραγμένα, τὰ ἐν λόγῳ, τὰ ἐν ἔργῳ, τὰ ἐν νυκτὶ, τὰ ἐν ἡμέρᾳ. Ἐξομολόγησαι ἐν καιρῷ δεκτῷ, καὶ ἐν ἡμέρᾳ σωτηρίας δέξαι τὸν ἐπουράνιον θησαυρόν. Σχόλασον εἰς τοὺς ἐπαρκισμούς [3]· παρέδρευε ταῖς

---

[1]) Ψαλμ. ά. 10.

[2]) Ὁ καιρὸς οὗτος ἦν ἡ ἀρχὴ τῆς ἁγίας Τεσσαρακοστῆς. Ὅτι δὲ ἅπαντες οἱ Κατηχούμενοι πρὸ τοῦ βαπτίσματος ἔπρεπεν ἵνα ἐξομολογῶνται, ὑπάρχει φανερὸν καὶ διὰ πολλῶν ἀποδεδειγμένον. Ὅρα ἐν τῇ περὶ Κατηχουμένων Διαλογῇ. Ὅτι δὲ πρὸς τούτοις ἡ ἐξομολόγησις ἐνταῦθα οὐ τὴν ἐν τῷ κρυπτῷ μόνον κατάγνωσιν τῶν ἁμαρτημάτων σημαίνει, ὥς τινες ὑπέλαβον, ἀλλὰ καὶ τὴν ἀπὸ στόματος δήλωσιν τῶν πεπραγμένων, καὶ τὴν φανερὰν ὁμολογίαν καὶ ἐξαγόρευσιν, γίνεται δῆλον καὶ ἐκ τῆς ἑπομένης δευτέρας Κατηχήσεως (§. 12.), ἔνθα ὁ Πατὴρ, πολλὰ περὶ ἐξομολογήσεως παραινῶν, προτίθησιν εἰς μέσον ὡς σωτηριῶδες παράδειγμα τὸν Δαβίδ· «Εἰ βασιλεὺς, λέγει, οὕτως ἐξωμολογεῖτο, σὺ ὁ ἰδιώτης οὐκ ὀφείλεις ἐξομολογήσασθαι»; Ἀλλ' ὁ Δαβὶδ λόγῳ καὶ φανερᾷ ἐξαγορεύσει κατέγνω τὸ ἑαυτοῦ ἁμάρτημα, ἄρα τῷ αὐτῷ τρόπῳ πρέπον ἐστὶν ἵνα γίνηται καὶ ἡ ἐξομολόγησις τῶν μετανοούντων. Τοιαύτην ἐξομολόγησιν συνίστησι τοῖς Κατηχουμένοις καὶ ὁ Θεολόγος Γρηγόριος ἐν τῷ τεσσαρακοστῷ αὐτοῦ Λόγῳ· «Μὴ ἀπαξιώσῃς ἐξαγορεῦσαί σου τὴν ἁμαρτίαν, εἰδὼς ὅπως Ἰωάννης ἐβάπτισεν, ἵνα τὴν ἐκεῖθεν αἰσχύνην τῇ ἐνταῦθα φύγῃς· ἐπειδὴ μέρος καὶ τοῦτο τῆς ἐκεῖσε κολάσεως· καὶ δείξῃς ὅτι τὴν ἁμαρτίαν ὄντως μεμίσηκας, παραδειγματίσας αὐτὴν καὶ θριαμβεύσας ὡς ἀξίαν ὕβρεως». Φησὶ δὲ καὶ ὁ Χρυσόστομος (εἰς Ψαλμ. 140.)· «Οὐδὲν οὕτω τὸν Θεὸν ἵλεων ποιεῖ, ὡς τὸ τὰ οἰκεῖα ὁμολογεῖν ἁμαρτήματα».

[3]) «Ἐπορκισμούς» ἔχει ἡ ἔκδοσις τοῦ 1608 καὶ ὁ Τ., «ἐξορκισμούς» οἱ Κώδηκες Coisl. καὶ Casaub. καὶ ὁ Μ., «ἐφορκισμούς» ὁ Κώδηξ Roe. Φαίνεται γνησιωτέρα ἡ γραφὴ «τοὺς

κατηχήσεσι, καὶ μέμνησο τῶν λεχθησομένων· λέγεται γὰρ οὐχ ἵνα μόνον ἀκούσῃς, ἀλλ᾽ ἵνα διὰ τῆς πίστεως ἐπισφραγίσῃς τὰ λεγόμενα. Πᾶσαν μέριμναν ἀνθρωπίνην ἐξάλειψον ἀπὸ σοῦ· περὶ ψυχῆς γὰρ τρέχεις· τὰ τοῦ κόσμου πάντως καταλιμπάνεις· μικρὰ τὰ καταλιμπανόμενα, μεγάλα δὲ τὰ παρὰ τοῦ Κυρίου δωρούμενα. Κατάλιπε τὰ παρόντα, καὶ πίστευσον[1]) εἰς τὰ μέλλοντα. Τοσούτους κύκλους ἐνιαυτῶν διῆλθες, περὶ τὸν κόσμον μάτην ἀσχολούμενος, καὶ τεσσαράκοντα ἡμέρας οὐ σχολάζεις διὰ τὴν σαυτοῦ ψυχήν[2]); «Σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός» φησὶν ἡ θεία Γραφή[3]). Τὸ λαλεῖν πολλὰ ἀργὰ παραίτησαι· μήτε καταλάλει, μήτε ἡδέως ἄκουε καταλαλοῦντος, ἀλλὰ μᾶλλον εἰς προσευχὰς ἕτοιμος ἴσο. Δεῖξον ἐν ἀσκήσει τῆς καρδίας σου τὸ νενεκρωμένον. Καθάρισόν σου τὸ ἄγγος, ἵνα πλείονα δέξῃ τὴν χάριν· ἡ μὲν γὰρ ἄφεσις τῶν ἁμαρτιῶν ἐξ ἴσου δίδοται τοῖς πᾶσιν, ἡ δὲ τοῦ Πνεύματος τοῦ ἁγίου κοινωνία κατὰ ἀναλογίαν δωρεῖται[4]) τῆς ἑκάστου πίστεως. Ἐὰν ὀλίγα κάμῃς, ὀλίγα λαμβάνεις· ἐὰν δὲ ἐργάσῃ πολλά, πολὺς ὁ μισθός. Σεαυτῷ τρέχεις, τὸ συμφέρον σκόπει.

§. Ϛʹ. Εἴ τι κατά τινος ἔχεις, ἄφες. Προσέρχῃ λαβεῖν ἄφεσιν ἁμαρτιῶν, ἀνάγκη καί σε συγχωρῆσαι τῷ ἡμαρτηκότι· ἐπεὶ ποίῳ προσώπῳ τῷ Κυρίῳ λέξεις· Ἄφες μοι τὰς πολλάς μου ἁμαρτίας, αὐτὸς σὺ μηδὲ τὰς ὀλίγας τῷ συνδούλῳ συγχωρήσας; Εἰς τὰς Συν-

---

ἐπορκισμούς», διότι συχνάκις ὁ Πατὴρ χρῆται τῇ λέξει οὕτω.

[1]) Οὕτως εἰς ἀόριστον χρόνον κεῖνται ἀμφότερα τὰ ῥήματα «κατάλιπε» καὶ «πίστευσον» ἐν τῷ Κώδ. Α. «Πίστευσον» ἔχουσι καὶ οἱ Κώδ. Roe, Casaub. Ἔστι δὲ ὁ ἀόριστος καταλληλότερος τοῦ ἐνεστῶτος, ὃν ἔχουσιν αἱ ἄχρι τοῦδε ἐκδόσεις.

[2]) Οὕτω καθαρὰ καὶ σαφὴς κεῖται ἡ φράσις ἐν τοῖς Κώδ. Roe καὶ Casaub. καὶ ἐν τῷ Κώδ. Α. Ἀλλαχοῦ δὲ εἰς τὸ «οὐ σχολάζεις» εὕρηται προςεθειμένη ἡ λέξις «τῇ προσευχῇ», ἣν ὁ μὲν Τ. μετὰ δισταγμοῦ καὶ ἐν παρενθέσει παρέλαβεν εἰς τὸ κείμενον, ἡμεῖς δὲ ὡς περιττὴν παραλείπομεν.

[3]) Ψαλμ. ΜΕʹ. 11.—Ἐλλείπει τὸ «θεία» ἐκ τῶν ἐκδεδομένων. Ἡμεῖς δὲ προσεθήκαμεν τοῦτο ἐκ τῶν τριῶν Κωδ. Α., Roe καὶ Casaub.

[4]) Παρεθήκαμεν «δωρεῖται» ἐκ τῶν Κωδ. Roe καὶ Casaub. ἀντὶ «δεδώρηται», ὅπερ εἶχον ὁ Μ. καὶ Τ.

άξεις ἔσο σπουδαῖος· μὴ μόνον νῦν, ὅτε καὶ ὑπὸ τῶν κληρικῶν τὴν σπουδὴν ἀπαιτῇ, ἀλλὰ καὶ μετὰ τὸ λαβεῖν τὴν χάριν· εἰ γὰρ πρὶν λάβῃς καλὸν τὸ γινόμενον, ἆρ' οὐχὶ καὶ μετὰ τὴν δόσιν καλόν; Εἰ πρὶν ἐγκεντρισθῇς[1]) ἀσφαλὲς τὸ ποτίζεσθαι καὶ γεωργεῖσθαι, μετὰ τὴν φυτείαν ἆρ' οὐχὶ πολὺ κάλλιον; Ἀγώνισαι περὶ τῆς σαυτοῦ ψυχῆς, μάλιστα ἐν τοιαύταις ἡμέραις. Θρέψον σου τὴν ψυχὴν ἀναγνώσεσι θείαις[2])· ἡτοίμασε γάρ σοι τράπεζαν πνευματικὴν ὁ Κύριος· εἰπὲ καὶ αὐτὸς κατὰ τὸν Ψαλμῳδόν· «Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης, ἐκεῖ με κατεσκήνωσεν, ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με, τὴν ψυχήν μου ἐπέστρεψεν»[3]), ἵνα καὶ ἄγγελοι συνευφρανθῶσι, καὶ αὐτὸς ὁ Χριστὸς, ὁ μέγας ἀρχιερεὺς, τὴν ὑμετέραν προαίρεσιν ἀποδεξάμενος, προσφέρων ὑμᾶς ἅπαντας, εἴπῃ τῷ Πατρί· «Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός»[4]), ὃς πάντας ὑμᾶς εὐαρεστοῦντας αὐτῷ συντηρήσειεν· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

[1]) Ἐν τῷ Κώδ. Α. κεῖται ἡ λέξις ἀπαρεμφατικῶς· «ἐγκεντρίζεσθαι».

[2]) Τροφὴν τῆς ψυχῆς ἐκάλεσε τὴν τῶν θείων λόγων ἀνάγνωσιν καὶ ὁ ἱερὸς Βασίλειος Σελευκείας (Λόγ. ΙΣΤ'.)· «Ψυχῆς δὲ τροφὴ θείων λόγων ἑστίασις· σὰρξ μὲν γὰρ σωματικαῖς ἑστιάσεσι τρέφεται, διὰ φθαρτῶν ἡ φθαρτὴ δεχομένη τὴν αὔξησιν· ψυχῆς δὲ τροφὴ τῆς ἀληθείας ἡ γνῶσις, ἡ τοῦ ποιητοῦ κατανόησις, τὸ τῶν θείων ἐμφορεῖσθαι διηγημάτων». Εἴρηκε δὲ καὶ ὁ θεῖος Χρυσόστομος (Τόμ. Ε'. σελ. 326.)· «Ὥσπερ γὰρ τρέφεται σῶμα, οὕτω τρέφεται καὶ ψυχή· καὶ ὅτι τρέφεται, ἄκουε· οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ. Ταύτην οὖν λέγει τὴν τροφὴν, ἣν ἐξαιρέτως ἔδωκε τοῖς φοβουμένοις αὐτὸν, τὴν διὰ τοῦ λόγου διδασκαλίαν, τὴν παίδευσιν, τὴν φιλοσοφίαν ἅπασαν». Βλ. καὶ Κλήμ. Ἀλεξανδρ. Στρωμ. Α'. κεφ. ά.

[3]) Ψαλμ. ΚΒ'. 1. 2.

[4]) Ἡσαΐ. Η'. 18.

ΚΑΤΗΧΗΣΙΣ Β′.

ΦΩΤΙΖΟΜΕΝΩΝ

Ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα, περὶ μετανοίας καὶ ἀφέσεως ἁμαρτιῶν, καὶ περὶ Ἀντικειμένου. Καὶ ἀνάγνωσις ἐκ τοῦ Ἰεζεκιήλ· «Δικαιοσύνη δικαίῳ ἐπ᾽ αὐτὸν ἔσται[1]), καὶ ἀνομία ἀνόμῳ ἐπ᾽ αὐτὸν ἔσται. Καὶ ὁ ἄνομος ἐὰν ἐπιστρέψῃ[2]) ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ», καὶ τὰ ἑξῆς.

§. Α′. Δεινὸν ἡ ἁμαρτία[3]), καὶ νόσος χαλεπωτάτη ψυχῆς ἡ παρανομία, ὑποτέμνουσα μὲν[4]) αὐτῆς τὰ νεῦρα, καὶ πυρὸς δὲ αἰωνίου γινομένη παραίτιος[5])· κακὸν αὐτεξούσιον, βλάστημα προ-

---

[1]) Ἐν ταῖς πρὸ τοῦ Τ. ἐκδόσεσι καὶ ἔν τισι Κώδηξιν ἡ προφητικὴ ῥῆσις λήγει εἰς τὸ, «δικαίῳ ἐπ᾽ αὐτὸν ἔσται»· ὁ δὲ Τ. προσέθηκε καὶ τὸ ὑπόλοιπον τῆς ῥήσεως, ὡς εὕρηται ἐν δύο Κώδηξι.

[2]) Ἀντὶ «ἐπιστρέψῃ» γέγραπται «ἀποστρέψῃ» ἐν ἁπάσαις ταῖς ἐκδόσεσι τῶν Ο′.

[3]) «Οὐδὲν δεινὸν τῶν ἀνθρωπίνων, ἀλλ᾽ ἡ ἁμαρτία μόνον, λέγει καὶ ὁ χρυσοῦς διδάσκαλος, οὐ πενία, οὐ νόσος, οὐχ ὕβρις, οὐκ ἐπήρεια, οὐκ ἀτιμία, οὐ τὸ πάντων δοκοῦν ἔσχατον εἶναι τῶν κακῶν, ὁ θάνατος· ὀνόματα ταῦτά ἐστι μόνον τοῖς φιλοσοφοῦσι, συμφορῶν ὀνόματα, πραγμάτων ἔρημα· ἡ δ᾽ ἀληθὴς συμφορὰ τὸ προσκροῦσαι Θεῷ» (εἰς τοὺς Ἀνδριάντας Ὁμιλ. Ε′.).

[4]) Ὁ «μὲν» λείπει ἐκ τοῦ Κώδηκος Α. καθὼς καὶ κατωτέρω ὁ «δέ».

[5]) Εὐγλώττως καὶ θαυμασίως παρίστησι τὴν ὀλεθρίαν καὶ καταστρεπτικὴν ἐνέργειαν τῆς ἁμαρτίας καὶ ὁ χρυσοῦς διδάσκαλος (Ὁμιλ. Θ′. εἰς

αιρέσεως[1]). Καὶ ὅτι γε αὐτοπροαιρέτως ἁμαρτάνομεν, λέγει που σαφῶς ὁ Προφήτης· «Ἐγὼ δὲ ἐφύτευσά σε[2]) ἄμπελον καρποφόρον πᾶσαν ἀληθινήν, πῶς ἐστράφης εἰς πικρίαν ἡ ἄμπελος ἡ ἀλλοτρία»[3]); Ἡ φυτεία καλή, ὁ καρπὸς ἐκ προαιρέσεως κακός· καὶ διὰ τοῦτο ὁ

τὴν Α΄. Κορινθ.)· «Οὐδὲν οὕτως ἀλόγιστον, ὡς ἁμαρτία· οὐδὲν οὕτως ἀνόητον καὶ μωρὸν καὶ ῥαγδαῖον· πάντα ἀνατρέπει καὶ συγχεῖ καὶ ἀπόλλυσιν, ἔνθα ἂν εἰσπηδήσῃ· ἀηδὴς ἰδεῖν, φορτικὴ καὶ ἐπαχθής· καὶ εἴ τις αὐτὴν ἀνέπλαττε ζωγράφος, οὐκ ἄν μοι δοκεῖ ἁμαρτεῖν, οὕτως αὐτὴν ἀναπλάττων, γυναῖκά τινα θηριόμορφον, βάρβαρον, πῦρ πνέουσαν, ἀτερπῆ, μέλαιναν, οἵας ἡ τῶν ἔξωθεν ποιηταὶ τὰς Σκύλλας ὑπογράφουσι· μυρίαις γὰρ χερσὶν ἐπιλαμβάνεται τῶν ἡμετέρων λογισμῶν, καὶ ἀδοκήτως εἰσέρχεται, καὶ πάντα διασπαράττει, καθάπερ οἱ κύνες οἱ λάθρα δάκνοντες».

[1]) Ὁ ἱερὸς Κύριλλος πολλὰ διδάσκει ἐν ταύτῃ τῇ Κατηχήσει, ἵνα δείξῃ ὅτι οὐχὶ ἐκ φύσεως καὶ ἐκ τοῦ δημιουργοῦ, ὡς ἐλήρουν οἱ Μανιχαῖοι, ἀλλ' ἐκ βουλήσεως καὶ προαιρέσεως ἐκπηγάζει ἡ ἁμαρτία. Ὅτι ἐξ ἡμῶν καὶ ἐκ τῆς ἡμετέρας προαιρέσεως ἀναβλαστάνει τὸ κακὸν καὶ ἡ ἁμαρτία, δείκνυσιν ἄριστα καὶ ὁ Μ. Ἀθανάσιος· (Λόγ. κατὰ Ἑλλ.) «Τὸ κακὸν οὐ παρὰ Θεοῦ . . . .» (σελ. 6.). Φησὶ δὲ καὶ ὁ ἱερὸς Ἐπιφάνιος (Τόμ. Α΄. σελ. 72.)· «Τὸ κακὸν οὐκ ἀρχαΐζει, οὐδ' ἐξ ὑπαρχῆς ὑπῆρχε πρὸ τοῦ ἀπὸ τοῦ ἀνθρώπου ἐνάρξασθαι· δι' ἡμῶν γὰρ γίνεται καὶ δι' ἡμῶν οὐ γίνεται». Ἀλλὰ καὶ ὁ θεῖος Χρυσοῤῥήμων λέγει (Ὁμιλ. Β΄. εἰς Ἰωάν.)· «Προαιρέσεως καὶ γνώμης ἡ κακία πᾶσα». Καὶ ἀλλαχοῦ (Ὁμιλ. ΙΘ΄. εἰς Ματθ.)· «Οὐ γὰρ τῶν ἐκ φύσεως, ἀλλὰ τῶν ἐκ προαιρέσεως ἐπιγενομένων ἐστὶν ἡ πονηρία». Κάλλιστά εἰσιν ὅσα λέγει ὁ Νύσσης Κατήχ. σελ. 24.

[2]) Οὕτως ἐγράψαμεν τὴν φράσιν στηριζόμενοι ἐπὶ τῶν τριῶν Κωδήκων Α., Roe καὶ Casaub. Οὕτως ἔχει καὶ τὸ ἱερὸν κείμενον, καὶ αὐτὸς ὁ Κύριλλος Κατήχ. Δ΄. §. 19.

[3]) Αὐτὸ τοῦτο τὸ προφητικὸν ῥητὸν σχολιάζων καὶ ὁ Ὠριγένης (εἰς Ἱερεμ. Ὁμιλ. Β΄.) λέγει· «Ἀπορεῖ οὖν ἐνθάδε πρὸς τοὺς ἁμαρτάνοντας ἐλεγκτικῶς λέγων ὁ λόγος· πῶς ἐστράφης εἰς πικρίαν ἡ ἄμπελος ἡ ἀλλοτρία; Ἐγὼ γὰρ ἐφύτευσά σε ἄμπελον καρποφόρον πᾶσαν ἀληθινήν· ἐν τοῖς πρὸ τούτων λέλεκται, καὶ ἐπαναλαβὼν πείσω ὑμᾶς, ὅτι Θεὸς μὲν καλὴν ἄμπελον ἐφύτευσε τὴν τοῦ ἀνθρώπου ψυχήν, ἕκαστος δὲ στραφεὶς γέγονεν ἐναντίος τῷ βουλήματι τοῦ κτίσαντος· ἐγὼ ἐφύτευσά σε ἄμπελον καρποφόρον πᾶσαν, οὐκ ἐκ μέρους, ἀληθινήν· οὐδὲ τὴν μὲν ἀληθινήν, τὴν δὲ ψευδῆ· ἀλλ' ἐγὼ ἐφύτευσά σε ἄμπελον, σὺ πῶς ἐστράφης εἰς πικρίαν καὶ γέγονας ἀλλοτρία ἄμπελος; Βλ.

φυτουργὸς ἀναίτιος[1]). ἡ δὲ ἄμπελος κατακαυθήσεται πυρὶ, ἐπειδὴ εἰς ἀγαθὸν ἐφυτεύθη, καὶ εἰς κακὸν ἐκαρποφόρησεν ἐκ προαιρέσεως· «Ἐποίησε

καὶ Μ. Βασίλειον (Τόμ. Β΄. σελ. 623.), καὶ Θεοδώρητον (εἰς Ἱερεμίαν Β΄. 321.).

[1]) Ὑπὸ τῶν λόγων τοῦ ἱεροῦ Πατρὸς ὡς ὑπὸ σφοδρᾶς καὶ βαρείας σφενδόνης στυφελιζόμενοι καταράσσονται πάντες, οἱ πάνυ δυσσεβῶς τῷ Θεῷ προσάπτοντες τῶν κακῶν τὴν αἰτίαν. Ὅτι τὸ κακὸν οὐ παρὰ Θεοῦ, ἀλλ' ἐξ ἡμῶν τε ἀναβλαστάνει καὶ δι' ἡμῶν γίνεται, τοῦτο λαμπρᾷ τῇ φωνῇ ἐδίδαξαν, καὶ πᾶσι πανταχοῦ ἀνεκήρυξαν σύμπαντες οἱ Πατέρες, οἱ φωστήρων δίκην τὴν Οἰκουμένην αὐγάσαντες. «Τὸ κακὸν οὐ παρὰ Θεοῦ, οὐδὲ ἐν Θεῷ», ἔφη ὁ Μ. Ἀθανάσιος (Λόγ. κατὰ Ἑλλ. σελ. 6.)· «αἰτία δὲ ἑλομένου, ὁ Θεὸς ἀναίτιος» εἶπε καὶ Κλήμης ὁ Ἀλεξανδρεὺς (Παιδαγ. Α΄.)· «Μή μοι λέγε παρὰ Θεοῦ τὸ κακὸν τὴν γένεσιν ἔχειν» ἐβρόντησε καὶ ὁ Μ. Βασίλειος (Λόγ. περὶ ἀρετῆς καὶ κακίας)· «Ἀναίτιον παντάπασι κακῶν τὸ θεῖον, ἀγαθὸν τῇ φύσει τυγχάνον, καὶ τοῦ προελομένου τὰ τῆς κακίας» ὑψηγόρως ἐκήρυξε καὶ ὁ Θεολόγος Γρηγόριος (Λόγ. Δ΄.)· «Μηδεὶς εἴπῃ ὅτι ὁ Θεὸς ἡμῖν αἴτιος τῶν κακῶν» μελιῤῥύτως ἐκελάδησε καὶ ὁ θεῖος Χρυσόστομος (Ὁμιλ. ΚΓ΄. εἰς τὰς Πράξ.)· «Οὐδεμία κακοῦ γένεσις ἐκ θείου βουλήματος τὴν ἀρχὴν ἔσχεν· ἦ γὰρ ἂν ἔξω μέμψεως ἦν ἡ κακία, Θεὸν ἑαυτῆς ἐπιγραφομένη ποιητὴν καὶ Πατέρα· ἀλλ' ἐμφύεταί πως τὸ κακὸν ἔνδοθεν, τῇ προαιρέσει τότε συνιστάμενον, ὅταν τις ἀπὸ τοῦ καλοῦ γένηται τῆς ψυχῆς ἀναχώρησις» θεηγόρως ἐμυσταγώγησε καὶ ὁ θεσπέσιος Νύσσης. (Λόγ. Κατηχ. κεφ. έ.) «malitia ex nobis orta, non a Deo creatore condita»· εἴρηκε καὶ ὁ θεῖος Ἀμβρόσιος (in hexaemer. lib. I. cap. 8.). Ἀλλὰ τί με δεῖ καταλέγειν ἕνα ἕκαστον τῶν Πατέρων, ὁπότε καὶ οἱ σοφοὶ αὐτοὶ τῶν Ἑλλήνων ταῖς τοῦ φυσικοῦ φωτὸς αὐγαῖς κατεῖδον καὶ γλώττῃ τρανῇ ἐλάλησαν τὴν ἀλήθειαν ταύτην; Κείσθωσαν ἀντὶ πάντων ὧδε τὰ τοῦ μεγαλοφυοῦς Πλάτωνος· «Κακῶν δὲ αἴτιον φάναι Θεόν τινι γίγνεσθαι, ἀγαθὸν ὄντα, διαμαχητέον παντὶ τρόπῳ, μήτε τινὰ λέγειν ταῦτα ἐν τῇ αὐτοῦ πόλει, εἰ μέλλει εὐνομήσεσθαι, μήτε τινὰ ἀκούειν, μήτε νεώτερον μήτε πρεσβύτερον, μήτ' ἐν μέτρῳ μήτ' ἄνευ μέτρου μυθολογοῦντα, ὡς οὔτε ὅσια ἂν λεγόμενα, εἰ λέγοιτο, οὔτε ξύμφορα ἡμῖν, οὔτε σύμφωνα αὐτὰ αὐτοῖς» (Πολιτ. Β΄. §. 19.). Γνωστὸν δὲ καὶ τὸ ἀποφθεγματικὸν ἐκεῖνο τὸ παρὰ Πλάτωνι· «αἰτία ἑλομένου, Θεὸς δ' ἀναίτιος» (Πολιτ. Ι΄. §. 15.), ᾧ περ κέχρηται πολλάκις ὁ Ἀλεξανδρεὺς Κλήμης (Στρωμ. Α΄. σελ. 271, 311. Στρωμ. Β΄. σελ. 393. Στρωμ. Δ΄. σελ. 535. Στρωμ. Ε΄. σελ. 613. Στρωμ. Ζ΄.

γὰρ ὁ Θεὸς τὸν ἄνθρωπον εὐθῆ[1]), κατὰ τὸν Ἐκκλησιαστὴν, καὶ αὐτοὶ ἐζήτησαν λογισμοὺς πολλούς. Αὐτοῦ γὰρ ἐσμὲν ποίημα, κτισθέντες ἐπὶ ἔργοις ἀγαθοῖς», φησὶν ὁ Ἀπόστολος[2]). Ὁ μὲν οὖν κτίστης, ἀγαθὸς ὢν, ἐπὶ ἔργοις ἀγαθοῖς ἔκτισεν· τὸ δὲ κτισθὲν ἐξ οἰκείας προαιρέσεως εἰς πονηρίαν ἐτράπη[3]). Δεινὸν μὲν οὖν κακὸν, ὡς εἴρηται, ἡ ἁμαρτία, ἀλλ' οὐκ ἀθεράπευτον. Δεινὸν τῷ κατέχοντι, εὐΐατον δὲ τῷ διὰ μετανοίας ἀποτιθεμένῳ· ὑπόθου γάρ μοι κατέχειν ἐν χειρί τινα τὸ πῦρ· ἕως ὅτου κατέχει τὸν ἄνθρακα, καίεται πάντως· εἰ δὲ ἀπόθοιτο τὸν ἄνθρακα, συναπέβαλε[4]) καὶ τὸ φλέγον. Εἰ δέ τις νομίζει

σελ. 705.). Μέμνηται δὲ τούτου καὶ Ἰουστῖνος (Ἀπολ. Α΄. §. 44.), καὶ Ὠριγένης (εἰς Ἰὼβ κεφ. λή.), καὶ τὰ Κλημέντια (Ὁμιλ. ΙΕ΄. κεφ. ή.), καὶ Εὐσέβιος (Εὐαγγελ. Προπαρ. βιβλ. ΣΤ΄. καὶ κατὰ Ἱεροκλέους σελ. 542.)· ἐκ δὲ τῶν ἔξω ὁ Λουκιανὸς (περὶ τῶν ἐπὶ μισθῷ συνόντων, ἐν τῷ τέλει).

[1]) Οὕτως ἔχουσι γεγραμμένην τὴν λέξιν οἱ Κώδηκες Α., Coisl., Roe., Casaub., ὡς κεῖται καὶ ἐν τῷ ἱερῷ κειμένῳ τῶν Ο΄. Ὁ Μιλλέσιος καὶ Τουτέος ἔγραψαν «εὐθύν».

[2]) Ἐν τοῖς Κώδηξι Α. Roe καὶ Casaub. ἀκολουθοῦσι τὰ ἑξῆς· «οἷς προητοίμασεν ὁ Θεὸς, ἵνα ἐν αὐτοῖς περιπατήσωμεν». Σημείωσαι δὲ ὅτι ὁ θεῖος Πατὴρ παραλιπὼν ἐνταῦθα τὰς λέξεις «ἐν Χριστῷ Ἰησοῦ» κειμένας ἐν τῷ Ἀποστόλῳ, μετὰ τὸ «κτισθέντας» ἐφήρμοσε τὴν ἀποστολικὴν ταύτην ῥῆσιν ἐπὶ τῆς πρώτης δημιουργίας καὶ πλάσεως τοῦ ἀνθρώπου, ὡς ἐποίησε τοῦτο καὶ ὁ Ἀλεξανδρείας Κύριλ. (κατὰ ἀνθρωπομορφιτῶν Τόμ. ΣΤ΄. σελ. 378.). Ὁλόκληρος ὅμως ἡ ῥῆσις ἐπαναλαμβάνεται ὑπὸ τῶν Πατέρων ἐπὶ τῆς ἀναγεννήσεως καὶ ἀναπλάσεως τοῦ ἀνθρώπου, τῆς ἐν Χριστῷ Ἰησοῦ γενομένης. Ὅρ. Χρυσόστομον (Ὁμιλ. Δ΄. εἰς τὴν πρὸς Ἐφεσ.), Θεοδώρητον (εἰς τὴν πρὸς Ἐφεσ. κεφ. β΄.), Ἰόβιον μοναχὸν (παρὰ τῷ Φωτίῳ Βιβλιοθ. 122.).

[3]) Ἄριστα διὰ παραδειγμάτων σαφηνίζουσιν οἱ Πατέρες, τίνι τρόπῳ ὁ μὲν Θεός ἐστιν ἀγαθὸς καὶ τῆς ἐν τῷ ἀνθρώπῳ κακίας ἀναίτιος· ὁ δ' ἄνθρωπος ἐξ ἑαυτοῦ ἐπισπᾶται ἑαυτῷ τὸ κακόν· «Τὸ κακὸν τῇ φύσει παρέπεται, ὥσπερ ὁ ἰὸς τῷ χαλκῷ, καὶ ὁ ῥύπος τῷ σώματι· ἀλλ' οὔτε τὸν ἰὸν ὁ χαλκουργὸς ἐποίησεν, οὔτε τὸν ῥύπον οἱ γεννήσαντες· οὕτως οὐδὲ τὴν κακίαν ὁ Θεὸς ἐποίησε· δέδωκε δὲ καὶ γνῶσιν καὶ διάκρισιν τῷ ἀνθρώπῳ, ἵνα φύγῃ τὸ κακὸν, ὡς εἰδὼς, ὅτι βλάπτεται παρ' αὐτοῦ καὶ κολάζεται». (Φιλοκαλ. τῶν ἱερῶν Πατέρων σελ. 22.).

[4]) Ἐθήκαμεν «συναπέβαλε» ἐκ τοῦ Κώδηκος Α., καὶ αὕτη δοκεῖ ἡ

μὴ κατακαίεσθαι ἁμαρτάνων, τούτῳ λέγει ἡ Γραφή· «Ἀποδήσει τις πῦρ ἐν κόλπῳ, τὰ δὲ ἱμάτια οὐ κατακαύσει»; καίει γὰρ ἡ ἁμαρτία τὰ νεῦρα τῆς ψυχῆς, καὶ συντρίβει τὰ νοητὰ τῆς διανοίας ὀστέα, καὶ σκοτοῖ τὸ φωτεινὸν τῆς καρδίας [1]).

§. Β΄. Ἀλλ' ἐρεῖ τις, τί ποτε ἄρα ἐστὶν ἡ ἁμαρτία; ζῶόν ἐστιν; ἄγγελός ἐστι; δαίμων ἐστί; Τί ἐστι τοῦτο τὸ ἐνεργοῦν; Οὐκ ἔστιν ἐχθρὸς ἔξωθεν, ἄνθρωπε, καταγωνιζόμενος [2])· ἀλλὰ βλάστημα κακόν, αὐτοπροαιρέτως [3]) αὐξάνον ἀπὸ σοῦ [4]). Ὀρθοῖς βλέπε τοῖς ὄμμασί

ὀρθὴ καὶ γνησία γραφὴ τοῦ κειμένου. Αἱ μέχρι τοῦ Μιλλεσίου ἐκδόσεις εἶχον «συναπέλαυε», ὁ δὲ Μιλλέσιος οἴκοθεν διορθώσας ἐξέδωκε «συναπέλαυνε». Ταύτην τὴν γραφὴν ἐτήρησε καὶ ὁ Τουτέος· ἀλλ' ὅτι ἀμφότεραι ἐκεῖναι αἱ γραφαὶ ἀκατάλληλοι, πρόδηλον.

[1]) Ἅπασαι αἱ λέξεις αὗται ἀπὸ τοῦ «καὶ συνετρίβη», μέχρι τέλους ἐτέθησαν καὶ ἐξεδόθησαν ἐκ τοῦ Ἀρχιεπισκοπικοῦ Κώδηκος, ἐλλείπουσαι ἐκ τῶν ἄχρι τοῦδε ἐκδόσεων. Τὰς λέξεις ταύτας, εἰ καὶ μικρὸν παραλλασσούσας, ἔχει καὶ ὁ Κοισλινιανὸς Κώδηξ οὕτω· «καὶ συντρίβει τὰ ὀςᾶ τῆς διανοίας, ἐπικαλύπτει τὸ φωτεινὸν τῆς ψυχῆς». Τὴν πρώτην μόνον ἐκ τῶν δύο προτάσεων ἔχουσι καὶ οἱ Κώδηκες Roe, Casaub. οὕτω· «καὶ συντρίβει τὰ νοήματα τῆς διανοίας».

[2]) Ἐν τῷ Κοισλινιανῷ Κώδηκι κεῖται καταλληλότερον «ἐπεισαγόμενος».

[3]) Τὴν λέξιν «αὐτοπροαιρέτως», ἐλλείπουσαν ἐκ τῶν ἐκδόσεων, ἐθήκαμεν ἐκ τοῦ Κώδ. Α. Ἔχουσι δὲ ταύτην καὶ οἱ Κώδ. Roe καὶ Casaub.

[4]) Κατὰ Μανιχαίων διηνεκῶς ἀνταγωνίζεται ὁ Πατὴρ, ῥιζόθεν ἀνασπῶν τὴν ἐν ἐκείνοις τοῖς χρόνοις πολλαχοῦ ἐπιπολάζουσαν καὶ τὴν Ἐκκλησίαν ταράττουσαν βλάσφημον αὐτῶν αἵρεσιν. Κυριωδέστατον δὲ δόγμα τῶν Μανιχαίων ἦν ἡ ἔξωθεν τοῦ ἀνθρώπου ὕπαρξις καὶ οὐσία καὶ ὑπόστασις τοῦ κακοῦ. Ἐλήρουν δηλονότι ὅτι τὸ κακόν ἐστιν αὐθύπαρκτον καὶ αὐθυπόστατον ὄν, οὐχὶ ἐκ τῆς προαιρέσεως αὐτεξουσίων ὄντων ἀναπηγάζον, ἀλλὰ πρὸ αἰώνων ἐν ἑαυτῷ ὑφιστάμενον, καὶ ἔξωθεν τοῖς ἀνθρώποις ἐπεισαγόμενον. Τὴν δυσσέβειαν ταύτην καταπολεμῶν καὶ ὁ οὐρανοφάντωρ Βασίλειος, λέγει· «Ὅλως δὲ μήτε Θεὸν αἴτιον ἡγοῦ τῆς ὑπάρξεως τοῦ κακοῦ, μήτε ἰδίαν ὑπόστασιν τοῦ κακοῦ εἶναι φαντάζου· οὐ γάρ ἐστιν ὑφεστὼς ὥσπερ τι ζῶον ἡ πονηρία, οὔτε οὐσίαν αὐτῆς ἐνυπόστατον παραστῆσαι ἔχομεν· στέρησις γὰρ ἀγαθοῦ ἐστι τὸ κακόν» (Τόμ. Β΄. σελ. 109). Ὅμοια τοῖς ὑπὸ τοῦ θείου Κυρίλλου ἀνωτέρω εἰρημένοις ἐκτίθησι καὶ ὁ ἱερὸς Ἐπιφάνιος (Τόμ. Α΄. σελ. 632)·

σου [1]), καὶ οὐκ ἔστιν ἐπιθυμία. Μὴ ἅρπαζε τὰ ἀλλότρια [2])· καὶ ἁρπαγὴ κεκοίμηται. Μνημόνευε τῆς κρίσεως· καὶ οὔτε πορνεία, οὔτε μοιχεία, οὔτε φόνος, οὐδέ τι τῶν παρανομημάτων [3]) ἰσχύσει παρὰ σοί. Ὅταν δὲ ἐπιλάθῃ τοῦ Θεοῦ, τότε λοιπὸν ἄρχῃ λογίζεσθαι πονηρὰ, καὶ συντελεῖν παράνομα [4]).

§. Γ΄. Οὐ μόνος δὲ σὺ καθέστηκας τοῦ πράγματος ἀρχηγὸς, ἀλλὰ καὶ ἄλλος τίς ἐστι κάκιστος ὑποβολεὺς, ὁ Διάβολος. Ὑποβάλλει μὲν οὖν ἐκεῖνος, οὐ μὴν ἐπικρατεῖ τῶν μὴ πειθομένων [5])· διὰ τοῦτο λέγει

«Πρῶτον διανοητέον ἐστὶν, ὁποῖόν ἐστι τὸ κακὸν, καὶ ἐν ποίῳ γίνεται τὸ κακὸν, καὶ εἴ ἐστιν ἐμπερίγραπτόν τι, ἢ σῶμα, ὡς εἰπεῖν, ἢ ὑπόστασιν ἔχει, ἢ καὶ ῥίζαν δύναται κεκτῆσθαι· καὶ ὅταν ταῦτα ἐν ἑαυτοῖς διασκοπήσωμεν, ἀνυπόστατον εὑρεθήσεται τὸ κακὸν, καὶ μηδεμίαν ῥίζαν ἔχον». Λέγει δὲ καὶ ὁ θεῖος Νύσσης (ἐν τῷ Κατηχητικῷ κεφ. έ.)· «Ἐμφύεταί πως τὸ κακὸν ἔνδοθεν, τῇ προαιρέσει τότε συνιστάμενον, ὅταν τις ἀπὸ τοῦ καλοῦ γένηται τῆς ψυχῆς ἀναχώρησις». Κατὰ τῆς πλάνης ταύτης πολλὰ ἔγραψαν καὶ ἐδίδαξαν καὶ ἄλλοι θεοῤῥήμονες τῆς Ἐκκλησίας διδάσκαλοι. Ὅρα Μ. Ἀθανάσιον Λόγ. κατὰ Ἑλλήν., Χρυσόσομον Ὁμιλ. Β΄. εἰς τὰς Πράξεις, Γρηγόριον Νύσσης ἐν Κατηχητικῷ κεφ. έ., Διονύσιον Ἀρεοπ. Περὶ θείων ὀνομάτων κεφ. δ΄., Μάξιμον παρὰ τῷ Φωτίῳ Βιβλιοθ. ΡϞΒ΄., Καισάριον ἐν τῷ Γ΄. Διαλόγῳ., Δαμασκηνὸν ἔκδ. τῆς Ὀρθοδ. πίσεως Δ΄., 21.

[1]) Κατὰ τοὺς Κώδ. Roe, Casaub. «σοῖς ὄμμασι». Εἴληπται δὲ ἡ φράσις ἐκ τῶν Παροιμ. Δ΄, 25· «Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν».

[2]) Οὕτως ἁπλῇ καὶ πρὸς τὸ κατωτέρω «ἁρπαγὴ» προσφυεστέρα κεῖται ἡ φράσις ἐν τρισὶ Κώδηξι, τῷ Ἀρχιεπ., Roe καὶ Casaub. Αἱ ἐκδόσεις ἔχουσι· «Κάτεχε τὰ σὰ, καὶ μὴ αἶρε τὰ ἀλλότρια».

[3]) Τὸ «οὐδέ τι τῶν παρανομημάτων» ἔθηκεν ἐν τῷ κειμένῳ ὁ Τ. ἐκ τῶν Κωδ. Roe καὶ Casaub., ἔχει δὲ τοῦτο καὶ ὁ Κώδ. Α.

[4]) Εἶπε καὶ ὁ ὅσιος Μάρκος· «πᾶς ἐπιλανθανόμενος τοῦ Θεοῦ, ἡδυπαθὴς καὶ ἀνάλγητος γίνεται» (ἐν τῇ Βιβλιοθ. τῶν Πατέρ. Τόμ. Ἀ. σελ. 898). Καθὼς δὲ ἡ λήθη τοῦ Θεοῦ τοὺς πονηροὺς ἀποτίκτει λογισμοὺς καὶ τὰ παράνομα ἔργα, οὕτως ἡ μνήμη τοῦ Θεοῦ ἀποτελεῖ τὴν ψυχὴν ναὸν τοῦ Θεοῦ, κατὰ τὸν Μ. Βασίλειον . . . . Ἑορτοδρόμ. σελ. 254. Περὶ τῆς μνήμης τοῦ Θεοῦ λέγει καὶ ὁ ὅσιος Μακάριος τὰ ἀξιάγασα ταῦτα (Ὁμιλ. ΜΓ΄.)· «Ὁ χριστιανὸς πάντοτε ὀφείλει τὴν μνήμην τοῦ Θεοῦ ἔχειν» κτλ.

[5]) Οὕτω γλαφυρωτέραν ἐξεδώκα-

ὁ Ἐκκλησιαστής· «Ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σὲ, τόπον σου μὴ ἀφῇς» [1]). Ἀπόκλεισον τὴν θύραν σου καὶ μάκρυνον ἀπὸ σοῦ, καὶ οὐ βλάψει σε [2]). Ἐὰν δὲ ἀδιαφόρως δέξῃ τὴν ἐνθύμησιν τῆς [3]) ἐπιθυμίας, διὰ τῶν λογισμῶν ῥίζας ἐν σοὶ καταβάλλεται, καὶ καταδεσμεῖ [4]) σου τὴν διάνοιαν, καὶ κατασπᾷ σε εἰς βόθρον κα-

μεν τὴν μικρὰν ταύτην περίοδον ἐκ τῶν τριῶν Κωδήκων Α., Roe καὶ Casaub. Ἐν ταῖς ἐκδόσεσι κεῖται οὕτως· «Ὑποβάλλει πᾶσιν ἐκεῖνος, ἀλλ' οὐκ ἐπικρατεῖ τῶν μὴ πειθομένων». —Τοῦτ' αὐτὸ λέγει ὁ Πατὴρ καὶ Κατήχ. Δ'. 21· «Ὁ Διάβολος τὸ μὲν ὑποβάλλειν δύναται, τὸ δὲ καὶ ἀναγκάσαι παρὰ προαίρεσιν, οὐκ ἔχει τὴν ἐξουσίαν. Ὑπογράφει σοι πορνείας λογισμόν· ἐὰν θέλῃς, ἐδέξω· ἐὰν δὲ μὴ θέλῃς, οὐκ ἐδέξω». Καὶ πάλιν §. 37· «Ὃς (Διάβολος) ἀναπεῖσαι μὲν δύναται τοὺς θέλοντας, ἀναγκάσαι δὲ οὐδένα». Ὅτι δὲ ὁ Διάβολος ὑποβάλλει μὲν τὰ πονηρὰ καὶ ἐξαπατᾷν πειρᾶται, οὐ βιάζεται δὲ τοὺς μὴ πειθομένους, κοινή ἐστι γνώμη τῆς Ἐκκλησίας. Εἶπε δὲ καὶ ὁ Ἀδελφόθ. Ἰάκωβος (Ἐπις. Καθολ. Δ'.7)· «Ἀντίστητε τῷ Διαβόλῳ». «Βία οὐ κρατεῖ (ὁ Διάβολος), οὐδὲ τυραννίδι, οὐδὲ ἀναγκάζων, οὐδὲ βιαζόμενος· ἐπεὶ εἰ τοῦτο ἦν, πάντας ἂν ἀπώλεσε» Χρυσόστ. (Τόμ. Β'. σελ. 307.) Βασίλειος Ὁμιλ. εἰς τὸ ἅγιον Βάπτισμα (Τόμ. Β'. σελ. 167.), Ἀθανάσιος κατὰ Ἀρειανῶν Λόγ. Α'. Λέγει δὲ καὶ ὁ ὅσιος Ἰσαὰκ ὁ Σύρος (σελ. 311)· «Οὐ δύναται ὁ Διάβολος προσεγγίσαι τῷ ἀνθρώπῳ, ἢ προσενέγκαι αὐτῷ πειρασμοὺς, εἰ μὴ ἀμελήσῃ, ἢ καὶ παραχωρήσῃ αὐτὸν ὁ Θεός».

[1]) Λέγει δὲ καὶ ὁ ἱερὸς Γρηγόριος ὁ Θεσσαλονίκης (ἐν τῇ Φιλοκαλίᾳ σελ. 959)· «Σεαυτοῦ τοίνυν πρόστηθι· σεαυτῷ ἐπίστηθι· σεαυτὸν ἐπίσκεψαι, μᾶλλον δὲ προΐστασο καὶ ἐπισκέπτου καὶ ἔταζε· καὶ γὰρ οὕτω τὴν σάρκα ἀφηνιάζουσαν ὑποτάξεις τῷ πνεύματι, καὶ ῥῆμα κρυπτὸν ἐν τῇ καρδίᾳ σου οὐ μήποτε γένηται. Ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος, τῶν πονηρῶν δηλαδὴ πνευμάτων καὶ παθημάτων, ἀναβῇ ἐπὶ σὲ, φησὶν ὁ Ἐκκλησιαστὴς, τόπον σου μὴ ἀφῇς· τουτέστι μὴ ψυχῆς μέρος, μὴ μέλος σώματος ἀνεπίσκοπον ἐάσῃς».

[2]) Οὕτω κεῖνται αἱ φράσεις αὗται ἐν τοῖς ἐκδεδομένοις· ἐν δὲ τοῖς τρισὶ Κώδηξιν Α., Roe καὶ Casaub. ἔχουσιν οὕτω· «Ἐὰν ἀποκλείσῃς τὴν θύραν, μακράν σου τυγχάνων οὐ βλάψει σε». Γέγραπται δὲ καὶ ἐν τῇ Φιλοκαλίᾳ τῶν ἱερῶν Πατέρων (σελ. 14)· «Ὁ θεοφιλὴς νοῦς, πυλωρὸς νηφάλιος ὑπάρχων, ἀποκλείει τὰς εἰσόδους τῶν κακῶν καὶ αἰσχρῶν ἐνθυμήσεων».

[3]) Τὸ ἄρθρον «τῆς» προσεθήκαμεν ἐκ τῶν Κωδήκων Α., Roe, Casaub.

[4]) «Καταδεσμεύει» ἐν τοῖς Κώδ. Roe καὶ Casaub.

χῶν [1]). Ἀλλ' ἴσως λέγεις, πιστός εἰμι, καὶ οὐ περιγίνεταί μου ἐπιθυμία, κἂν ἐνθυμηθῶ [2]) πυκνότερον. Ἀγνοεῖς ὅτι καὶ πέτραν ἔῤῥηξε ῥίζα παραμένουσα πολλάκις; Μὴ δέξῃ τὸν σπόρον, ἐπεὶ διαῤῥήξει σου τὴν πίστιν· πρὶν ἢ ἀνθήσῃ, πρόῤῥιζον ἔξελε τὸ κακόν [3]). Μὴ ῥαθυ-

[1]) Ὅθεν εἶπε καί τις τῶν Νηπτικῶν (ἐν τῇ Φιλοκαλ. τῶν ἱερ. Πατέρων σελ. 28.)· «Ἡ ἐκ τῆς ἐνθυμήσεως ἐπιθυμία ῥίζα ἐστὶ τῶν παθῶν τῶν συγγενῶν τοῦ σκότους· καὶ ἡ ψυχὴ οὖσα ἐν τῇ ἐνθυμήσει τῆς ἐπιθυμίας ἀγνοεῖ ἑαυτὴν, ὅτι Θεοῦ ἐμφύσημά ἐστι, καὶ οὕτω φέρεται ἐπὶ τὸ ἁμάρτημα». Ὅσον δὲ μᾶλλον χρονίζει ὁ κακὸς λογισμὸς ἐν τῷ νῷ, τοσοῦτον ταχύτερον κατασπᾷ αὐτὸν εἰς ἀπώλειαν· διὰ τοῦτο εἶπε καὶ ὁ ὅσιος Εὐάγριος· «Πάντες οἱ ἀκάθαρτοι λογισμοὶ διὰ τὰ πάθη χρονίζοντες ἐν ἡμῖν, κατάγουσι τὸν νοῦν εἰς ὄλεθρον καὶ ἀπώλειαν» (Φιλοκαλ. τῶν ἱερ. Πατέρων σελ. 56.).

[2]) Ἀντὶ «ἐνθυμηθῶ» οἱ Κώδ. Α., Roe, Casaub, Ottob. ἔχουσιν «ἐπιθυμήσω».

[3]) Παραπλήσια συμβουλεύει καὶ ὁ ἱερὸς Χρυσοῤῥήμων· «Διὸ χρὴ τὰς ἀρχὰς ἀνακρούεσθαι· μάλιστα μὲν γὰρ, εἰ καὶ ἐφ' ἑαυτῶν τὰ πρῶτα ἁμαρτήματα εἱστήκει, οὐδὲ οὕτω καταφρονεῖν ἐχρῆν τῶν πρώτων πλημμελημάτων· νυνὶ δὲ ἐπὶ μείζονα ἄνεισιν, ὅταν ἀμελῇ ἡ διάνοια· διὸ χρὴ πάντα ποιεῖν, ὥστε τὰς ἀρχὰς αὐτῶν ἀναιρεῖν· μὴ γὰρ δὴ πρὸς τὴν φύσιν ἴδῃς τοῦ ἁμαρτήματος, ὅτι μικρὰ, ἀλλ' ὅτι μεγάλου γίνεται ῥίζα ἀμελουμένη» (Ὁμιλ. ΠΣΤ'. εἰς Ματθ.). Οὐ δυνάμεθα σιγῇ παραδραμεῖν καὶ μὴ παραθεῖναι ἐνταῦθα τὰ ἀξιάγαστα ἐκεῖνα τοῦ ἁγίου Δωροθέου, τὰ ἐν τῇ Γ'. Διδασκαλίᾳ ἐκτεθειμένα· «Σπουδάσωμεν, ἀδελφοὶ, φυλάττειν τὴν συνείδησιν ἡμῶν, ἐν ὅσῳ ἐσμὲν ἐν τῷ κόσμῳ τούτῳ, μὴ ἀφιέντες αὐτὴν ἐλέγξαι ἡμᾶς ἔν τινι πράγματι, μὴ καταπατοῦντες αὐτὴν εἰς τίποτε ὅλως, κἂν ἐλάχιστον ᾖ· ἵνα εἰδῆτε ὅτι ἐκ τῶν μικρῶν τούτων καὶ φύσει εὐτελῶν ἐρχόμεθα εἰς τὸ καταφρονεῖν τῶν μεγάλων. Ὅταν γὰρ ἄρξηταί τις λέγειν, τί γάρ ἐστιν, ἐὰν λαλήσω τοῦτον τὸν λόγον· τί γάρ ἐστιν, ἐὰν φάγω τοῦτο τὸ μικρόν· τί γάρ ἐστιν, ἐὰν προσέχω τῷδε τῷ πράγματι· ἐκ τοῦ τί ἐστι τοῦτο καὶ τί ἐστιν ἐκεῖνο, λαμβάνει τις κακὴν καὶ πικρὰν νομὴν, καὶ ἄρχεται καὶ εἰς τὰ μεγάλα καὶ βαρύτερα καταφρονεῖν καὶ καταπατεῖν τὴν ἰδίαν συνείδησιν· καὶ οὕτω λοιπὸν κατὰ μέρος προκόπτων, κινδυνεύει καὶ εἰς τελείαν ἀναισθησίαν ἐμπεσεῖν. Διὰ τοῦτο βλέπετε, ἀδελφοὶ, μὴ καταφρονήσωμεν αὐτῶν τῶν μηδαμινῶν· οὐκ εἰσὶ μικρά· νομή ἐστι, κακὴ συνήθειά ἐστι· νήψωμεν, φροντίσωμεν τῶν ἐλαχί-

μήσας ἐξ ἀρχῆς, πέλυκας ὕστερον καὶ πῦρ πολυπραγμονήσῃς [1]). Ἀρχόμενος ὀφθαλμιᾷν, θεραπεύου [2]) κατὰ καιρὸν, ἵνα μὴ τυφλωθεὶς, τότε ζητήσῃς τὸν ἰατρόν.

§. Δ΄. Ἀρχηγὸς μὲν οὖν ἁμαρτίας ὁ Διάβολος, καὶ γεννήτωρ τῶν κακῶν [3])· τοῦτο δὲ ὁ Κύριος εἴρηκεν, οὐκ ἐγώ· «ὅτι ἀπ' ἀρχῆς ὁ Διάβολος ἁμαρτάνει»· πρὸ αὐτοῦ γὰρ [4]) ἥμαρτεν οὐδείς. Ἥμαρτε δὲ, οὐκ ἐκ φύσεως ἐπάναγκες τὸ ἁμαρτητικὸν λαβὼν [5]) (ἐπεὶ πάλιν ἀνα-

---

στων, ἐν ὅσῳ εἰσὶν ἐλαφρὰ, ἵνα μὴ γένωνται βαρέα». Λέγει δὲ καὶ ἄλλος ἱερὸς συγγραφεύς· «Χρὴ οὖν τὴν πρώτην προσβολὴν ἀεὶ ἀνατρέπειν καὶ ἐξολοθρεύειν τοὺς ἁμαρτωλοὺς λογισμοὺς ἐκ τῆς γῆς, ἥτις ἐστὶν ἡ καρδία ἡμῶν, κατὰ τὸν λόγον τοῦ Κυρίου· καὶ ὡς ἔτι εἰσὶ νήπιοι υἱοὶ Βαβυλῶνος, τουτέστιν οἱ πονηροὶ λογισμοὶ, ἐδαφίζειν τούτους καὶ συντρίβειν πρὸς τὴν πέτραν, ἥτις ἐστὶν ὁ Χριστός» Ἀντιόχου μοναχοῦ Ὁμιλ. ΠΑ΄.

[1]) Ὀρθῶς παρετήρησεν ὁ Κασωβὼν ὅτι ἐν τῷ χωρίῳ τούτῳ ἀπέβλεψεν ὁ Πατὴρ εἰς τὸ τοῦ Ἱερεμίου ΚΓ΄, 29· «Οἱ λόγοι μου, ὥσπερ πῦρ, λέγει Κύριος, καὶ ὡς πέλυξ κόπτων πέτραν».

[2]) Ἐν τοῖς Κώδ. Α., Roe, «ἰατρεύου».

[3]) «Κακίας εὑρετὴν» λέγει τὸν Διάβολον καὶ ὁ Μ. Ἀθανάσιος (Τόμ. Α΄. σελ. 112)· «ἁμαρτίας εὑρετὴν», καὶ «ἀρχὴν ἁμαρτίας», καὶ «ἀνομίας εὑρετὴν» ὀνομάζει αὐτὸν καὶ ὁ Κύριλλος Ἀλεξ. (εἰς Ἰωάν. σελ. 854. Βιβλ. Α΄. κατὰ Νεστορίου καὶ Λόγ. Ἑορταστ. 16 καὶ 17.)· «πατέρα τοῦ ψεύδους καὶ εὑρετὴν κακίας» ἀποκαλεῖ αὐτὸν καὶ ὁ Γρηγόριος Νύσσης (Τόμ. Α΄. σελ. 363 καὶ Τόμ. Β΄. σελ. 539.).

[4]) Τὸν «γὰρ» ἐθήκαμεν ἐκ τῶν Κωδήκων Α., Roe., Casaub.

[5]) Τὸν Διάβολον φύσει κακὸν ἔλεγον πολλοὶ παραπλῆγες αἱρετικοὶ, οἷον οἱ Μαρκιωνῖται, οὓς ἐξεπόμπευσεν ὁ Τερτυλλιανὸς (adversus Marcionem, lib. II. cap. 10.), οἱ Μανιχαῖοι, οὓς ἐξήλεγξεν ὁ Ἐπιφάνιος (Αἱρ. ΞΣΤ΄. §. 16), οἱ Πρισκιλλιανισταὶ, ὧν τὴν ἄνοιαν ἐστηλίτευσεν ὁ ἁγιώτατος πάπας Λέων (Epist. XCI. ad Turbium Asturicens. episcop.). Ἔλεγον δὲ οἱ Πρισκιλλιανισταὶ «quod diabolus nunquam fuerit bonus, nec natura ejus opificium Dei sit, sed eum ex chao et tenebris emersisse, scilicet, qui nullum sui habeat autorem, sed omnis mali ipse sit principium atque substantia» (corp. haeresol. σελ. 384.). Ἡ πεπλανημένη αὕτη δόξα εὑρίσκεται καὶ ἐν τοῖς συγγράμμασι τοῦ Λακταντίου, εἴτε ὑπ' αὐτοῦ προενεχθεῖσα, εἴτε παρ' ἄλλων εἰσφρή-

τρέχει ἡ τῆς ἁμαρτίας πρόφασις εἰς τὸν οὕτω κατασκευάσαντα), ἀλλ' ἀγαθὸς κατασκευασθεὶς, Διάβολος γέγονεν ἐξ οἰκείας προαιρέσεως, ἐκ τῆς πράξεως λαβὼν τὴν προσηγορίαν· Ἀρχάγγελος γὰρ ὤν, Διάβολος ὕστερον ἐκλήθη ἀπὸ τοῦ διαβάλλειν [1]), καὶ ἀγαθὸς ὢν ὑπηρέτης Θεοῦ, γέγονε Σατανᾶς φερωνύμως· ὁ γὰρ Σατανᾶς ἀντικείμενος ἑρμηνεύεται [2]). Ἔστι δὲ οὐκ ἐμὰ ταῦτα τὰ διδάγματα, ἀλλ'

σασα (institut divin. lib. II. 8.). Τὴν αἱρετικὴν ταύτην κακοφροσύνην ἐξελέγχουσι καὶ πλεῖστοι ἄλλοι Πατέρες, διδάσκοντες ὅτι οὐκ ἐκ φύσεως, ἀλλ' ἐκ προαιρέσεως κακὸς ὁ Διάβολος· οὕτως ὁ Μ. Βασίλειος (Ὁμιλ. ὅτι οὐκ ἔστιν αἴτ. τῶν κακῶν ὁ Θεός)· «Πονηρὸς ὁ Διάβολος, ἐκ προαιρέσεως ἔχων τὴν πονηρίαν, οὐ φύσις ἀντικειμένη τῷ ἀγαθῷ»· ὁ Χρυσόστομος (Ὁμιλ. ΙΘ'. εἰς Ματθ.)· «Πονηρὸν δὲ ἐνταῦθα τὸν Διάβολον καλεῖ, δεικνὺς ὅτι οὐ φύσει τοιοῦτός ἐστιν· οὐ γὰρ τῶν ἐκ φύσεως, ἀλλὰ τῶν ἐκ προαιρέσεως ἐπιγενομένων ἐστὶν ἡ πονηρία»· ὁ Θεοδώρητος (Αἱρετ. κακομ. βιβλ. Ε.)· «ἀγαθὸς δημιουργηθεὶς ὁ Διάβολος, ἑκὼν εἰς πονηρίαν ἀπέκλινεν». Βλ. καὶ Κύριλλον Ἀλεξ. (εἰς Ἰωάν. ΣΤ'.), Δαμασκηνὸν (ἔκδ. Ὀρθ. Β'. 4.), Ἀμβρόσιον (in Lucam lib. IV. cap. 4.), Αὐγουστῖνον (de Genesi ad litteram lib. XI. cap. 21. de civit. Dei lib. V. cap. 9.).

[1]) Οὕτω καὶ ὁ Χρυσόστομος ἐν τῷ Γ'. Διαλόγῳ Ἀποκρ. 123. (Τόμ. Β'. σελ. 309.)· «Διάβολος γὰρ ἀπὸ τοῦ διαβάλλειν εἴρηται· διέβαλε γὰρ τὸν ἄνθρωπον πρὸς τὸν Θεόν· διέβαλε πάλιν τὸν Θεὸν πρὸς τὸν ἄνθρωπον». Φησὶ δὲ καὶ ὁ ἱερὸς Ἰουστῖνος ἐν τῷ Παραινετικῷ §. 28· «Διάβολον αἱ θεῖαι Γραφαὶ καλοῦσιν ἀπὸ τῆς πρώτης αὐτοῦ πρὸς τὸν ἄνθρωπον διαβολῆς ταύτης τῆς προσηγορίας τυχόντα». Ὅρ. καὶ Μ. Βασίλ. (Ἐπιστ. Ζ'.), καὶ Θεοφύλακτον εἰς τὸ δ'. κεφ. τοῦ Ματθαίου, καὶ Ἀνδρέαν εἰς τὸ ιβ'. κεφ. τῆς Ἀποκαλύψεως. Ὅτι δὲ ὁ πρῶτος τῶν πεπτωκότων δαιμόνων ἦν πρότερον Ἀρχάγγελος, τοῦτο ἐπαναλαμβάνει ὁ Πατὴρ καὶ ἐν τῇ Η'· Κατηχήσει §. 4. Ἀρχάγγελον ὀνομάζει τὸν Διάβολον πρὸ τῆς πτώσεως καὶ ὁ θεῖος Γρηγόρ. Νύσσης (Τόμ. Β'. σελ. 39.)· Ἀρχάγγελον ἀποκαλεῖ τοῦτον καὶ ὁ Καισάριος ἐν τῷ Γ'. Διαλόγῳ, καὶ ὁ Τερτυλλιανὸς (contra Marcionem lib. 5.). Ἐπίσημον ἐν ἀγγέλοις εἶπεν αὐτὸν ὁ Κύριλλος Ἀλεξ. (εἰς Ἡσαΐαν Β'.), καθὰ καὶ «ἄγγελοι ἀριστεροὶ» (Μακάρ. Ὁμιλ. ΚΒ'.), «ἄγγελοι φαῦλοι» (Ἰουστ. Ἀπολογ. Β'.), «ἄγγελοι ἀπόβλητοι» (Οἰκουμέν. Α'. Τιμοθ. Ε'.) καλοῦνται καὶ οἱ δαίμονες.

[2]) Ὅτι δὲ ἡ ἑβραϊκὴ λέξις Σατὰν

Ἰεζεκιὴλ τοῦ πνευματοφόρου προφήτου· ἐκεῖνος γὰρ λαβὼν θρῆνον ἐπ' αὐτὸν λέγει· «Σὺ ἀποσφράγισμα ὁμοιότητος [1]), καὶ στέφανος κάλλους ἐν τῷ παραδείσῳ τοῦ Θεοῦ ἐγεννήθης». Καὶ μετ' ὀλίγα· «Ἐγεννήθης [2]) ἄμωμος ἐν ταῖς ἡμέραις σου, ἀφ' ἧς ἡμέρας σὺ ἐκτίσθης, ἕως οὗ εὑρέθη τὰ ἀδικήματα ἐν σοί». Πάνυ καλῶς τό, εὑρέθη ἐν σοί· οὐ γὰρ ἔξωθεν ἐπεισηνέχθη, ἀλλ' αὐτὸς ἐγέννησας τὸ κακόν· καὶ τὴν αἰτίαν ἑξῆς εἴρηκεν [3])· «Ὑψώθη ἡ καρδία σου ἐπὶ τῷ κάλλει σου· διὰ τὸ

σημαίνει τὸν ἀντικείμενον, γίνεται φανερὸν ἐκ τοῦ Γ'. Βασιλ. ιά, 14. «Καὶ ἤγειρε Κύριος σατὰν τῷ Σαλομὼν τὸν Ἄδερ τὸν Ἰδουμαῖον» κτλ. καὶ εὐθὺς κατωτέρω· «Καὶ ἦσαν σατὰν τῷ Ἰσραὴλ πάσας τὰς ἡμέρας Σαλομών». Φησὶ δὲ καὶ Ὠριγένης· «Ὁ δὲ Ἑβραίων διαλέκτῳ Σατάν, καὶ ἑλληνικώτερον ὑπό τινων ὀνομασθεὶς Σατανᾶς, μεταλαμβανόμενος εἰς ἑλλάδα φωνήν, ἐστὶν ἀντικείμενος» (κατὰ Κέλσου Βιβλ. Β'.). Ὅρα καὶ Θεοδώρητον (Ἐρωτ. ΜΕ'. εἰς τὴν Β'. Βασιλ.), Μ. Βασίλειον (Τόμ. Β'. σελ. 114.), Οἰκουμένιον (εἰς τὴν Β'. Κορινθ.), Κύριλλον Ἀλεξανδρ. (εἰς Ἰωάννην 6.), Tertullian. (adv. Marcionem lib. II, cap. 10.), Augustin. (de civit. Dei V, 9.), Δαμασκηνὸν (ἔκθεσ. Ὀρθοδ. πίστεως δ'., 21.) καὶ Καισάριον ιβ'. Διατὶ δὲ λέγεται ἀντικείμενος, γράφει ὁ ἐν ἁγίοις Δωρόθεος ἐν τῇ Β'. Διδασκαλίᾳ. «Ἀντικείμενος δὲ λέγεται, ἐπειδὴ εἰς πᾶν πρᾶγμα καλὸν ἐπιχειρεῖ ἐμποδίσαι· θέλει τις εὔξασθαι, ἐκεῖνος ἀντίκειται ἐμποδίζων διὰ κακῶν ἐνθυμήσεων, δι' αἰχμαλωσίας, δι' ἀκηδίας· θέλει τις ἐλεῆσαι, ἐκεῖνος ἐμποδίζει διὰ φιλαργυρίας· θέλει τις ἀγρυπνῆσαι, ἐκεῖνος ἐμποδίζει δι' ὀκνηρίας, διὰ ῥαθυμίας, καὶ εἰς ἕκαστον πρᾶγμα οὗτος ἐναντιοῦται ἡμῖν, εἰς ὃ ἐπιβαλλόμεθα καλόν· διὰ τοῦτο λέγεται οὐ μόνον ἐχθρός, ἀλλὰ καὶ ἀντικείμενος». — Οὕτως ἐγράψαμεν τὴν φράσιν ἐκ τοῦ Ἀρχιεπισκοπικοῦ Κώδηκος· ὁ δὲ Τ. ἔθηκεν· «ὁ γὰρ Σατανᾶς εἰς τὸν ἀντικείμενον ἑρμηνεύεται»· ὁ δὲ Μ. «ὁ γὰρ Σατανᾶς τὸν Διάβολον ἑρμηνεύει».

[1]) Ἐν τῷ ἱερῷ τῆς Γραφῆς κειμένῳ κεῖται «ὁμοιώσεως», ὡς ἔχουσι καὶ οἱ Κώδ. Α., Roe καὶ Casaub.

[2]) Ἀντὶ «ἐγεννήθης» ἐνταῦθα καὶ ἀνωτέρω, ἅπασαι αἱ ἐκδόσεις τῆς ἁγίας Γραφῆς ἔχουσιν «ἐγενήθης», ὅπερ καὶ καταλληλότερον· ἀλλ' ὁ Κύριλλος, ὡς παρατηρεῖ καὶ ὁ Τουτέος, οὐκ ἔστιν ἀκριβὴς ἐν τῇ διαστολῇ τῶν ῥημάτων, «γεννῶμαι» καὶ «γίνομαι».

[3]) Ὁ ἱερὸς Κύριλλος, μετὰ πολλῶν καὶ ἄλλων Πατέρων, ἀποδέχεται ὡς αἰτίαν τῆς πτώσεως τοῦ Διαβόλου τὴν ἔπαρσιν καὶ ὑπερηφάνειαν· «Ὁ γὰρ Σατανᾶς, λέγει καὶ ὁ Μ. Ἀθανάσιος, οὐχ ἕνεκεν πορνείας ἢ μοιχείας ἢ κλοπῆς κατηνέχθη ἐκ τῶν

πλῆθος τῶν ἁμαρτιῶν σου ἐπὶ τὴν γῆν ἔῤῥιψά σε» [1]). Ὁ Κύριος τούτῳ συμφώνως πάλιν ἐν Εὐαγγελίοις λέγει· «Ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα». Βλέπεις Παλαιᾶς Διαθήκης πρὸς Καινὴν συμφωνίαν. Οὗτος ἐκπεσὼν συναπέστησε πολλούς. Οὗτος εἰσβάλλει τὰς ἐπιθυμίας τοῖς πειθομένοις [2]). Ἐκ τούτου μοιχεία, πορ-

---

οὐρανῶν, ἀλλ' ἡ ὑπερηφανία αὐτὸν κατέβαλεν εἰς τὰ κατώτερα μέρη τῆς ἀβύσσου» (Τόμ. Α΄. σελ. 824.). Λέγει δὲ καὶ Γρηγόριος ὁ Θεολόγος (Λόγ. ΛΗ΄.)· «Ὁ διὰ τὴν λαμπρότητα Ἑωσφόρος, σκότος διὰ τὴν ἔπαρσιν καὶ γενόμενος καὶ λεγόμενος». Τὴν αὐτὴν ἔχουσι γνώμην καὶ Χρυσόστ. (Ὁμιλ. ΚΒ΄. εἰς τὴν Γένεσιν), καὶ Κύριλλος Ἀλεξανδρείας (εἰς τὸν Ἡσαΐαν Τόμ. Β΄. σελ. 235.), καὶ Γρηγόριος Νύσ. (εἰς τοὺς Μακαρισμοὺς Λόγ. Α΄.), καὶ Θεοδώρητος (ἐν τῇ ἐπιτομῇ τῶν θείων Δογμάτων κεφ. 8.), καὶ Δαμασκηνὸς (ἔκδ. Ὀρθοδ. πίστεως β΄, 4.), καὶ Ἱερώνυμος (in cap. XVI. Ezechielis), καὶ Αὐγουστῖνος (ad Genes. cap. XIV.). Ἀποδοκιμάζεται λοιπὸν ὡς ἄτοπος ἡ δόξα παλαιῶν τινων ἐκκλ. συγγραφέων, οἵτινες ἐσφαλμένως παρερμηνεύσαντες χωρίον τι τῆς ἁγίας Γραφῆς (Γεν. ϛ΄, 2.), ὑπέλαβον ὅτι τὸ ἁμάρτημα τῶν πεπτωκότων Ἀγγέλων ἦν ἡ πορνεία. Ταύτην τὴν δόξαν ἐκφέρουσιν Ἰουστῖνος (ἐν τῷ Α΄. Ἀπολογητικῷ), Ἀθηναγόρας (ἐν τῇ Πρεσβείᾳ περὶ Χριστιανῶν), Κλήμ. Ἀλεξανδρ. (ἐν τῷ Παιδαγ. Β΄. 2. καὶ ἐν τῷ Γ΄. Στρωμ.), Τερτυλλιανὸς (de idololatria cap. 9.), Λακτάντιος (Lib. II. cap. 15). Περίεργόν τι περὶ τῆς δόξης ταύτης ἱστορεῖ ὁ Ἱλάριος (in Psalm. 132).

[1]) Οὕτως ἔχουσιν αἱ λέξεις τοῦ ἱεροῦ κειμένου ἐν τοῖς τρισὶ Κώδηξιν Α., Roe καὶ Casaub., καὶ ἐν τῇ ἁγίᾳ Γραφῇ· ἐν δὲ τοῖς ἐκδεδομένοις μετὰ τὸ «τῶν ἁμαρτιῶν σου» παρεντίθενται τὰ ἑξῆς· «καὶ διὰ τὰς ἁμαρτίας σου ἐτραυματίσθης, καί».

[2]) Ὁ τοῦ ἀνθρωπίνου γένους ἐχθρὸς Διάβολος ἐφέστηκε διηνεκῶς πειράζων καὶ πονηρὰς ἐπιθυμίας ἐμβάλλων, καὶ πολυειδῶς δελεάζων καὶ εἰς τὸ κακὸν ὠθῶν. Αὕτη δὲ ἡ ἐπὶ τῶν ἀνθρώπων ἀφανὴς ἐνέργεια τοῦ Διαβόλου ὑπάρχει βεβαιοτάτη καὶ ἀναντίῤῥητος καὶ ὑπ' αὐτῆς τῆς ἁγίας Γραφῆς μεμαρτυρημένη. Βλ. Πράξ. Ε΄, 3. Ἐφεσ. Δ΄, 27. Α΄. Θεσσαλ. γ΄, 5. Α΄. Κορινθ. ζ΄, 5. Β΄. Κορινθ. β΄, 11. Β΄. Τιμ. β΄, 26. Α΄. Πέτρ. έ, 8. Τὰς ποικίλας ταύτας ἐνεργείας καὶ μεθοδείας τοῦ πονηροῦ, τὰς πρὸς ὄλεθρον τῶν ἡμετέρων ψυχῶν ἐνεργουμένας, πανταχοῦ ἐκτιθέασι καὶ διδάσκουσιν ὅτε ἡμέτερος Κύριλλος καὶ πάντες οἱ ἱεροὶ Πατέρες, προφυλάττοντες ἡμᾶς ἀπὸ τῆς πανουργίας καὶ τῶν μηχανημάτων τοῦ ἀνθρωποκτόνου ἐκείνου ἐχθροῦ. Ἡμεῖς εἰς ἓν μόνον περὶ τούτου χωρίον

νεία καὶ πᾶν εἴ τι κακόν. Διὰ τοῦτον ὁ προπάτωρ ἡμῶν Ἀδὰμ ἐξεβλήθη, καὶ ἀντὶ παραδείσου θαυμασίου, αὐτομάτως φέροντος καρπούς [1]), τὴν ἀκανθοφόρον ἀντικατηλλάξατο γῆν.

§. Ε΄. Τί οὖν, ἐρεῖ τις, ἀπολώλαμεν ἀπατηθέντες; ἆρ᾽ οὐκ ἔστι λοιπὸν [2]) σωτηρία; Πεπτώκαμεν· ἆρ᾽ οὐκ ἔστιν ἀναστῆναι; ἐτυφλώθημεν· ἆρ᾽ οὐκ ἔστιν ἀναβλέψαι; χωλοὶ γεγόναμεν· ἆρ᾽ οὐκ ἔστιν ὀρθοποδῆσαι; ἵνα δὲ συντόμως εἴπωμεν, ἀπεθάνομεν· ἆρ᾽ οὐκ ἔστιν ἀναστῆναι; Ὁ τὸν Λάζαρον [3]) τὸν τετραήμερον ἐγείρας, ἄνθρωπε, τὸν ὀδωδότα, ἆρα τὸν ζῶντά σε μᾶλλον οὐκ εὐκοπώτερον ἀναστήσει; Ὁ τὸ τίμιον αἷμα ὑπὲρ ἡμῶν ἐκχέας [4]), αὐτὸς ἡμᾶς ῥύσεται τῆς ἁμαρτίας. Μὴ ἀπογνῶμεν ἑαυτούς, ἀδελφοί· μὴ ἀποῤῥίψωμεν ἑαυτοὺς εἰς ἀνέλπιστον κατάστασιν· δεινὸν γάρ ἐστι τὸ μὴ πιστεύειν εἰς μετανοίας ἐλπίδα· ὁ μὴ προσδοκῶν γὰρ τὴν σωτηρίαν, ἀφειδῶς προστίθησι τὰ κακὰ [5])· ὁ δὲ τὴν ἰατρείαν ἐλπίσας, εὐμα-

---

τοῦ Μ. Βασιλείου παραπέμπομεν ἐνταῦθα (ὅρ. Τόμ. Γ΄. σελ. 732).

[1]) Οὕτω κεῖνται αἱ λέξεις ἐν τῷ Κώδ. Α. Αἱ ἐκδόσεις ἔχουσιν· «ἀντὶ παραδείσου αὐτομάτως θαυμασίους φέροντος καρπούς».

[2]) Τὸ «λοιπὸν» ἐλλείπει ἐκ τῶν Κωδήκων Roe καὶ Casaub., ἔχουσιν ὅμως αὐτὸ ἅπασαι αἱ ἐκδόσεις καὶ ὁ Κώδ. Α.

[3]) Ἐν ταῖς ἄχρι τοῦδε ἐκδόσεσι κεῖται «ἆρ᾽ ὁ τὸν Λάζαρον»· ἀλλὰ ὁ «ἆρα» ἐνταῦθά ἐστιν ὅλως περιττός, διότι κεῖται κατωτέρω ἐν τῇ αὐτῇ προτάσει· ἐλλείπει δὲ καὶ ἐκ τῶν Κωδήκων Α., Roe καὶ Casaub. Πρόσθες ὅτι ἐμφαντικώτερος ἀποβαίνει ὁ λόγος χωρὶς τοῦ «ἆρα» ἐν τῇ ἀρχῇ.

[4]) Ἀντὶ τοῦ «ὑπὲρ ἡμῶν ἐκχέας», οἱ τρεῖς Κώδ. Α., Roe καὶ Casaub. ἔχουσι «δοὺς ὑπὲρ ἡμῶν».

[5]) Τὴν ἐκ τῆς ἀπογνώσεως πώρωσιν τοῦ ἁμαρτωλοῦ καὶ τὰ ἐκ ταύτης δεινὰ εὐγλώττως παρίστησι καὶ ὁ θεῖος Χρυσόστομος· «Ψυχὴ γάρ, ἐπειδὰν ἅπαξ ἀπαγορεύσῃ τὴν σωτηρίαν τὴν ἑαυτῆς, οὐδὲ αἰσθήσεται λοιπὸν ὅπως κατακρημνίζεται, πάντα αἱρουμένη καὶ λέγειν καὶ ποιεῖν τὰ κατὰ τῆς σωτηρίας τῆς ἑαυτῆς. Καὶ καθάπερ οἱ μαινόμενοι, ἐπειδὰν ἅπαξ τῆς ὑγιοῦς ἐκπέσωσι καταστάσεως, οὐδὲν δεδοίκασιν, οὐδὲ αἰσχύνονται, ἀλλ᾽ ἀδεῶς ἅπαντα τολμῶσι, κἂν εἰς πῦρ μέλλωσιν ἐμπίπτειν, κἂν εἰς πέλαγος, κἂν εἰς κρημνόν· οὕτω καὶ οἱ τῆς ἀπογνώσεως παραφροσύνῃ

ρῶς [1]) τὸ λοιπὸν ἑαυτοῦ φείδεται· ὁ γὰρ λῃστής, ὁ μὴ δωρεὰν προσδοκῶν, εἰς ἀπόνοιαν αὔξει [2])· ἐλπίσας δὲ τὴν ἄφεσιν, εἰς μετάνοιαν χωρεῖ πολλάκις. Εἶτα ὄφις μὲν ἀποτίθεται τὸ γῆρας [3]), ἡμεῖς δὲ οὐκ ἀποθησόμεθα τὴν ἁμαρτίαν; καὶ ἀκανθώδης γῆ, γεωργηθεῖσα καλῶς, εἰς καρποφόρον μετεβλήθη· ἡμῖν δὲ ἀδιόρθωτος ἡ σωτηρία; Ἡ μὲν οὖν φύσις ἐπιδέχεται τὴν σωτηρίαν, ζητεῖται δὲ λοιπὸν ἡ προαίρεσις.

§. Ϛ΄. Φιλάνθρωπος ὁ Θεός, καὶ φιλάνθρωπος οὐκ ὀλίγον· μὴ

ληφθέντες ἀφόρητοι λοιπόν εἰσι, πανταχοῦ τῆς κακίας διατρέχοντες, κἂν μὴ θάνατος αὐτοῖς ἐπελθὼν κωλύσῃ τῆς μανίας ἐκείνης καὶ τῆς φορᾶς, μυρία ἑαυτοῖς ἐργάζονται δεινά» (Τόμ. Α΄. σελ. 33.).

[1]) Ἐλλείπει τὸ «εὐμαρῶς» ἐκ τῶν Κωδήκων Α., Roe καὶ Casaub.

[2]) Ἀντὶ τοῦ «αὔξει» παρὰ τῷ Casaub. κεῖται «ἔρχεται». Ἐν δὲ τῷ Κώδ. Α., Ἐπισκοπ. καὶ Roe «χωρεῖ»· ἀντὶ δὲ τοῦ κατωτέρω «χωρεῖ», οἱ Κώδ. Α., Roe ἔχουσιν «ἔρχεται».

[3]) Δίς, ἐνταῦθά τε καὶ ἐν τῇ τρίτῃ Κατηχήσει (§. 7.), ἐχρήσατο τῷ παραδείγματι τούτῳ τοῦ ὄφεως ὁ θεσπέσιος Κύριλλος, εἰς μετάνοιαν προτρέπων. Αὐτὸ τοῦτο τὸ παράδειγμα τοῦ τὴν λεβηρίδα ἐν στενῷ ἀποδυομένου ὄφεως προτίθησι καὶ ὁ Μ. Βασίλειος, τὴν ἀπόδυσιν τοῦ παλαιοῦ ἀνθρώπου διδάσκων· «Γίνεσθε γάρ, φησί, φρόνιμοι ὡς οἱ ὄφεις· ὅς, ἐπειδὰν ἀποδύεσθαι δέῃ τὴν λεβηρίδα, στενῷ τόπῳ καὶ ἀκριβῶς περισφίγγοντι τὸ σῶμα ἐπιδοὺς ἑαυτόν, φρονίμως καὶ συνετῶς ἀποδύεται τὸ γῆρας· ὅπερ οὖν καὶ ἡμᾶς βούλεται ὁ λόγος, διὰ τῆς στενῆς καὶ τεθλιμμένης ὁδοῦ πορευομένους, ἀποδύεσθαι μὲν τὸν παλαιὸν ἄνθρωπον, ἐνδύεσθαι δὲ τὸν νέον, ὥστε καὶ ἡμῶν ἀνακαινισθῆναι ὡς ἀετοῦ τὴν νεότητα» Τόμ. Β΄. σελ. 691. Παραπλήσια λέγει καὶ ὁ Καισάριος (ἐν τῷ Δ΄. Διαλόγῳ Ἀπόκρ. 191.)· «Ὁ ὄφις σοφῶς τὴν παλαίωσιν ἀποδύεται, ἐν στενωπῇ τινι παρεισδύσαι θλιβόμενος, καὶ τὸ γῆρας ἀποτιθέμενος. Βούλεται τοίνυν καὶ ἡμᾶς διὰ τῆς στενῆς καὶ ἐπιπόνου ὁδοῦ διεκθλιβομένους τὸν παλαιὸν ἄνθρωπον ἀπεκδύεσθαι, καὶ τὸν νέον ἐνταμφιέννυσθαι». Καὶ Ἰσίδωρος δὲ ὁ Πηλουσιώτης (Ἐπιστ. ΡΟΕ΄. βιβλ. β΄.), καὶ Ἐπιφάνιος (ἐν τῷ Φυσιολόγῳ), καὶ Καισάριος (ἐν τῷ Δ΄. Διαλόγῳ Ἀπόκρ. 191.), καὶ Θεοφύλακτος (εἰς τὸ Ι΄. κεφ. τοῦ Ματθ.) φέρουσι τὸ παράδειγμα τοῦτο τοῦ ὄφεως τοῦ ἀποδυομένου τὸ παλαιὸν δέρμα. Λέγει δὲ καὶ ὁ Σουΐδας· «Λεβηρίς, τὸ γῆρας, ὃ ἀποδύεται ὁ ὄφις», καὶ ὁ Ἡσύχιος· «Λεβηρίς, τὸ τοῦ ὄφεως γῆρας, ὃ ἀποδύεται».

γὰρ εἴπῃς, ἐπόρνευσα, ἐμοίχευσα, δεινά μοι[1]) πέπρακται, καὶ οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις· ἆρα συγχωρήσει; ἆρα παρέξει τὴν ἀμνηστίαν[2]); Ἄκουε τί λέγει ὁ Ψαλμῳδός· «Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε». Οὐ νικᾷ σου τὰ συναχθέντα ἁμαρτήματα τὸ πλῆθος τῶν οἰκτιρμῶν τοῦ Θεοῦ. Οὐ νικᾷ σου τὰ τραύματα τὴν ἰατρικὴν[3]) ἐμπειρίαν· δὸς μόνον σεαυτὸν μετὰ πίστεως· ἔξειπε[4]) τῷ ἰατρῷ τὸ πάθος· εἰπὲ καὶ αὐτὸς κατὰ τὸν Δαβίδ· «Εἶπα, ἐξαγορεύσω

---

[1]) Οὕτως ἐμφαντικώτερον κεῖται ἄνευ τοῦ ἄρθρου ἐν τοῖς Κώδ. Α., Roe, ἐν δὲ ταῖς ἐκδόσεσι «τὰ δεινά».

[2]) Παραπλήσια τῷ ἱερῷ Κυρίλλῳ περὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας φθέγγεται καὶ ὁ τῆς μετανοίας κήρυξ Χρυσόστομος· (Τόμ. Β΄. σελ. 402.)· «Καὶ ἔνι, φησὶ, μετανοήσαντα σωθῆναι; καὶ πάνυ ἔνι. Πάντα τὸν βίον ἐν ἁμαρτίαις διέτριψα, καὶ ἐὰν μετανοήσω, σώζομαι; Πάνυ. Πόθεν δῆλον; Ἀπὸ τῆς τοῦ Δεσπότου σου φιλανθρωπίας. Μὴ γὰρ τῇ μετανοίᾳ σου θαῤῥῶ; Μὴ γὰρ ἡ μετάνοιά σου ἰσχύει τοσαῦτα κακὰ ἀποσμήξασθαι; εἰ ἡ μετάνοια μόνη ἦν, εἰκότως ἐφοβοῦ· ἐπειδὴ δὲ τῇ μετανοίᾳ κεράννυται Θεοῦ φιλανθρωπία, θάῤῥει· Θεοῦ γὰρ φιλανθρωπίας μέτρον οὐκ ἔστιν, οὐδὲ λόγῳ ἑρμηνευθῆναι δύναται αὐτοῦ ἡ ἀγαθότης. Ἡ μὲν γὰρ σὴ κακία μέτρον ἔχει, τὸ δὲ φάρμακον μέτρον οὐκ ἔχει· ἡ σὴ κακία, οἵα ἐὰν ἦ, ἀνθρωπίνη ἐστὶ κακία, ἡ δὲ τοῦ Θεοῦ φιλανθρωπία ἄφατος, καὶ θάῤῥει ὅτι περιγίνεταί σου τῆς κακίας. Ἐννόησον σπινθῆρα εἰς πέλαγος ἐμπεσόντα· μὴ δύναται στῆναι ἢ φανῆναι; Ὅσον σπινθὴρ πρὸς πέλαγος, τοσοῦτον κακία πρὸς τὴν τοῦ Θεοῦ φιλανθρωπίαν· μᾶλλον δὲ οὐδὲ τοσοῦτον, ἀλλὰ πολλῷ πλέον· τὸ μὲν γὰρ πέλαγος, κἂν μέγα ἦ, μέτρον ἔχει· ἡ δὲ τοῦ Θεοῦ φιλανθρωπία ἀπεριόριςος». Καὶ ἀλλαχοῦ (Τόμ. ΙΒ΄. σελ. 928.)· «Ὢ φιλανθρωπίας Δεσπότου. Καὶ μή μοι λέγε πάλιν, ἥμαρτον πολλὰ, καὶ πῶς δύναμαι σωθῆναι; Σὺ οὐ δύνασαι, ἀλλ' ὁ Δεσπότης σου δύναται, καὶ οὕτως ἐξαλείψει σου τὰ ἁμαρτήματα, ὡς μήτε ἴχνος αὐτῶν μεῖναι». Λέγει δὲ καὶ ὁ Μ. Ἀθανάσιος (Τόμ. Α΄. σελ. 392.)· «Οὐκ ἔςιν ἁμαρτία ἀσυγχώρητος παρὰ τῷ Θεῷ ἐν τοῖς γνησίως καὶ κατ' ἀξίαν μετανοοῦσι». «Οὐκ ἔστιν ἁμαρτία ἀσυγχώρητος, εἰ μὴ ἡ ἀμετανόητος» λέγει καὶ Ἰσαὰκ ὁ Σύρος (σελ. 186.).

[3]) Οὕτω γέγραπται ἐν τῷ Κώδ. Α., ὁμοίως καὶ ἐν τῷ Κασλινιανῷ Κώδηκι· αἱ ἐκδόσεις ἔχουσιν «ἀρχιατρικήν».

[4]) «Ἔξειπε» ἔχουσι καὶ οἱ τρεῖς Κώδ. Α., Roe καὶ Casaub· ἐν δὲ ταῖς ἐκδόσεσι κεῖται «λέγε».

κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ», καὶ γενήσεται καὶ ἐπὶ σοῦ [1]) τὸ παραπλήσιον, τὸ ἑξῆς εἰρημένον· «Καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου» [2]).

§. Ζ'. Θέλεις ἰδεῖν Θεοῦ φιλανθρωπίαν, σὺ ὁ νεωστὶ εἰς τὴν κατήχησιν ἐληλυθώς; θέλεις ἰδεῖν Θεοῦ φιλανθρωπίαν καὶ τῆς μακροθυμίας τὸ πλῆθος; ἄκουσον περὶ τοῦ Ἀδάμ [3]). Παρήκουσεν ὁ Ἀδὰμ ὁ πρωτόπλαστος τοῦ Θεοῦ· ἆρ' οὐκ ἐδύνατο τὸν θάνατον εὐθὺς ἐπαγαγεῖν; ἀλλ' ὅρα τί ποιεῖ ὁ φιλανθρωπότατος Κύριος. Ἐκβάλλει μὲν αὐτὸν τοῦ Παραδείσου· τῆς γὰρ ἐκεῖ διατριβῆς ἀνάξιος ἦν διὰ τὴν ἁμαρτίαν· κατοικίζει δὲ τοῦ Παραδείσου κατέναντι, ἵνα βλέπων ὅθεν ἐξέπεσε, καὶ ἐξ οἵων εἰς οἷα κατηνέχθη, λοιπὸν ἐκ μετανοίας σωθῇ [4]). Κάϊν ὁ πρωτότοκος ἄνθρωπος ἀδελφοκτόνος γέγονεν,

---

[1]) Προσεθήκαμεν τὸν «καὶ» ἐκ τοῦ Κώδ. Α., Roe, καταλλήλως ἐν τούτοις κείμενον.

[2]) Αὐτὸ τοῦτο τὸ ψαλμικὸν ῥητὸν προτιθεὶς καὶ ὁ Χρυσοῤῥήμων διδάσκαλος, προτρέπει εἰς μετάνοιαν λέγων· «Συντρίψωμεν τὰς καρδίας, πενθήσωμεν τὰ ἡμαρτημένα ἡμῖν, καθὼς προσέταξεν ὁ Χριστὸς, κατανυγῶμεν ἐπὶ τοῖς πλημμεληθεῖσιν ἡμῖν, ἀναλογισώμεθα μετὰ ἀκριβείας τὰ κατὰ τὸν ἔμπροσθεν ἡμῖν ἅπαντα τολμηθέντα χρόνον, σπουδάσωμεν αὐτὰ ἀποτρίψασθαι παντοδαπῶς· πολλὰς γὰρ εἰς τοῦτο ὁ Θεὸς ἀνέῳξεν ἡμῖν ὁδούς· «Λέγε γὰρ σὺ, φησὶ, πρῶτος τὰς ἁμαρτίας σου ἵνα δικαιωθῇς»· καὶ πάλιν· «εἶπα, τὴν ἀνομίαν μου ἐξαγορεύσω κατ' ἐμοῦ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου».

[3]) Ἐντεῦθεν ἄρχεται καὶ ἐκτίθησιν ὁ ἱερὸς Κύριλλος ἐκ τῆς Παλαιᾶς Διαθήκης τὰς ἐνδείξεις τῆς θείας φιλανθρωπίας καὶ τὰ παραδείγματα τῆς μετανοίας. Ὅτι δὲ καὶ ἐν τῇ Παλαιᾷ Διαθήκῃ ἐκηρύττετο ἡ μετάνοια, δηλοῖ καὶ ὁ Χρυσόστομος ἐν οἷς λέγει· «Αὕτη ἡ μετάνοια καὶ πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας ἐκηρύττετο διὰ τοῦ Ἱερεμίου λέγοντος· «Μὴ ὁ πίπτων οὐκ ἀνίσταται; ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει» (Τόμ. Β'. σελ. 353.).

[4]) Οὐκ ἀδιάφορον θεωρεῖ καὶ ὁ ἱερὸς Χρυσόστομος τὴν ἀπέναντι τοῦ Παραδείσου κατοίκισιν τοῦ Ἀδάμ· «Καὶ ἐξέβαλε Κύριος ὁ Θεὸς τὸν Ἀδὰμ, καὶ κατῴκισεν αὐτὸν ἀπέναντι τοῦ Παραδείσου τῆς τρυφῆς. Σκόπει πῶς ἕκαστον τῶν γινομένων ὑπὸ τοῦ κοινοῦ Δεσπότου φιλανθρωπίας ὑπόθεσις ἦν, καὶ ἕκαστον τιμωρίας εἶδος ἀγαθότητος γέμει πολλῆς· οὐ γὰρ τὸ ἐκβαλεῖν μόνον φιλαν-

εὑρετὴς τῶν κακῶν, καὶ ἀρχηγὸς τῶν φόνων, καὶ βάσκανος πρῶτος· ἀλλ' ἀνελὼν τὸν ἀδελφὸν, τί κατακρίνεται; «Στένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς». Μέγα τὸ ἁμάρτημα, μικρὰ ἡ καταδίκη [1]).

§. Η'. Φιλανθρωπία μὲν οὖν ἀληθῶς καὶ αὕτη Θεοῦ, ἀλλ' ἔτι μικρὰ πρὸς τὰ ἐπιφερόμενα· λόγισαι γάρ μοι τὰ ἐπὶ Νῶε. Ἥμαρτον οἱ γίγαντες, καὶ παρανομία πολλὴ τότε τῆς γῆς κατεχύθη, καὶ διὰ ταύτην κατακλυσμὸς ἔμελλεν ἐπέρχεσθαι· καὶ τῷ πεντακοσιοστῷ μὲν ἔτει τὴν ἀπειλὴν ἐκφέρει ὁ Θεὸς, τῷ δὲ ἑξακοσιοστῷ τὸν κατακλυσμὸν ἐπήγαγεν ἐπὶ τὴν γῆν. Βλέπεις φιλανθρωπίας Θεοῦ πλάτος, εἰς ἑκατὸν παρατεινομένης χρόνους; Ἆρα, ὅπερ ἐποίησε τότε μετὰ τὴν ἑκατονταετίαν, παραχρῆμα οὐκ ἠδύνατο ποιῆσαι; ἀλλ' ἐπίτηδες παρέτεινεν, ἔνδοσιν διδοὺς μετανοίας [2]). Βλέπεις Θεοῦ

θρωπίας καὶ ἀγαθότητος ἦν, ἀλλὰ καὶ τὸ ἀπέναντι τοῦ Παραδείσου ἐγκατοικίσαι αὐτὸν, ἵνα ἀδιάλειπτον ὀδύνην ἔχῃ, καθ' ἑκάστην ἡμέραν ἀναλογιζόμενος, οἵων ἐκπεπτωκὼς, εἰς οἵαν ἑαυτὸν κατάστασιν ἤγαγεν» (Ὁμιλ. ΙΗ'. εἰς τὴν Γεν.).

[1]) Τὴν φιλανθρωπίαν τοῦ Θεοῦ ἐξυμνῶν καὶ ὁ μακάριος Ἰωάννης ὁ Χρυσόστομος, φέρει καὶ αὐτὸς τὸ τοῦ Κάϊν παράδειγμα, καὶ δείκνυσι μικρὰν οὖσαν τὴν τιμωρίαν πρὸς τὸ μέγεθος τῶν τετολμημένων· «Φόνον πρῶτος αὐτὸς καὶ εὑρὼν καὶ τολμήσας, καὶ φόνον τῶν πάντων ἐναγέστερον· οὐδὲ γὰρ κατὰ μικρὸν, οὐδ' ἐν χρόνῳ πολλῷ προσῆλθε τῷ καινῷ τούτῳ μιάσματι, ἀλλ' ἀθρόως καὶ ἐξαίφνης πρὸς αὐτὴν εὐθέως ἀνεπήδησε τὴν κορυφὴν, τὸν κοινωνήσαντα τῶν αὐτῶν ὠδίνων αὐτῷ, τὸν ἠδικηκότα οὐδὲν, πλὴν εἰ τὸ τιμῆσαι τὸν Θεὸν ἀδίκημα ᾤετο, τοῦτον λοχήσας καὶ ἀνελών. Σὺ δέ μοι κἀνταῦθα πάλιν τοῦ Θεοῦ τὴν φιλανθρωπίαν κατάμαθε. —Τίς οὖν ἡ τούτων τιμωρία; Στένων ἔσῃ, φησὶ, καὶ τρέμων ἐπὶ τῆς γῆς. Δοκεῖ μὲν οὖν ἡ κόλασις εἶναι πικρὰ, ἀλλ' οὐκ ἐὰν τὸ ἁμάρτημα λογισώμεθα, καὶ τὴν τιμωρίαν ἐπισκεψώμεθα καλῶς» (Τόμ. Α'. σελ. 197.).

[2]) Τὸ παράδειγμα τοῦτο τῆς Κιβωτοῦ φέρει καὶ ὁ ἱερὸς Βασίλειος Σελευκείας εἰς ἔνδειξιν τῆς τοῦ Θεοῦ φιλανθρωπίας, εἰς μετάνοιαν τοὺς ἀνθρώπους ἐκκαλουμένης. (Λόγ. Ε'. σελ. 27.)· «Κιβωτὸν, λέγει, πηγνύναι παρακελεύεται, καὶ, τῶν ἀσεβούντων ὁρώντων, κατακλυσμοῦ σκευάζει ἐφόδια· ἦν δ' ἄρα καὶ τοῦτο θεῖον ὑπὲρ ἀνθρώπων μηχάνημα, πρὸς μετάνοιαν ἐκκαλούμενον· ἦν γὰρ Θεῷ ῥάδιον καὶ ξύλου χωρὶς διασῶσαι τὸν

ἀγαθότητα; καὶ εἴγε μετενόησαν τότε[1]), οὐκ ἂν ἀπέτυχον τῆς τοῦ Θεοῦ φιλανθρωπίας.

§. Θ΄. Ἐλθέ μοι λοιπὸν καὶ ἐπὶ τοὺς ἄλλους, τοὺς ἐκ μετανοίας σωθέντας. Ἀλλ᾽ ἴσως καὶ ἐν γυναιξὶν ἐρεῖ τις· ἐπόρνευσα, ἐμοίχευσα, ἐμόλυνα τὸ σῶμα παντοίαις ἀκολασίαις· ἆρ᾽ ἔστι σωτηρία; Ἀπόβλεψον, ὦ γύναι, εἰς τὴν Ῥαὰβ, καὶ προσδόκα καὶ σὺ τὴν σωτηρίαν· εἰ γὰρ ἡ φανερῶς καὶ δημοσίᾳ πορνεύσασα διὰ μετανοίας ἐσώθη, ἆρα ἡ ἅπαξ ποτὲ πορνεύσασα πρὸ τῆς χάριτος, διὰ μετανοίας καὶ νηστείας οὐ σώζεται[2]); πῶς γὰρ ἐσώθη ἐκείνη, ζήτησον. Τοῦτο μόνον εἶπεν· «Ὅτι ὁ Θεὸς ὑμῶν ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς»[3]). Ὁ Θεὸς ὑμῶν· ἑαυτῆς γὰρ οὐκ ἐτόλμησεν εἰπεῖν διὰ τὴν ἀσέλγειαν. Καὶ εἰ θέλεις δέξασθαι, τοῦ σωθῆναι ταύτην μαρτυρίαν

Νῶε, ἀλλὰ καθίζει πρῶτον αὐτὸν δημιουργὸν Κιβωτοῦ πολυχρόνιον, ἵνα κἂν ἡ θέα φοβήσασα τοὺς ὁρῶντας, πρὸς μετάνοιαν ἐπισπάσηται». Τὴν πολυχρόνιον κατασκευὴν τῆς Κιβωτοῦ ὡς δεῖγμα τῆς θείας φιλανθρωπίας ἐξέλαβε καὶ ὁ θεῖος Χρυσόστομος (Τόμ. Δ΄. σελ. 259.).

[1]) «Τότε» ἄνευ ἄρθρου, γέγραπται ἐν τῷ Κώδηκι Α. Αἱ ἐκδόσεις ἔχουσι τὴν λέξιν ἐνάρθρως «οἱ τότε».

[2]) Τὸ ὑπόδειγμα τῆς διὰ μετανοίας σωθείσης Ῥαὰβ προβάλλει καὶ ὁ Χρυσοῦς διδάσκαλος, καὶ ἐκ τούτου συνάγει, ὡς ὁ ἱερὸς Κύριλλος, τὸ βέβαιον τῆς ἡμετέρας σωτηρίας, ἐὰν μετανοήσωμεν· «Εἰ τοίνυν τὴν Ῥαὰβ ἐκείνην ἡ μετάνοια σωτηρίας τοσαύτης ἠξίωσε, καὶ διὰ στόματος ἁγίων κηρύττεται, Ἰησοῦ μὲν τοῦ Ναυῆ βοῶντος ἐν τῇ ἐρήμῳ· Ζήτω Ῥαὰβ ἡ πόρνη· Παύλου δὲ λέγοντος· Πίστει Ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι· πόσῳ μᾶλλον ἡμεῖς, ἐὰν προσάγωμεν τὴν μετάνοιαν, δεξόμεθα τὴν σωτηρίαν» (Τόμ. Β΄. σελ. 395.); Περὶ τῆς Ῥαὰβ ταύτης εἶπε καὶ ὁ Σευηριανὸς Γαβάλων, ὅτι «ἦν ἐν πορνείῳ μαργαρίτης, ἐν βορβόρῳ πεφυρμένος χρυσὸς, ἐν πηλῷ διεῤῥιμμένος ἄργυρος· ἄνθος ἐν ἀκάνθαις ἀσεβείας κεχωσμένον· εὐσεβὴς ψυχὴ ἐν ἀσεβείας χώρᾳ κατακέκλειστο» (ἐν τῷ Β΄. Τόμ. τῆς Ὀκτατ. σελ. 10.). Τὴν Ῥαὰβ ταύτην οὐ μόνον πιστὴν, ἀλλὰ καὶ προφήτιδα εἶπον ὅ,τε Κλήμης ὁ Ῥώμης (Ἐπιστ. πρὸς Κορινθ. §. 12.) καὶ ὁ Ὠριγένης (Ὁμιλ. Γ΄.)· ἴδ. Coteler. σελ. 155.

[3]) Ἰησοῦ Ναυῆ β΄. 1. Ἐν τῷ ἱερῷ τῆς Γραφῆς κειμένῳ ἀναγινώσκεται οὕτω· «Ὅτι Κύριος ὁ Θεὸς ὑμῶν, Θεὸς ἐν οὐρανῷ ἄνω, καὶ ἐπὶ τῆς γῆς κάτω».

ἔγγραφον ἔχεις ἀνάγραπτον ἐν Ψαλμοῖς· «Μνησθήσομαι Ῥαὰβ καὶ Βαβυλῶνος τοῖς γινώσκουσί με». Ὢ μεγάλης τοῦ Θεοῦ φιλανθρωπίας, καὶ πορνῶν μνημονευούσης ἐν Γραφαῖς· ἀλλ' οὐχ ἁπλῶς· «Μνησθήσομαι Ῥαὰβ καὶ Βαβυλῶνος»· ἀλλὰ μετὰ τοῦ· «τοῖς γινώσκουσί με» [1]). Ἔστιν οὖν καὶ ἐπὶ ἀνδρῶν σωτηρία, καὶ ἐπὶ γυναικῶν ὁμοίως, ἡ διὰ μετανοίας προξενουμένη.

§. Ι'. Κἂν ὁλόκληρος δὲ λαὸς ἁμάρτῃ, οὐ νικᾷ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν. Ἐμοσχοποίησεν ὁ λαὸς, ἀλλ' οὐκ ἀπέστη [2]) ὁ Θεὸς τῆς φιλανθρωπίας· ἠρνήσαντο οἱ ἄνθρωποι τὸν Θεὸν, ἀλλ' ὁ Θεὸς ἑαυτὸν [3]) οὐκ ἠρνήσατο. «Οὗτοι οἱ θεοί σου, Ἰσραὴλ» εἰρήκασι· καὶ πάλιν συνήθως ὁ Θεὸς τοῦ Ἰσραὴλ, σωτὴρ αὐτῶν ἐγένετο. Καὶ οὐ μόνος [4]) ὁ λαὸς ἥμαρτεν, ἀλλὰ καὶ Ἀαρὼν ὁ ἀρχιερεύς [5]). Μωϋσῆς

---

[1]) Σημείωσαι ὅτι τὸ ἐν Ψαλμοῖς τοῦτο ὄνομα 'Ραὰβ πολλοὶ ἑρμηνευταὶ ἐκλαμβάνουσιν οὐχὶ ὡς τὸ κύριον ὄνομα τῆς ἐν Ἱεριχὼ γνωστῆς γυναικὸς ἐκείνης, ἀλλ' ὡς ὄνομα ἐπιθετικῶς ἐνταῦθα τεθειμένον, καὶ σημαῖνον τὸν ἀλαζόνα· διὰ τοῦτο καὶ Σύμμαχος τὸ «'Ραὰβ» ἐν τῷ Ψαλμῷ τούτῳ ἡρμήνευσεν «ἀλαζονείαν». Ὅρα τοὺς ἐξηγητὰς τῶν Ψαλμῶν, καὶ Ἄνθιμον Ἱεροσολύμων (Ἑρμην. εἰς τοὺς Ψαλμ. Τόμ. Β'. σελ. 139.).

[2]) Οὕτω προσφυέστερον κεῖται ὁ «ἀλλὰ» ἐν τοῖς Κώδ. Α., Roe καὶ Casaub., ἐν δὲ ταῖς ἐκδόσεσι κεῖται «καὶ οὐκ ἀπέστη».

[3]) Ἀντὶ «ἑαυτὸν» οἱ Κώδ. Roe καὶ Casaub., οὐκ ἀπροσφυῶς, ἔχουσιν «αὐτός».

[4]) Ἐν τῷ Κώδ. Α. «οὐ μόνος δέ»·

[5]) Ἐν ᾧ καιρῷ ἥμαρτεν ὁ Ἀαρὼν τὸ ἁμάρτημα ἐκεῖνο, οὐκ ἦν προκεχειρισμένος ἀρχιερεὺς, καθὰ καὶ αὐτὸς ὁ Κύριλλος παρακατιὼν βεβαιοῖ τοῦτο, λέγων· «κἀκεῖνον μὲν τὸ πταισθὲν οὐκ ἐκώλυσεν ἐλθεῖν εἰς ἀρχιερωσύνην». Ἀρχιερεὺς λοιπὸν καλεῖται ἐνταῦθα ὑπὸ τοῦ θείου Πατρὸς ἐκ προκαταλήψεως. Τὸ ἁμάρτημα τοῦ Ἀαρὼν εὑρίσκει ὁ Θεοδώρητος οὐ παντάπασιν ἀνάξιον καὶ συγγνώμης τινός· «Τὸν σκοπὸν, λέγει, τοῦ γινομένου προσήκει ζητεῖν· οὕτω γὰρ ἐξετάζοντες, εὑρήσομεν αὐτὸν οὐ παντάπασι συγγνώμης ἐστερημένον· τοῦ γὰρ ἀδελφοῦ τεσσαράκοντα ἡμέρας διατρίψαντος ἐν τῇ τοῦ ὄρους ἀκρωνυχίᾳ, καὶ τοῦ λαοῦ λυττήσαντος, καὶ εἰς τὴν Αἴγυπτον ἀναστρέψαι ὁρμήσαντος, πρῶτον μὲν ἐπειράθη λόγοις αὐτῶν τὴν ὁρμὴν χαλινῶσαι· ἐπειδὴ δὲ ἀπειθοῦντας εἶδεν, ᾔτησε τῶν γυναικῶν τὰ χρυσία, πάθει πάθος ἀντιστρατεύσας, τὸ φιλόκοσμον καὶ φιλοχρή-

γάρ ἐστιν ὁ λέγων· «Καὶ ἐπὶ Ἀαρὼν ἐγένετο ὀργὴ Κυρίου· καὶ ἐδεήθην, φησὶν, ὑπὲρ αὐτοῦ», καὶ συνεχώρησεν αὐτῷ ὁ Θεός[1]). Εἶτα Μωϋσῆς μὲν αἰτῶν ὑπὲρ ἀρχιερέως ἁμαρτάνοντος, ἐδυσώπει τὸν Κύριον· Ἰησοῦς δὲ ὁ Μονογενὴς αἰτῶν ὑπὲρ ἡμῶν οὐ δυσωπεῖ τὸν Θεόν; Κἀκεῖνον μὲν τὸ πταισθὲν[2]) οὐκ ἐκώλυσεν ἐλθεῖν εἰς ἀρχιερωσύνην· σὲ δὲ, ἐξ ἐθνῶν ἐλθόντα, κωλύσει εἰσελθεῖν εἰς τὴν σωτηρίαν; Μετανόησον, ἄνθρωπε, λοιπὸν καὶ αὐτὸς ὁμοίως, καὶ οὐ κεκώλυταί σοι ἡ χάρις. Ἀνεπίληπτόν σου παράστησον εἰς τὸ ἑξῆς τὸν τρόπον· φιλάνθρωπος γὰρ ἀληθῶς ὁ Θεὸς, καὶ οὐ δυνήσεται ὁ πᾶς ἄνθρωπος κατ' ἀξίαν ἐξειπεῖν αὐτοῦ τὴν φιλανθρωπίαν· οὐδ' ἂν πᾶσαι αἱ γλῶσσαι συνέλθωσιν ὁμοῦ, οὐδ' οὕτως μέρος τι τῆς τοῦ Θεοῦ φιλανθρωπίας διηγήσασθαι δυνήσονται. Ἡμεῖς γὰρ λέγομεν μέρος τι τῶν γεγραμμένων περὶ τῆς εἰς ἀνθρώπους αὐτοῦ φιλανθρωπίας, ἀλλ' οὐκ οἴδαμεν ὅσα καὶ ἀγγέλοις συνεχώρησε· συγχωρεῖ γὰρ κἀκείνοις, ἐπειδὴ εἷς μόνος ἀναμάρτητος, ὁ τὰς ἁμαρτίας ἡμῶν[3]) καθαρίζων Ἰησοῦς. Καὶ περὶ μὲν ἐκείνων αὐτάρκως.

§. ΙΑ΄. Εἰ δὲ βούλει, σοὶ περὶ ἡμῶν καὶ ἄλλους τύπους παραστήσω[4]). Ἐλθὲ καὶ ἐπὶ τὸν Δαβὶδ τὸν μακάριον, καὶ τύπον αὐτὸν λάβε

ματον τῇ τῆς δεισιδαιμονίας μανίᾳ. Ἀλλ' οὐδὲ τοῦτο τὸ μηχάνημα τὴν ἐκείνων ἔσβεσε λύτταν· ὅθεν ἠναγκάσθη διαγλύψαι τὸν μόσχον. Καὶ τοιούτῳ δὲ σκοπῷ χρησάμενος, τῆς θείας ἐδεήθη φιλανθρωπίας, ὥστε τὴν τιμωρίαν διαφυγεῖν. Καὶ τοῦτο Μωϋσῆς ὁ θειότατος ἐν τῷ Δευτερονομίῳ δεδήλωκεν· «ἐδεήθην γὰρ, φησὶ, τοῦ Κυρίου τοῦ Θεοῦ μου περὶ Ἀαρὼν τοῦ ἀδελφοῦ μου, καὶ οὐκ ἀπέθανεν» (Ἐρωτ. ΞΣΤ΄. εἰς Γέν.).

[1]) Ἐν τῷ ἱερῷ κειμένῳ τοῦ Δευτερονομίου ἡ ῥῆσις ἀναγινώσκεται οὕτω· «Καὶ ἐπὶ Ἀαρὼν ἐθυμώθη (Κύριος) ἐξολοθρεῦσαι αὐτὸν, καὶ ηὐξάμην καὶ περὶ Ἀαρὼν ἐν τῷ καιρῷ ἐκείνῳ».

[2]) Οὕτως ἐγράψαμεν ἐξ αὐθεντίας τῶν τριῶν Κωδήκων Α., Roe καὶ Casaub. Αἱ ἐκδόσεις ἔχουσι «διὰ τὸ πταισθέν».

[3]) Ἀντὶ «τὰς ἁμαρτίας ἡμῶν», οἱ τρεῖς Κώδηκες Α., Roe, Casaub. ἔχουσι «τῶν ἁμαρτιῶν ἡμᾶς».

[4]) Οὕτως ἔγραψεν ὁ Τ. ἔκ τινων Κωδήκων, ἐν ᾧ αἱ πρὸ αὐτοῦ ἐκδόσεις εἶχον «παραστῆναι», ὡς καὶ ὁ Α. Οἱ δὲ Κώδ. Roe καὶ Casaub. «παραστῆσαι».

τῆς μετανοίας. Ἐσφάλη ὁ μέγας, μετὰ κοίτην τὸ δειλινὸν περιπατῶν ἐπὶ τοῦ δώματος· ἴδεν ἀδιαφόρως, καὶ ἔπαθέ τι ἀνθρώπινον· ἐτελέσθη ἡ ἁμαρτία, ἀλλ' οὐ συναπέθανεν ἡ περὶ τὴν ὁμολογίαν τοῦ πταίσματος εὐγνωμοσύνη[1]). Ἦλθε Νάθαν ὁ προφήτης, ἔλεγχος ταχὺς, καὶ τοῦ τραύματος ἰατρός· «Ὠργίσθη, φησὶν, ὁ Κύριος, καὶ ἥμαρτες»[2]). Τῷ βασιλεύοντι ὁ ἰδιώτης ἔλεγεν· βασιλεὺς ὁ πορφυροφόρος[3]) οὐκ ἠγανάκτησεν· οὐ γὰρ προσεῖχε τῷ λαλοῦντι, ἀλλὰ τῷ ἀποστείλαντι[4]). Οὐκ ἐτύφλωσεν αὐτὸν τὸ περιεστὼς τῶν στρατιωτῶν στῖφος· ἐνενόει γὰρ τὸν ἀγγελικὸν τοῦ Κυρίου στρατὸν, καὶ τὸν ἀόρατον ὡς ὁρῶν ἠγωνίασε· καί φησι τῷ ἐλθόντι, μᾶλλον δὲ δι' ἐκεί-

---

[1]) Λέγει δὲ καὶ ὁ ἱερὸς Χρυσορρήμων· «Καὶ γὰρ ὁ μακάριος ἐκεῖνος ἀνὴρ, τὸν Δαβὶδ λέγω, τὸν ἐκλεκτὸν βασιλέα καὶ προφήτην, ἡνίκα πολλὰ κατώρθωσεν, οὐκ ἔλαθεν ἄνθρωπος ὢν, ἀλλ' ἠράσθη ποτὲ γυναικὸς ἀλλοτρίας, καὶ οὐκ ἔστη μέχρι τούτου, ἀλλ' εἰργάσατο μὲν μοιχείαν διὰ τὴν ἐπιθυμίαν, εἰργάσατο δὲ καὶ φόνον διὰ τὴν μοιχείαν· ἀλλ' οὐκ ἐπειδὴ τηλικαύτας ἔλαβε δύο πληγὰς, ἤδη καὶ τρίτην ἑαυτῷ δοῦναι ἐπεχείρησεν, ἀλλ' εὐθέως πρὸς τὸν ἰατρὸν ἔτρεχε, καὶ τὰ φάρμακα ἐπετίθει, νηστείαν, δάκρυα, θρήνους, εὐχὰς συνεχεῖς, τὸ τὴν ἁμαρτίαν πολλάκις ἀναγγέλλειν, καὶ οὕτω διὰ τούτων ἵλεω κατέστησε τὸν Θεὸν, ὡς ἐπὶ τὴν προτέραν ἐπανελθεῖν ἀξίαν» (Τόμ. Α'. σελ. 44.). Σημείωσαι ὅτι, ὅπερ μικρὸν ἀνωτέρω εἶπεν ὁ Πατὴρ «εἶδεν ἀδιαφόρως», τοῦτο ἐξέφρασεν ὁ Θεοδώρητος «εἶδεν ἁπλοϊκῶς, οὐ περιέργως» (εἰς τὴν Β'. Βασιλ. Ἐρώτ. κδ'.).

[2]) Ἐν τῇ Γραφῇ οὐ κεῖνται αἱ λέξεις αὗται· ἀλλ' ἐκ τοῦ νοήματος αὐτῆς ἐξήγαγεν ὁ Πατὴρ ταῦτα. Ἴσως δὲ ἀπέβλεψε καὶ εἰς τὸ τοῦ Ἡσαΐου (ΞΔ', 5.)· «Ἰδοὺ σὺ ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν».

[3]) Ἀντὶ «βασιλεὺς ὁ πορφυροφόρος», ἣν γραφὴν παρεδέξαντο ἅπασαι αἱ ἐκδόσεις, οἱ τέσσαρες Κώδ. Α., **Roe, Casaub., Ottob.** καὶ ὁ Γροδέκιος ἔχουσιν· «ἀλλὰ Δαβὶδ ὁ βασιλεύς». Τὴν λέξιν «πορφυροφόρος» ξένην καὶ παρέγγραπτον νομίζει ὁ Μιλλέσιος, ὑπὸ τῶν ἀντιγραφέων εἰς τὸ κείμενον εἰσκυλισθεῖσαν· ἀλλ' ἡ λέξις αὕτη εὑρίσκεται καὶ ἐν Κατηχ. ΙΒ'. §. 10. «πορφυροφόρον βασιλέα».

[4]) Τὰ αὐτὰ λέγει καὶ ὁ Θεοδώρητος (εἰς Β'. Βασιλ. Ἐρώτ. κδ'.)· «Τούτων ὁ Δαβὶδ ἀκούσας τῶν λόγων, οὐκ ἐδυσφόρησεν, ὡς ὑπ' ἀνδρὸς πένητος ἐλεγχόμενος· ᾔδει γὰρ τὸν διὰ τούτου φθεγγόμενον».

νου τῷ ἀποστείλαντι[1])· «Ἡμάρτηκα τῷ Κυρίῳ». Βλέπεις τοῦ βασιλέως ταπεινοφροσύνην; βλέπεις ἐξομολόγησιν[2]); μὴ γὰρ ἦν ἐλεγχθεὶς ὑπό τινος; μὴ πολλοὶ συνῄδεισαν τῷ πράγματι; ὀξέως ἐπράχθη τὸ πρᾶγμα, καὶ ὁ Προφήτης εὐθὺς παρῆν κατήγορος[3]), καὶ ὁ πταίσας ὁμολογεῖ τὸ κακόν· καὶ ἐπειδὴ εὐγνωμόνως ὡμολόγησεν, ὀξυτάτην ἔσχε τὴν ἰατρείαν[4])· ὁ γὰρ ἀπειλήσας προφήτης Νάθαν φησὶν εὐθέως· «Καὶ Κύριος παρεβίβασε τὸ ἁμάρτημά σου»[5]). Βλέπεις ὀξυτάτην Θεοῦ φιλανθρώπου μεταβολήν· πλήν φησι· «Παροξύνων παρώξυνας τοὺς ἐχθροὺς Κυρίου»[6]). Πολλοὺς μὲν διὰ τὴν δι-

---

[1]) Ἐν ταῖς ἐκδόσεσι μετὰ τὴν λέξιν «ἀποστείλαντι» κεῖται περιττῶς ἡ λέξις «ἀποκρινάμενος», ἣν ἡμεῖς ἀπηλείψαμεν, μὴ εὑρόντες ἐν τοῖς τρισὶ Κώδηξιν Α., Roe καὶ Casaub.

[2]) Καὶ ὁ Μ. καὶ ὁ Τ., ἔχουσι καταφατικῶς ἐξενηνεγμένας τὰς φράσεις ταύτας· ἀλλὰ πολὺ προσφυεστέρα ἐστὶν ἐνταῦθα ἡ ἐρωτηματικὴ ἀνάγνωσις· διὰ τοῦτο ἡμεῖς ἐθήκαμεν τὰ ἐρωτηματικὰ σημεῖα, στηριζόμενοι ἐπὶ τοῦ Κώδηκος Α.

[3]) Οὐκ εὐθὺς μετὰ τὸ πταῖσμα ὁ Προφήτης παρῆν κατήγορος, ἀλλὰ μετὰ ἕν που ἔτος· ὅτε γὰρ ὁ Νάθαν παρῆν, ἦν ἤδη γεγεννημένον τὸ ἐκ τῆς Βηρσαβεὲ τέκνον· «Καὶ ἔτεκεν αὐτῷ υἱόν, φησὶν ἡ Γραφή, καὶ πονηρὸν ἐφάνη τὸ ῥῆμα, ὃ ἐποίησε Δαβὶδ ἐν ὀφθαλμοῖς Κυρίου». Ἀλλὰ καὶ ἐν τῷ ἐλέγχῳ τῷ πρὸς τὸν Δαβὶδ προστίθησιν ὁ Νάθαν· «Καί γε ὁ υἱός σου ὁ τεχθείς σοι θανάτῳ ἀποθανεῖται».

[4]) Ἀντὶ τοῦ «ὀξυτάτην ἔσχε τὴν θεραπείαν», οἱ τρεῖς Κώδ. Α., Roe καὶ Casaub. ἔχουσιν «ὀξύτατα τῆς ἰατρείας ἀπήλαυσε».—Ἡ μετὰ ταπεινώσεως ὁμολογία τοῦ ἁμαρτήματος ταχεῖαν ἐπήνεγκε καὶ τὴν θεραπείαν. Περὶ τούτου εἶπε καὶ ὁ Χρυσόστομος· «Τί οὖν ὁ βασιλεύς φησιν; Ἥμαρτον τῷ Κυρίῳ. Οὐκ εἶπε, τίς γάρ εἶ ὁ ἐλέγχων με; τίς δέ σε ἀπέστειλε παῤῥησιάζεσθαι; ποία δὲ τόλμη τοῦτο πεποίηκας; Οὐδὲν τοιοῦτον εἶπεν, ἀλλὰ συνέγνω τὴν ἁμαρτίαν· καὶ τί φησιν; Ἡμάρτηκα τῷ Κυρίῳ. Τί οὖν ὁ Νάθαν πρὸς αὐτόν; Καὶ Κύριος ἀφῆκε τὸ ἁμάρτημά σου. Ἑαυτὸν κατεδίκασας· ἐγώ σοι συγχωρῶ τὴν καταδίκην· εὐγνωμόνως ὡμολόγησας· ἔλυσας τὴν ἁμαρτίαν».

[5]) Οὕτως ἐγράψαμεν κατά τε τὴν Γραφὴν καὶ τοὺς Κώδηκας Α., Roe καὶ Casaub., ἀντὶ τῆς ἄχρι τοῦδε φερομένης γραφῆς «τὴν ἁμαρτίαν σου».

[6]) Ἡ ῥῆσις αὕτη συμφωνεῖ πρὸς τὴν Ἀλεξανδρινὴν ἔκδοσιν τῆς Γραφῆς. Κατὰ τὴν ἔκδοσιν τῆς Ῥώμης κεῖται· «παροργίζων παρώργισας τοὺς ἐχθροὺς Κυρίου».

καιοσύνην εἶχες ἐχθρούς, ἀλλ' ἐφρούρει σε ἡ σωφροσύνη· προδοὺς δὲ τὸ μέγιστον ὅπλον, ἑτοίμους ἑστῶτας ἔχεις κατὰ σοῦ τοὺς ἐχθροὺς ἐπαναστάντας. Ὁ μὲν οὖν Προφήτης οὕτως αὐτὸν παρεμυθήσατο.

§. ΙΒ'. Ὁ δὲ μακάριος Δαβίδ, εἰ καὶ τὰ μάλιστα ἤκουσεν, ὅτι «Κύριος παρεβίβασε τὸ ἁμάρτημά σου», οὐκ ἀπέστη τῆς μετανοίας[1])· ἀλλὰ περιεβάλλετο μὲν σάκκον ἀντὶ πορφύρας[2]), ἀντὶ δὲ χρυσοκολλήτων θρόνων, ἐπὶ σποδοῦ καὶ γῆς ὁ βασιλεὺς ἐκαθέζετο· καὶ οὐκ ἐπὶ σποδοῦ μόνον ἐκάθητο, ἀλλὰ καὶ σποδὸν εἶχε τὴν βρῶσιν, καθὼς καὶ αὐτός φησιν· «Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον»[3]). Ἐξέτηξε δάκρυσι τὸν ἐπιθυμητὴν ὀφθαλμόν· «Λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, λέγων, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω». Ἀρχόντων παρακαλούντων φαγεῖν ἄρτον, οὐκ ἐπείθετο· εἰς δὲ[4]) ἑβδόμην ὁλόκληρον ἡμέραν παρέτεινε τὴν νηστείαν. Εἰ βασιλεὺς οὕτως ἐξωμολογεῖτο, σὺ ὁ ἰδιώτης οὐκ ὀφείλεις ἐξομολογήσασθαι[5]); Καὶ

---

[1]) Μετὰ τὸ «τῆς μετανοίας» κεῖται ἐν ταῖς ἐκδόσεσιν ἡ λέξις «ὁ βασιλεύς», ἣν ἡμεῖς, ὡς περιττῶς κειμένην καὶ ἐν τοῖς τρισὶ Κώδ. Α., Roe καὶ Casaub. μὴ ἀπαντωμένην, ἀπηλείψαμεν.

[2]) Ῥητῶς μὲν ἡ τῶν Βασιλειῶν ἱστορία οὐ λέγει, ὅτι ὁ Δαβίδ, μετανοῶν ἐπὶ τῷ πταίσματι, ἐνεδύθη σάκκον· ἠδύνατο ὅμως ὁ ἱερὸς Κύριλλος κάλλιστα συμπεράναι τοῦτο ἐκ τῆς ἑπταημέρου ἐκείνης νηστείας καὶ χαμευνίας, ἣν ἐποίησεν ὁ Δαβὶδ ὑπὲρ τῆς ζωῆς τοῦ παιδαρίου, καὶ ἐκ τῆς κοινῆς συνηθείας τῶν Ἑβραίων, παρ' οἷς οἱ μετανοοῦντες ἐνεδύοντο σάκκον, καὶ τελευταῖον ἐκ τοῦ εἰκοστοῦ ἐννάτου Ψαλμοῦ, ἐν ᾧ γέγραπται ὅτι ὁ Θεὸς διέῤῥηξε τὸν σάκκον αὐτοῦ καὶ περιέζωσεν αὐτὸν εὐφροσύνην.

[3]) Ἐν τοῖς τρισὶ Κώδ. Α., Roe καὶ Casaub. προστίθεται καὶ τὸ ἐπίλοιπον μέρος τοῦ ψαλμικοῦ στίχου «καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων».

[4]) Προσεθήκαμεν τὸν «δὲ», κείμενον μὲν ἐν τοῖς Κώδ. Α., Roe καὶ Casaub., ἐλλείποντα δὲ ἐκ τῶν ἄχρι τοῦδε ἐκδόσεων.

[5]) «Ἀκουέτωσαν, λέγει καὶ ὁ Χρυσόστομος, οἱ ἐν εὐτελείᾳ ζῶντες, οἵαν ὁ βασιλεὺς καὶ πορφυρίδα περικείμενος μετάνοιαν ἐπεδείκνυτο· ἀκούσωμεν, κατανυγῶμεν· οὐχ ἁπλῶς ἔκαμεν, ἀλλὰ καὶ ἐκοπίασε στενάζων· οὐχ ἁπλῶς ἐδάκρυσεν, ἀλλὰ καὶ ἔλουσε τὴν κλίνην, οὐ μίαν καὶ δευτέραν καὶ τρίτην ἡμέραν, ἀλλὰ καὶ καθ' ἑκάστην νύκτα· καὶ οὐ τὸ παρελθὸν μόνον λέγει, ἀλλὰ καὶ τὸ μέλλον.

μετὰ τὴν τοῦ Ἀβεσαλὼμ ἐπανάστασιν, πολλῶν οὐσῶν ὁδῶν αὐτῷ τῆς φυγῆς, διὰ τοῦ ὄρους τῶν Ἐλαιῶν φεύγειν εἵλετο, μονονουχὶ τῇ διανοίᾳ τὸν ἀναβησόμενον εἰς τοὺς οὐρανοὺς ἐκεῖθεν λυτρωτὴν ἐπικαλούμενος. Καὶ καταρωμένου πικρῶς αὐτὸν τοῦ Σεμεΐ, λέγει· «Καὶ ἄφετε αὐτόν» [1])· ᾔδει γὰρ, ὅτι τῷ ἀφιέντι ἀφεθήσεται.

§. ΙΓ΄. Βλέπεις ὅτι καλὸν τὸ ἐξομολογήσασθαι; Βλέπεις ὅτι τοῖς μετανοοῦσίν ἐστι σωτηρία; Καὶ Σαλομὼν ἐκπέπτωκεν· ἀλλὰ τί φησιν; «Ὕστερον ἐγὼ μετενόησα» [2]). Καὶ ὁ Ἀχαάβ, ὁ τῆς Σαμαρείας

Μὴ γὰρ δὴ νομίσητε ὅτι, ταῦτα ποιήσας ἅπαξ, πρὸς ἄνεσιν ἑαυτὸν λοιπὸν ἀφῆκεν, ἀλλὰ διηνεκῶς τοῦτο πράττων διετέλει διὰ πάσης τῆς ζωῆς. Οὐ καθάπερ ἡμεῖς, οἳ, μίαν ἐργαζόμενοι τοῦτο πολλάκις ἡμέραν, ἢ οὐδὲ μίαν, εἰς γέλωτα καὶ τρυφὴν καὶ ἄνεσιν ἑαυτοὺς ἐκδίδομεν· ἀλλ' οὐκ ἐκεῖνος· ἀλλ' ἐν δάκρυσι διηνεκέσι διετέλει. Ταύτην δὴ καὶ ἡμεῖς μιμησώμεθα τὴν ἐξομολόγησιν» (Τόμ. Ε΄ σελ. 54.).

[1]) Μᾶλλον ἀνεπτυγμένη κεῖται ἡ περίοδος αὕτη ἐν τοῖς Κώδ. Roe καὶ Casaub. οὕτω· «Καὶ καταρωμένου αὐτὸν πικρῶς τοῦ Σεμεΐ, ἀνεχόμενος ἦν πρὸς τοὺς οἰκείους λέγων· «ἄφετε αὐτόν». «Ἄφετε αὐτὸν», χωρὶς τοῦ «καὶ», ἔχει καὶ ὁ Κώδ. Α. καὶ ἡ Ἀλεξ. ἔκδ. τῶν Ο΄.

[2]) Πολυθρύλητον ὑπάρχει ζήτημα ἐν τοῖς Θεολόγοις περὶ τῆς σωτηρίας τοῦ Σαλομῶντος. Ἡ ἱστορία διδάσκει, ὅτι ὁ ἔνδοξος καὶ ἐπὶ σοφίᾳ πάντας ὑπεράρας βασιλεὺς οὗτος ἐν τῷ τέλει τοῦ βίου αὐτοῦ διεφθάρη καὶ νοῦν καὶ καρδίαν ὑπ' ἀσεβῶν γυναίων αἰχμαλωτισθεὶς, καὶ τοῖς θεοῖς αὐτῶν ναοὺς ἀνεγείρας· ἀλλ' ἆρά γε διέμεινεν ἐν τῇ οἰκτρᾷ ἀποπτώσει ἐκείνῃ, ἢ μετανοήσας ἐσώθη; Ἐκ τῶν ἀρχαίων Πατέρων τῆς Ἐκκλησίας οἱ μὲν παντάπασι σιωπῶσι, καὶ οὐδὲν οὔτε περὶ σωτηρίας, οὔτε περὶ κολάσεώς τι ἀποφαίνονται· οἱ δὲ εὐνοϊκὴν ἐκφέρουσιν ὑπὲρ αὐτοῦ ψῆφον, τῇ μετανοίᾳ σεσωσμένον αὐτὸν νομίζοντες. Τοιοῦτοί εἰσιν ὁ ἡμέτερος Κύριλλος ἐνταῦθα, ὁ Ἱλάριος (in Psalm. 56), ὁ Ἀμβρόσιος (Apolog. 1. David. cap. 3), ὁ Ἱερώνυμ. (in Ezech. lib. 13. cap. 43, et in Ecclesiast. cap. 2.). Ὁ Ἱερώνυμος (in Ecclesiast. cap. 1.) μαρτυρεῖ τὴν παρὰ τοῖς Ἑβραίοις ἐπικρατοῦσαν δόξαν, ὅτι ἡ βίβλος τοῦ Ἐκκλησιαστοῦ ἐγράφη ὑπὸ τοῦ Σαλομῶντος, ἐν μετανοίᾳ ὄντος. Ἄλλοι δὲ οὐδαμοῦ τῆς Γραφῆς εὑρίσκουσιν ἔνδειξίν τινα καὶ δήλωσιν περὶ μετανοίας καὶ σωτηρίας· ὅθεν καὶ ὑπολαμβάνουσιν αὐτὸν ἐν τῇ ἀποπτώσει ἀμετανοήτως μείναντα, καὶ ἐν τῇ ἀφροσύνῃ οἰκτρῶς τελευτήσαντα. Τὴν δὲ ἐκ τῶν παροιμιῶν ὑπὲρ αὐτοῦ προ-

βάσιλεὺς, γέγονε παρανομώτατος εἰδωλολάτρης, ἐξαίσιος, προφητοκτόνος, ἀλλότριος[1]) τῆς εὐσεβείας, ἀγρῶν ἐπιθυμητὴς καὶ ἀμπελώνων ἀλλοτρίων· ἀλλ' ὅτε τὸν Ναβουθαὶ διὰ τῆς Ἰεσαβὲλ ἀπέκτεινεν, ἐλθόντος Ἠλιοῦ τοῦ προφήτου, καὶ μόνον ἐπαπειλήσαντος, διέῤῥηξε τὰ ἱμάτια, καὶ περιεβάλετο[2]) σάκκον. Καὶ τί φησιν ὁ φιλάνθρωπος Θεὸς πρὸς τὸν Ἠλίαν; «Ἑώρακας πῶς κατενύγη[3]) Ἀχαὰβ ἀπὸ προσώπου μου»; μονονουχὶ πείθων τὸ διάπυρον τοῦ προφήτου συγκαταβῆναι τῷ μετανοοῦντι· «οὐκ ἐπάξω γάρ φησι τὴν κακίαν ἐν ταῖς ἡμέραις αὐτοῦ» [4])· καὶ ὅμως μέλλοντος αὐτοῦ μετὰ τὴν συγχώρη-

---

κομιζομένην ῥῆσιν ἐν ἄλλῳ νοήματι ἑρμηνεύουσιν· ἄλλως τε ἡ ῥῆσις ἐκείνη ἐλλείπει ἔκ τε τοῦ Ἑβρ. καὶ τῆς Βουλγάτας. Οἱ καταδεδικασμένον αὐτὸν ἐκλαμβάνοντές εἰσι Τερτυλλιανὸς (contra Marcion. lib. 2. cap. 23. et. l. 3. cap. 29.), Κυπριανὸς (Epist. 6. ad Regatian. et. lib. de unit. Eccles.), Αὐγουστῖνος (contra Faust. lib. 22. cap. 71.), Γρηγόριος ὁ Μάγνος (in Job. lib. 2. cap. 2.), οἷς ἐγκαταλεγέσθω καὶ Ἰωσὴφ ὁ Βρυέννιος (Λόγ. περὶ πίστεως, Τόμ. Β'. σελ. 31.). Ὁ δὲ Γρηγέντιος Ἐπίσκοπος Τεφρῶν (Διάλεξ. μετὰ Ἰουδαίου, ἐν τῇ Βιβλιοθ. τῶν Πατ. Τόμ. Α'. σελ. 205.) ὑπολαμβάνει ὅτι κατέλυσε μὲν τὸν βίον ἐν ἁμαρτίαις ὁ Σαλομὼν, ἐσώθη δ' ὕστερον ὑπὸ τοῦ Κυρίου, εἰς Ἅδην καταβάντος. Τῇ αὐτῇ διχογνωμίᾳ διακρίνονται καὶ οἱ νεώτεροι Θεολόγοι.

[1]) Ἐν ταῖς ἄχρι τοῦδε ἐκδόσεσιν ἐκφέρονται ἐνάρθρως αἱ δύο αὗται λέξεις «ὁ προφητοκτόνος, ὁ ἀλλότριος»· ἀλλὰ τὸ ἄρθρον ἐνταῦθα κεῖται ἀκαταλλήλως καὶ περιττῶς, καὶ νομίζομεν ὅτι παρεισέφρησεν ἔν τισι Κώδηξιν ἐξ ἀβλεψίας τῶν ἀντιγραφέων. Ἀμφότερα τὰ ἄρθρα ἐλλείπουσιν ἐκ τῶν Κωδ. Α., Roe καὶ Gasaub., ἐλλείπει ὅμως ἐκ τούτων καὶ ἡ λέξις «προφητοκτόνος».

[2]) Ἐν ταῖς ἄχρι τοῦδε γενομέναις ἐκδόσεσι κεῖται «περιεβάλλετο».

[3]) Ἐν τῷ ἱερῷ τῆς Γραφῆς κειμένῳ γράφεται «ὡς κατενύγη».

[4]) Τὴν τοῦ ἀσεβοῦς Ἀχαὰβ μετάνοιαν καὶ τὴν ἐπὶ ταύτην τοῦ Θεοῦ φιλανθρωπίαν διηγεῖται καὶ ὁ ἱερὸς Χρυσόστομος· «Μαρτυρήσειε δ' ἂν ἡμῖν καὶ ὁ ἀσεβέστατος βασιλεὺς ἐκεῖνος, ὁ γεγονὼς μὲν ἔκδοτος τοῖς ἁμαρτήμασιν ὑπὸ τῆς γυναικός· ἐπειδὴ δὲ μόνον ἐπένθησε, καὶ σάκκον περιεβάλετο, καὶ κατέγνω τῶν πλημμεληθέντων αὐτῷ, οὕτως ἐπεσπάσατο τοῦ Θεοῦ τὸν ἔλεον, ὡς πάντων αὐτὸν ἀπαλλάξαι τῶν ἀπηρτημένων κακῶν· εἶπε γὰρ ὁ Θεὸς τῷ Ἠλίᾳ· ἑώρακας πῶς κατενύγη Ἀχαὰβ ἀπὸ προσώπου μου; Οὐκ ἐπάξω τὴν κα-

σιν[1]) οὐκ ἀφίστασθαι τῆς πονηρίας, συγχωρεῖ ὁ συγχωρῶν· οὐκ ἀγνοῶν τὸ μέλλον, ἀλλὰ τῷ παρόντι τῆς μετανοίας καιρῷ κατάλληλον τὴν συγχώρησιν δωρούμενος· δικαίου γὰρ δικαστοῦ ἐστι πρὸς ἕκαστον τῶν γεγενημένων[2]) προσφόρως ἀποκρίνασθαι.

§. ΙΔ'. Πάλιν Ἱεροβοὰμ εἱστήκει θύων τοῖς εἰδώλοις ἐπὶ τῷ βωμῷ[3])· ξηρὰ γέγονεν αὐτοῦ ἡ χείρ, ἐπειδὴ ἐκέλευσε συλληφθῆναι τὸν ἐλέγχοντα προφήτην· ἀλλὰ τῇ πείρᾳ γνοὺς τὴν ἐνέργειαν τοῦ παρόντος, λέγει· «Δεήθητι τοῦ προσώπου Κυρίου τοῦ Θεοῦ σου» [4])· καὶ διὰ τοῦτο τὸ ῥῆμα πάλιν ἀποκατέστη ἡ χεὶρ αὐτοῦ. Εἰ τὸν Ἱεροβοὰμ ἰάσατο ὁ Προφήτης, σὲ Χριστὸς ἄρα οὐ δύναται τῶν ἁμαρτιῶν ἰασάμενος ἐλευθερῶσαι; Γέγονε καὶ Μανασσῆς παρανομώτατος, ὁ τὸν Ἡσαΐαν πρίσας[5]), καὶ ἐν παντοίαις εἰδωλολατρείαις μιανθεὶς,

---

κίαν ἐν ταῖς ἡμέραις αὐτοῦ, ἀνθ' ὧν ὅτι ἔκλαυσεν ἀπὸ προσώπου μου». Ἴδε Ἱερών. Τόμ. Α. σελ. 1043.

[1]) Οὐκ ἀκαταλλήλως ἐν τοῖς Κώδ. Roe καὶ Casaub. τίθεται ὁ καὶ, «καὶ μετὰ τὴν συγχώρησιν».

[2]) Οὕτως ἐθήκαμεν ἐκ τῶν Κωδ. Casaub. καὶ Coisl., ἀντὶ τοῦ ἄχρι τοῦδε φερομένου «γεγεννημένων». Ὁ Κώδ. Α., ὡς καὶ ὁ R. ἔχουσι «γινομένων». Ὅλη δὲ ἡ περίοδος ἐν τῷ Α. κεῖται οὕτω· «δικαίου γὰρ δικαστοῦ τὸ πρὸς ἕκαστον τῶν γινομένων πρόσφόρως ἀποκρίνασθαι».

[3]) «Ἐπὶ βωμοῦ» ἔχουσιν οἱ τρεῖς Κώδ. Α., Roe καὶ Casaub.

[4]) Οἱ τρεῖς Κώδ. Α., Roe καὶ Casaub. ἔχουσιν ἁπλῶς· «δεήθητε τοῦ Κυρίου ὑπὲρ ἐμοῦ«· ἀλλ' ἡ ἐν τῷ κειμένῳ ῥῆσίς ἐστιν ἀπαραλλάκτως ἡ γραφική.

[5]) Ἐν τῇ ἁγίᾳ Γραφῇ οὐδαμοῦ ῥητῶς ἱστόρηται ὅτι ὁ Ἡσαΐας ἐπρίσθη πρίονι. Ἐν τῇ πρὸς Ἑβραίους μόνον ἐπιστολῇ (ιά. 37.) ἀορίστως λέγει ὁ Παῦλος «ἐπρίσθησαν». Ἀλλὰ κοινή ἐστι γνώμη τῶν Πατέρων τῆς Ἐκκλησίας, ἄνωθεν ἐξ ἀρχαίας παραδόσεως κατελθοῦσα, ὅτι ἐπὶ τοῦ βασιλέως Μανασσῆ ὁ Ἡσαΐας πρίονι πρισθεὶς ἐτελεύτησε. Τοῦτο οὐ μόνον αὐτὸς ὁ Κύριλλος ἐπαναλαμβάνει ἐν τῇ ΙΓ'. Κατηχήσει §. 6., ἀλλὰ καὶ πάμπολλοι βεβαιοῦσι Πατέρες· οἷον ὁ Ἰουστῖνος (Διάλ. πρὸς Τρυφ. σελ. 349.)· «Ἡσαΐαν, ὃν πρίονι ξυλίνῳ ἐπρίσατε»· ὁ Ὠριγένης (εἰς Ματθ. Τόμ. Α'. σελ. 225. ἔκδ. Huet.), ὁ Μ. Ἀθανάσιος (περὶ τῆς ἐνανθρωπήσεως Τόμ. Α'. σελ. 68.)· «οὐδὲ ὡς Ἡσαΐας ἐπρίσθη» καὶ σελ. 78· «Ἡσαΐας ἐπρίσθη μὲν, ἀλλ' οὐχ ἐπὶ ξύλου κεκρέμασται»· ὁ Θεοδώρητος (Ἐρωτ. νδ'. εἰς τὴν Δ'. τῶν Βασι-

καὶ πλήσας αἱμάτων ἀθώων τὴν Ἱερουσαλήμ· ἀλλὰ αἰχμάλωτος ἀχθεὶς εἰς Βαβυλῶνα, τῇ πείρᾳ τῶν κακῶν εἰς μετανοίας ἰατρείαν συνεχρήσατο· λέγει γὰρ ἡ Γραφή, ὅτι «ἐταπεινώθη Μανασσῆς ἐνώπιον Κυρίου, καὶ προσηύξατο, καὶ εἰσήκουσε Κύριος, καὶ ἐπανήγαγεν αὐτὸν εἰς τὴν βασιλείαν αὐτοῦ». Εἰ ὁ τὸν Προφήτην πρίσας διὰ μετανοίας ἐσώθη, σὺ δὲ μηδὲν τοσοῦτον ἐργασάμενος οὐ σωθήσῃ;

§. ΙΕ΄. Βλέπε μὴ τῇ δυνάμει τῆς μετανοίας μάτην ἀπιστήσῃς. Βούλει γνῶναι πόσον ἰσχύει μετάνοια; Θέλεις γνῶναι τὸ καρτερὸν τῆς σωτηρίας ὅπλον, καὶ μαθεῖν πόσον ἐξομολόγησις ἰσχύει; Ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας ἐχθρῶν Ἐζεκίας δι' ἐξομολογήσεως ἐτρέψατο. Μέγα μὲν ἀληθῶς καὶ τοῦτο, ἀλλὰ ἔτι μικρὸν πρὸς τὸ ῥηθησόμενον. Ἀπόφασιν θείαν ἐξενεχθεῖσαν ἀνεκαλέσατο διὰ μετανοίας ὁ αὐτός· νοσήσαντι γὰρ αὐτῷ φησιν ὁ Ἡσαΐας· «Τάξαι περὶ τοῦ οἴκου σου· ἀποθνήσκεις γὰρ σὺ, καὶ οὐ ζήσῃ». Ποία λοιπὸν προσδοκία; ποία ἐλπὶς εἰς σωτηρίαν, τοῦ Προφήτου λέγοντος· «Ἀποθνήσκεις γὰρ σύ»; ἀλλ' οὐκ ἀπέστη τῆς μετανοίας Ἐζεκίας· μεμνημένος δὲ τοῦ γεγραμμένου «Ὅταν ἀποστραφεὶς στενάξῃς, τότε σωθήσῃ»,

---

λειῶν)· «Τοῦτον (τὸν Μανασσῆ) φασὶ καὶ τὸν προφήτην Ἡσαΐαν διαπρίσαι ξυλίνῳ χρησάμενον πρίονι»· ὁ Ἱερώνυμος (in Questionibus ad libr. Parall. cap. 33.), ὁ Χρυσόστομος (Τόμ. Ε΄. σελ. 82.), ὁ Ὠριγένης (Ἐπιστολῇ πρὸς Ἀφρικανὸν σελ. 232, καὶ Ὁμιλ. εἰς Ἡσαΐαν σελ. 625.), ὁ Ἀμβρόσιος (in Psalm. 118. serm. 12), ὁ Θεοφύλακτος (πρὸς Ἑβρ. κεφ. ιά.), ὁ Ἀνδρ. Κρήτ. (Λόγ. εἰς τὴν ὕψωσιν τοῦ Σταυροῦ). Τὸ αὐτὸ ἱστορεῖται καὶ ἐν τοῖς βίοις τῶν Προφητῶν, τοῖς τῷ μακαρίῳ Ἐπιφανίῳ ἐπιγραφομένοις· «Θνήσκει δὲ ἐπὶ Μανασσῆ τοῦ βασιλέως Ἰούδα, πρισθεὶς εἰς δύο»· ὁ δὲ Ἱερώνυμος ἀναφέρει ἐξ Ἑβραίων καὶ δύο αἰτίας τοῦ θανάτου τοῦ Ἡσαΐου· «Aiunt Hebraei, ob duas causas interfectum Jesaiam: quod principes Sodomorum et populum Gomorrae eos appellavit, et quod, Domino dicente ad Mosem, non poteris videre fasiem meam, iste ausus sit dicere: Vidi Dominum sedentem suder tronum excelsum et elevatum» (in Iesai. 1, 10.). Ἡ περὶ τοῦ πριονισμοῦ τοῦ Ἡσαΐου παράδοσις αὕτη, ἡ παρὰ τοῖς ἱεροῖς Πατράσι κοινῶς ἐπικρατήσασα, κατελήλυθεν ἐκ τῶν ἀρχαίων Ἑβραίων, παρ' οἷς ἐθεωρεῖτο αὕτη βεβαιοτάτη,

ἀπεστράφη πρὸς τὸν τοῖχον[1]), καὶ τείνας τὴν διάνοιαν ἀπὸ τῆς ςρωμνῆς εἰς τὸν οὐρανὸν (οὐ γὰρ ἐμποδίζει παχύτης τοίχων[2]) προσευχαῖς μετ᾽ εὐλαβείας ἀναπεμπομέναις), φησί· «Κύριε μνήσθητί μου» [3])· αὔταρκες γὰρ εἰς ἰατρείαν ἐμοὶ[4]) τὸ σὲ μνησθῆναί μου· οὐχ ὑποβέβλησαι χρόνοις, ἀλλ᾽ αὐτὸς εἶ τῆς ζωῆς ὁ νομοθέτης· οὐ γὰρ κατὰ γένεσιν καὶ πλοκὴν ἄστρων, ὥς τινες ματαιολογοῦσι[5]), ζῶμεν· ἀλλ᾽ αὐτὸς καὶ τοῦ ζῆν, καὶ ὅτε δεῖ ζῆν, ὡς βούλει, νομοθέτης τυγχάνεις. Καὶ ᾧ τὸ ζῆν ἀνέλπιστον διὰ τὴν προφητικὴν ἀπόφασιν ἦν[6]), τούτῳ πεντεκαιδεκαετὴς προσετίθετο χρόνος, ἡλίου παλίνδρομον, διὰ τὸ σημεῖον, ποιησαμένου τὴν πορείαν[7]). Εἶτα, διὰ μὲν τὸν Ἐζεκίαν ἥλιος

---

certissima, ὡς μαρτυρεῖ ὁ Ἱερών. Τόμ. Δ´. σελ. 546.

¹) Οὕτω κεῖται καὶ ἐν τῇ ἁγίᾳ Γραφῇ, καὶ ἐν τοῖς Κώδ. Α., Roe καὶ Casaub. Αἱ δὲ πρὸ ἡμῶν ἐκδόσεις ἔχουσιν «εἰς τὸν τοῖχον».

²) Οὕτως ἐγράψαμεν ἐκ τοῦ Κώδ. Α. Ἐν ταῖς ἐκδόσεσι πρόσκειται περιττῶς τὸ ἄρθρον «τῶν τοίχων».

³) Ἐν τῇ θείᾳ Γραφῇ κεῖται ἁπλῶς «Κύριε, μνήσθητι».

⁴) Τὸ «ἐμοὶ», ἐλλεῖπον ἐκ τῶν ἐκδόσεων, προσεθήκαμεν ἐκ τῶν τριῶν Κωδήκων Α., Roe καὶ Casaub.

⁵) Τοὺς ἀστρολόγους δηλοῖ ὁ Πατὴρ ἐνταῦθα, τοὺς ἐκ τῆς πλοκῆς καὶ φορᾶς τῶν ἀστέρων τὰ ἀνθρώπινα ἐξαρτᾶσθαι λέγοντας καὶ ἐκ τῶν ἄστρων εἰδέναι ληροῦντας, ὅτι τὸ δεῖνα μὲν παιδίον ἀνδρωθὲν ἀποβήσεται φονικὸν ἢ μοιχὸν, τὸ δεῖνα δὲ σῶφρον, εὐτυχὲς καὶ νηφάλιον. Περὶ τῆς ἀςρολογίας λέγει καὶ ὁ Μ. Βασίλ. (εἰς Ἠσαΐαν κεφ. ιγ´.)· «Χαλδαίων εὕρημά ἐστιν ἡ ἀστρολογία, ἧς φασι τὰ ὄντα ἠρτῆσθαι, καὶ οὐ τοῦ Θεοῦ· καὶ τῇ τῶν ἄστρων φορᾷ ὑποτιθέντες τὰ πράγματα, ἐκβάλλουσι πρόνοιαν τὴν οἰκονομοῦσαν τὰ τῶν ἀνθρώπων, κτλ.» Βλ. Σουΐκ. Τόμ. Α´. σελ. 562. Ἡ ψευδοεπιστήμη αὕτη ἐν μεγάλῃ ἦν ὑπολήψει κατὰ τοὺς ἀρχαίους χρόνους, καὶ σφόδρα ἐῤῥιζωμένη ὑπῆρχεν ἐν τοῖς Ἀσιατικοῖς ἔθνεσι· καὶ ἄχρι δὲ τῆς σήμερον οἱ ἀστρολόγοι ἐν τῇ Ἀσίᾳ τὰ πρῶτα φέρουσιν ἐν τῇ κοινωνίᾳ, καὶ μάλιστα ἐν ταῖς βασιλέων αὐλαῖς. Jahn. bibl. archaeolog. I. cap. 1. s. 502.

⁶) Παρεθήκαμεν τὸ «ἦν» ἐκ τῶν Κωδήκων Roe καὶ Casaub.

⁷) Τοῦ θαύματος ἐκείνου μνημονεύει ἐνταῦθα ὁ Κύριλλος, ὅπερ ἐγένετο ἐπὶ Ἐζεκίου τοῦ βασιλέως, ὡς ἱστορεῖται ἐν τῇ Δ´. Βίβλῳ τῶν Βασιλειῶν καὶ τῇ Β´. τῶν Παραλειπ. καὶ ἐν τῷ Ἡσαΐ. κεφ. λη´. Ἀσθενοῦντος δηλονότι τοῦ Ἐζεκίου καὶ δεομέ-

ὑπέστρεψε, διὰ δὲ τὸν Χριστὸν ἥλιος ἐξέλιπεν, οὐκ ἀναποδίσας, ἀλλ' ἐκλείπων, καὶ διὰ τοῦτο δείξας τὴν διαφορὰν ἑκατέρων, Ἐζεκίου λέγω καὶ Ἰησοῦ. Καὶ ὁ μὲν ἴσχυσεν ἀπόφασιν Θεοῦ λῦσαι· Ἰησοῦς δὲ οὐ χαρίζεται ἄφεσιν ἁμαρτιῶν; ἀπόστρεψον καὶ στένα-

---

νου πρὸς Θεὸν ὑπὲρ τῆς ἑαυτοῦ ὑγείας, ἦλθεν ὁ Ἡσαΐας ἀναγγέλλων ὅτι ἰάσεται αὐτὸν καὶ ἐγερεῖ ὁ Κύριος. Ἐπειδὴ δὲ ὁ Ἐζεκίας ἐζήτησε σημεῖον τῆς μελλούσης ἰάσεως, ὁ Ἡσαΐας δείξας τοῦ Ἄχαζ τὸ ἡλιακὸν ὡρολόγιον, εἶπεν αὐτῷ ἵνα ἐκλέξῃ ἢ τὴν ἐπὶ δέκα βαθμοὺς εἰς τὰ πρόσω κίνησιν τῆς σκιᾶς τοῦ ἡλίου, ἢ τὴν ἐπὶ δέκα βαθμοὺς ὀπισθοδρόμησιν αὐτῆς τῆς σκιᾶς. Ὁ Ἐζεκίας προείλετο τὸ δεύτερον, καὶ εὐθὺς ὠπισθοπόρησεν ἡ σκιὰ δέκα βαθμοὺς ἐπὶ τοῦ ὡρολογίου· «καὶ ἐπέστρεψεν ἡ σκιὰ ἐν τοῖς ἀναβαθμοῖς εἰς τὰ ὀπίσω δέκα βαθμούς». Καὶ τοιοῦτο μὲν ἱστορεῖται ἐν ταῖς ἱεραῖς δέλτοις τὸ παράδοξον τοῦτο συμβάν. Ἡμεῖς ἐῶμεν ἄθικτα ἐνταῦθα τὰ ἀναφερόμενα ζητήματα, οὐδ' ἐξετάζομεν, ποίας τινὸς φύσεως ἢ σχήματος καὶ κατασκευῆς ἦν τὸ ὡρολόγιον τοῦτο· οὐδ' ἐρευνῶμεν, ἂν εὐθέως καὶ ἐκ μιᾶς, ἢ κατὰ μικρὸν ἐγένετο ἡ ὀπισθοδρόμησις τῆς σκιᾶς· οὐδὲ φιλοκρινοῦμεν, ἂν ἐν Ἱεροσολύμοις μόνον, ἢ καὶ ἐν πάσῃ τῇ Παλαιστίνῃ, καὶ ἐν παντὶ τῷ κόσμῳ ἐγένετο ὁρατὸν καὶ ἐπαισθητὸν τὸ τεράστιον τοῦτο. Περὶ τῶν ζητημάτων τούτων παραπέμπομεν εἰς τὸν μακάριον Ἱερώνυμον (in Iesai. 38.), εἰς τὸν Κύριλλον Ἀλεξανδρείας (Τόμ. Δ'. σελ. 496.), εἰς τὸν Θεοδώρητον (Ἐρώτ. νβ'. εἰς τὴν Δ'. Βασιλ.) καὶ ἐκ τῶν νεωτέρων εἰς τὸν Καλμέτην (Dissertatio de retrogradatione solis in horologio Achaz). Ἡμεῖς ἐνταῦθα ἐξετάζομεν ἐκεῖνο μόνον τὸ ζήτημα, ὅπερ ἔχει σχέσιν πρὸς τὸν ἡμέτερον συγγραφέα. Ζητεῖται δηλαδὴ, πότερον, ἡ σκιὰ μόνον ὠπισθοδρόμησεν, ἢ καὶ ὁ ἥλιος αὐτός. Πλεῖστοι ἐκ τῶν νεωτέρων Θεολόγων ἐγκρίνουσι τὸ πρῶτον, καὶ νομίζουσιν ὅτι εἰς ἔνδειξιν θαύματος καὶ σημείου ἤρκει ἵνα ἡ σκιὰ μόνον ἡ ἐπὶ τοῦ ὡρολογίου πίπτουσα καὶ τὰς ὥρας δεικνύουσα ὀπισθοχωρήσῃ, οὐδ' ἀνάγκη ἦν οὐδεμία, ἵνα καὶ ὁ ἥλιος αὐτὸς παλίνδρομος ἐπιστρέψῃ. Ἀλλ' οἱ Πατέρες τῆς Ἐκκλησίας ἀποδέχονται τὸ δεύτερον, καὶ νομίζουσιν, ὅτι οὐχὶ μόνον ἡ σκιὰ, ἀλλὰ καὶ ἡ πορεία αὐτοῦ τοῦ ἡλίου ἤλλαξεν, ὀπισθοδρομήσασα, καὶ ἡ ἡμέρα ἐκείνη ἐγένετο μείζων τῶν ἄλλων. Ὅρα Διονύσ. Ἀρεοπ. (Ἐπιστ. Ζ'. πρὸς Πολύκαρπον), Γρηγόρ. Ναζ. (Λόγ. ΙΘ'.), Ἱερώνυμ. (in Iesai. cap. 38.), Θεοδώρητ. (Ἐρώτ. νβ'. εἰς τὴν Δ'. Βασιλ.), Αὐγουστ. (de Civit. D. 31. cap. 8.), Θεόδωρ. (εἰς Γεν. κεφ. ά.). Τούτοις συνᾴδει καὶ ὁ ἡμέ-

ξον καὶ αὐτὸς [1]), ἀπόκλεισον τὴν θύραν καὶ πρόσευξαι, ἵνα σοι ἀφεθῇ, ἵνα σου περιέλῃ τὰς φλόγας τὰς καυστικάς [2])· ἰσχύει γὰρ ἐξομολόγησις σϐέσαι καὶ πῦρ, ἰσχύει καὶ λέοντας ἡμερῶσαι.

§. 1ϛʹ. Εἰ δὲ ἀπιστεῖς, ἐννόησον τίς συγκατέϐη [3]) τοῖς περὶ τὸν Ἀνανίαν. Ποίας ἐξέχεαν πηγάς; Πόσοι ξέσται ὕδατος [4]) τὴν ἐπὶ τεσσαράκοντα ἐννέα πήχεις ἀνερχομένην φλόγα σϐέσαι ἠδύναντο; Ἀλλ᾽

τερος Κύριλλος, παλίνδρομον τὴν πορείαν πεποιηκέναι λέγων τὸν ἥλιον. Τὴν γνώμην ταύτην τῶν ἱερῶν Πατέρων θαυμασίως βεϐαιοῖ αὐτὸ τὸ θεόπνευστον κείμενον τοῦ προφήτου Ἡσαΐου, ἔχον οὕτω· « Ἰδοὺ ἐγὼ στρέψω τὴν σκιὰν τῶν ἀναϐαθμῶν, οὓς κατέϐη τοὺς δέκα ἀναϐαθμοὺς τοῦ οἴκου τοῦ πατρός σου ὁ ἥλιος, ἀποστρέψω τὸν ἥλιον τοὺς δέκα ἀναϐαθμούς. Καὶ ἀνέϐη ὁ ἥλιος τοὺς δέκα ἀναβαθμοὺς, οὓς κατέϐη ἡ σκιά».

[1]) Οὕτω κεῖται ἐν τοῖς Κώδ. Roe καὶ Casaub., καὶ ταύτην τὴν γραφὴν προειλόμεθα, ἀντὶ τῆς ἄχρι τοῦδε κειμένης ἐν ταῖς ἐκδόσεσι «ςέναξον σεαυτόν». Ἐν τῷ Κώδ. Α. «στέναξον σεαυτῷ».

[2]) Οἱ Κώδ. Roe καὶ Casaub. ἔχουσι τὴν περίοδον ταύτην οὕτω· «καὶ πρόσευξαι τῷ τὰ κρύφια καθορῶντι, ἵνα σου περιέλῃ τὰς ἑτοιμαζομένας τοῦ πυρὸς μάστιγας».

[3]) Οὕτω διωρθωσάμεθα ἐκ τοῦ Κώδ. Α. τὴν ὁπωσοῦν σκοτεινὴν φράσιν· ἀντὶ δηλονότι τοῦ «τί» ἐθήκαμεν «τίς»· πολὺ δὲ σαφέστερον τὸ «τίς συγκατέϐη» τοῦ «τί συγκατέϐη». Τὸ σαφέστερον ἦν «τί συνέϐη»· ἀλλ᾽ ἐλλειπούσης αὐθεντίας Κωδήκων, ἄθικτον τηρητέον τὸ κείμενον.

[4]) Ὁ Ξέστης, λατινιςὶ sextarius, ἦν μέτρον χωρητικὸν 20 οὐγγιῶν. 72 δὲ Ῥωμαϊκοὶ ξέσται ἀπετέλουν ἕνα ἀττικὸν Μετρητήν. Ἐὰν δὲ ὑπολογίσωμεν τὴν οὐγγίαν πρὸς 8 δραχμὰς, ὁ ξέστης ἦν ἴσος πρὸς 160 δραχμάς. Τὸ μέτρον δὲ τοῦτο ἦν συνηθέστατον ἐπὶ τῆς Ῥωμαϊκῆς ἐποχῆς, καὶ ἀναφέρουσι τοῦτο, ὡς γνωστὸν, καὶ Ἰώσηπος, καὶ Ἐπιφάνιος, καὶ ἄλλοι συχνοί. Περὶ τοῦ ξέστου φησὶν ὁ Γαληνός· «Ξέστου δὲ νομίζω μεμνῆσθαι τὸν Ἡρᾶν τοῦ Ῥωμαϊκοῦ· παρὰ μὲν γὰρ τοῖς Ἀθηναίοις οὔτε τὸ μέτρον ἦν, οὔτε τοὔνομα τοῦτο· νυνὶ δὲ, ἀφ᾽ οὗ Ῥωμαῖοι κρατοῦσι, τὸ μὲν ὄνομα τοῦ ξέστου παρὰ πᾶσίν ἐστι τοῖς ἑλληνικῇ διαλέκτῳ χρωμένοις ἔθνεσιν· αὐτὸ δὲ τὸ μέτρον οὐκ ἴσον τῷ Ῥωμαϊκῷ· χρῶνται γὰρ ἄλλοι ἄλλῳ ξεστιαίῳ μέτρῳ» (περὶ συνθέσεως φαρμάκ. ά, 16.). Ὅρα καὶ τὸν A. Boeckh (Metrologische Untersuch. 203.). Ὅρα καὶ Ἐπιφάνιον (περὶ μέτρων καὶ σταθμῶν. Τόμ. Β΄. σελ. 132).

ὅπου μεγάλως[1]) ὑπερανέβη ἡ φλὸξ, ἐκεῖ ποταμηδὸν ἐξεχύθη ἡ πίστις, καὶ ἐκεῖ ἔλεγον τὸ ἀντιφάρμακον τῶν κακῶν· «Δίκαιος εἶ, Κύριε, ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν· ἡμάρτομεν γὰρ καὶ ἠνομήσαμεν», καὶ ἡ μετάνοια ἔλυσε τὰς φλόγας. Εἰ ἀπιστεῖς ὅτι δύναται σβέσαι τὸ τῆς γεένης πῦρ ἡ μετάνοια, ἐκ τῶν περὶ τὸν Ἀνανίαν γεγενημένων μάθε. Ἀλλ' ἐρεῖ τις τῶν ὀξέως ἀκροωμένων· ἐκείνους ὁ Θεὸς δικαίως ἐῤῥύσατο τότε· διὰ τὸ μὴ θελῆσαι εἰδωλολατρῆσαι, ἔδωκεν αὐτοῖς ὁ Θεὸς τὴν δύναμιν. Ἐπειδὴ δὲ τοῦτο παρέστη, ἔρχομαι λοιπὸν ἐφ' ἕτερον τύπον μετανοίας.

§. ΙΖ'. Τίνα ὑπόνοιαν ἔχεις περὶ Ναβουχοδονόσορ[2]); Οὐκ ἤκουσας ἀπὸ τῶν Γραφῶν, ὅτι αἱμοβόρος, ἀγριώδης[3]), λεοντώδη τὴν

---

[1]) Ἐν ταῖς ἄχρι τοῦδε ἐκδόσεσιν ἀντὶ τοῦ «μεγάλως» κεῖται «ὀλίγον»· ἀλλ' ἡμεῖς προειλόμεθα, ὡς πολλῷ προσφυεστέραν, τὴν γραφὴν «μεγάλως» κειμένην ἐν τοῖς Κώδ. Roe καὶ Casaub.

[2]) Ἡ περικοπὴ αὕτη ἀπὸ τοῦ «τίνα ὑπόνοιαν ἔχεις» μέχρι τοῦ «τὸ καταπέτασμα», ἀνεγνώσθη ἐν τῇ ἑβδόμῃ Οἰκουμενικῇ Συνόδῳ, τῇ ἐν Νικαίᾳ τὸ δεύτερον συγκροτηθείσῃ· κεῖται δὲ ἐν τῇ Ε'. Πράξει αὐτῆς (τῶν ἱερ. Συνόδων δαψιλεστάτη Συλλογὴ Τόμ. Β'. σελ. 813.). Τὴν περικοπὴν ταύτην φέρουσιν εἰς μέσον οἱ Πατέρες, ἵνα κυρώσωσι τὴν ἐν τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ χρῆσιν τῶν εἰκόνων, ἀγγέλων τε καὶ ἁγίων. Ἐπειδὴ δὲ ἐν ταύτῃ εὑρίσκονται παραλλαγαί τινες λέξεων καὶ ἄλλαι διαφοραὶ, παρατίθεμεν ἐνταῦθα αὐτὸ τὸ κείμενον, ὅπως κεῖται ἐν τοῖς Πρακτικοῖς, τοῦτο μόνον σημειοῦντες, ὅτι πρὸς τὸ κείμενον τοῦτο τῶν Πρακτικῶν συνᾴδει τὸ κείμενον τῶν Κωδήκων Roe καὶ Casaub. «Τίνα γὰρ ὑπόνοιαν ἔχεις περὶ Ναβουχοδονόσορ; οὐκ ἤκουσας ἀπὸ τῶν Γραφῶν, ὅτι δυσσεβέστατος ἦν, ἀγριώτατος τὸν τρόπον, καὶ λεοντώδη τὴν προαίρεσιν ἔχων; οὐκ ἤκουσας, ὅτι τὰ ὀστᾶ τῶν βασιλέων ἐξήνεγκεν εἰς τὸ φῶς, οὐκ ἔγνως ὅτι τὸν λαὸν αἰχμάλωτον ἀπήγαγεν; οὐκ ἤκουσας, ὅτι τοὺς ὀφθαλμοὺς τοῦ βασιλέως ἐξετύφλωσε, προδείξας αὐτῷ τὰ τέκνα σφαττόμενα; οὐκ ἤκουσας, ὅτι τὰ Χερουβὶμ ἥρπασεν; οὐ λέγω τὰ νοητὰ καὶ ἐπουράνια, ἀλλὰ τὰ ἐν τῷ ναῷ κατεσκευασμένα, τὰ ἐπὶ τὸ ἱλαστήριον τῆς Κιβωτοῦ, ὧν ἀναμέσον ἐλάλει ὁ Κύριος.

[3]) Ἐν τοῖς Κώδ. Roe καὶ Casaub., ἀντὶ «αἱμοβόρος, ἀγριώδης», κεῖται «ὅτι δυσσεβέστατος ἦν, ἀγριώτατος τὸν τρόπον».

προαίρεσιν ἔχων; Οὐκ ἤκουσας ὅτι τὰ ὀστέα τῶν βασιλέων ἐκ τῶν τάφων ἐξήνεγκεν εἰς τὸ φῶς; Οὐκ ἤκουσας ὅτι τὸν λαὸν ἐξῃχμαλώτευσεν[1]); Οὐκ ἤκουσας ὅτι τοὺς ὀφθαλμοὺς τοῦ βασιλέως ἐξετύφλωσε, προϊδόντος τὰ τέκνα ἐσφαγμένα; Οὐκ ἤκουσας ὅτι τὰ Χερουβὶμ συνέτριψεν[2]); οὐ λέγω τὰ νοητά, ἄπαγε, μὴ τοῦτο ὑπολάβῃς, ἄνθρωπε, ἀλλὰ τὰ γλυπτά· ἀλλὰ τὸ ἱλαστήριον, οὗ ἀνὰ μέσον ἐλάλει ὁ Θεὸς φωνῇ. Τὸ καταπέτασμα τῆς ἁγιωσύνης κατεπάτησε· τὸ θυμιατήριον λαβὼν ἐπὶ εἰδωλεῖον ἀπήνεγκε· πάντα τὰ προσφερόμενα περιεῖλε· τὸν ναὸν ἐκ θεμελίων ἐνεπύρισε. Πόσων τιμωριῶν ἄξιος ἦν, ἐπὶ τῷ ἀνελεῖν βασιλέας, ἐπὶ τῷ ἐμπρῆσαι τὰ ἅγια, ἐπὶ τῷ αἰχμαλωτίσαι τὸν λαόν, ἐπὶ τῷ τὰ ἱερὰ σκεύη ἔνδον εἰδώλων θέσθαι; ἆρ' οὖν οὐκ ἦν θανάτων μυρίων ἄξιος;

§. ΙΗ'. Εἶδες τὸ μέγεθος τῶν κακῶν· ἐλθὲ λοιπὸν ἐπὶ τὴν τοῦ

---

[1]) Οἱ Κώδ. Roe καὶ Casaub. ἔχουσιν «αἰχμάλωτον ἀπήγαγεν»· ὁ δὲ Κώδ. Α. «ἠχμαλώτευσε».

[2]) Τέσσαρα Χερουβὶμ εὑρίσκοντο ἐν τῷ Σαλομοντείῳ ναῷ· δύο μὲν παλαιά, τὰ χρυσᾶ, τὰ ὑπὸ Βεσελεὴλ κατασκευασθέντα καὶ ἐπὶ τῶν ἄκρων τοῦ ἱλαστηρίου τεθέντα (Ἔξοδ. λζ'. 7, 8.)· ἕτερα δὲ δύο μεγάλα καὶ κολοσσαῖα, ἅπερ ὁ Σαλομὼν ἐποίησε καὶ ἐν τῷ Δαβὶρ ἔθηκεν (Γ'. Βασιλ. 5, 23.). Ἐξ ὧν δὲ παρακατιὼν λέγει ὁ Κύριλλος δείκνυσιν, ὅτι Χερουβὶμ λέγων ἐννοεῖ οὐχὶ τὰ τοῦ Σαλομῶντος, ἀλλὰ τὰ τοῦ Μωϋσέως, τὰ ἐπὶ τῆς Κιβωτοῦ καὶ τοῦ ἱλαστηρίου καθιδρυμένα· ἀλλ' ἡ γνώμη αὕτη τοῦ ἱεροῦ Πατρὸς δυσχερῶς συμβιβάζεται πρὸς τὴν δευτέραν βίβλον τῶν Μακκαβαίων (κεφ. 2.), ἔνθα ἱστόρηται ὅτι ὁ προφήτης Ἱερεμίας λαβὼν ἀπέκρυψε καὶ διέσωσε τήν τε σκηνὴν καὶ τὴν Κιβωτὸν ἐκ τῆς διαρπαγῆς ἐκείνης. Οὐ μόνος δὲ ὁ Κύριλλος διαφωνῶν φαίνεται ἐν τούτῳ, ἀλλὰ καὶ ἄλλοι ἐκ τῶν Πατέρων συνῳδὰ τῷ Κυρίλλῳ ἁρπαγῆναι τήν τε Κιβωτὸν καὶ τὰ λοιπὰ ἱερὰ σκεύη ὑπὸ τοῦ Ναβουχοδονόσορος λέγουσιν· οἷον Ἰσίδωρος ὁ Πηλουσιώτης (βιβλ. Α'. Ἐπις. ΟΓ'.)· «Τῆς ἁγίας Κιβωτοῦ οὐκ ἐφείσατο, ἀλλ' ἐξέδοτο ταύτην τῆς ἀλλοφύλοις σὺν ἱερεῦσιν αὐτοῖς ἀνομήσασι, καὶ πόλιν ἁγιάσματος, καὶ Χερουβὶμ δόξης, καὶ στολήν, καὶ προφητείαν, καὶ χρίσμα, καὶ δήλωσιν, εἰς καταπάτημα καὶ μιασμὸν ἐπέδοτο ἔθνεσι». Κύριλ. Ἀλεξανδρ. εἰς Ἀββακοὺμ β', 17.)· «Προσεμπρήσας τῇ πόλει τὸν θεῖον ναόν· ἦλα δὲ καὶ αὐτὰ τὰ περίπυστα ἅγια».

Θεοῦ φιλανθρωπίαν. Ἀπεθηριώθη[1]), ἐν τῇ ἐρήμῳ διέτριβεν, ἐμαστιγοῦτο ἵνα σωθῇ. Εἶχεν ὄνυχας ὡς λέων· ἁρπακτικὸς γὰρ ἦν τῶν ἁγίων. Εἶχε τρίχας λεόντων· λέων γὰρ ἦν ἁρπάζων καὶ ὠρυόμενος. Χόρτον ὡς βοῦς ἤσθιε· κτῆνος γὰρ ἦν, οὐκ εἰδὼς τὸν δεδωκότα τὴν βασιλείαν. Ἐβάφη τὸ σῶμα αὐτοῦ ἀπὸ τῆς δρόσου· ἐπειδὴ προϊδὼν κατασβεσθὲν ὑπὸ τῆς δρόσου τὸ πῦρ, οὐκ ἐπίστευσε[2]). Καὶ τί γίνε-

---

[1]) Οὕτως ἐγράψαμεν ἐκ τῶν Κωδ. Α., Roe καὶ Casaub., ἀντὶ τοῦ ἐν ταῖς ἐκδόσεσι κειμένου «Ἐπεθηριώθη».

[2]) Ἐκ τῆς βίβλου τοῦ Δανιὴλ ἐρανισάμενος ὁ Πατὴρ ἐκτίθησι ταῦτα. Τὸ θεόπνευστον κείμενον ἔχει οὕτω· «Αὐτῇ τῇ ὥρᾳ ὁ λόγος συνετελέσθη ἐπὶ Ναβουχοδονόσορ, καὶ ἀπὸ τῶν ἀνθρώπων ἐξεδιώχθη, καὶ χόρτον ὡς βοῦς ἤσθιε, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἐβάφη, ἕως αἱ τρίχες αὐτοῦ ὡς λεόντων ἐμεγαλύνθησαν, καὶ οἱ ὄνυχες αὐτοῦ ὡς ὀρνέων» (Δαν. δ', 30.). Σημείωσαι, ὅτι πολλαὶ ἀνεφύησαν γνῶμαι περὶ τῆς μεταμορφώσεως ταύτης τοῦ βαβυλωνίου μονάρχου. Ὁ Ὠριγένης, ὡς ἔθος αὐτῷ καὶ ἐν ἄλλοις, ἐξέλαβεν ἀλληγορικῶς καὶ τὸ ἱστόρημα τοῦτο (εἰς Δανιὴλ Δ'.), καὶ διϊσχυρίσατο, ὅτι ὑπὸ τὸ ὄνομα τοῦ Ναβουχοδονόσορος ἐννοεῖ ὁ Προφήτης τὸν Ἑωσφόρον, τὸν ἐκ τοῦ οὐρανοῦ πεσόντα· πολλὰ δὲ παρατίθησιν εἰς ὑποστήριξιν τῆς ἰδίας γνώμης· ἀλλ' οὐδεὶς ἐνταῦθα τόπος ἀλληγορίας, ὅπου τοσοῦτον καθαρῶς καὶ ῥητῶς διαγράφεται τοῦ παραδόξου τούτου συμβεβηκότος ἡ ἱστορία. Ἄλλοι ἐνόμισαν, ὅτι κατὰ τὴν μορφὴν μόνον μετεβλήθη ὁ Ναβουχοδονόσορ εἰς κτῆνος, τοῦ πνεύματος καὶ τοῦ λογικοῦ μείναντος ἀμεταβλήτου καὶ ἀταράχου· ἄλλοι εἶπον τὸ ἀνάπαλιν. Τὰς γνώμας ταύτας εὑρίσκεις ἐκτεθειμένας εἰς πλάτος παρὰ τῷ Καλμέτῃ (dissertatio de metamorphosi Nabuchodonosoris). Ἡμεῖς οὐδὲν ἔχομεν εἰπεῖν πλέον, ἢ ὅσα εἶπεν ὁ μακάριος Θεοδώρητος· «Ὡς γὰρ φρενοβλαβείᾳ καὶ παραπληξίᾳ καὶ φρενήτιδι νόσῳ περιπεσὼν καὶ μεμηνὼς καὶ κορυβαντιῶν καὶ κατὰ πάντων λυττῶν ἀναγκαίως δεσμὰ περιέκειτο· ἀλλ' ὅμως οὐδὲ ταῦτα ἦν ἱκανὰ ἔνδον αὐτὸν κατέχειν, ἀλλὰ δραπετεύων ἐν ἐρήμοις διέτριβεν, ὑπαίθριος ταλαιπωρῶν, καὶ κτηνῶν δίκην τὴν πόαν σιτούμενος. — Οὐ μόνον δὲ ὡς βοῦς ἤσθιε τὸν χόρτον, ἀλλὰ καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἐβάφη· ὑπαίθριος γὰρ ταλαιπωρῶν, καὶ γυμνῷ τῷ σώματι κρυμῷ τε προσπαλαίων καὶ φλογμῷ, ἀναγκαίως ἑτέραν ἐδέξατο χροιὰν, ἕως οὗ αἱ τρίχες αὐτοῦ ὡς λεόντων ἐμεγαλύνθησαν, καὶ οἱ ὄνυχες αὐτοῦ ὡς ὀρνέων· μὴ ἀποκειρόμενος γὰρ συνή-

ται; «Μετὰ ταῦτα, φησὶν, ἐγὼ Ναβουχοδονόσορ τοὺς ὀφθαλμούς μου εἰς τὸν οὐρανὸν ἀνέλαβον, καὶ τὸν Ὕψιστον ηὐλόγησα, καὶ τῷ ζῶντι εἰς τοὺς αἰῶνας ᾔνεσα καὶ ἐδόξασα». Ὅτε τοίνυν ἐπέγνω τὸν Ὕψιστον, καὶ τὰς εὐχαριστηρίους φωνὰς ἀνέπεμψε τῷ Θεῷ, καὶ ἦλθεν εἰς μεταμέλειαν ὧν διεπράξατο, καὶ ἐπέγνω τὴν οἰκείαν ἀσθένειαν, τότε ὁ Θεὸς ἀποδίδωσιν αὐτῷ τὴν τιμὴν τῆς βασιλείας.

§. ΙΘ΄. Τί οὖν; τῷ μὲν Ναβουχοδονόσορ τοιαῦτα διαπραξαμένῳ καὶ ἐξομολογησαμένῳ, δέδωκε τὴν συγχώρησιν καὶ τὴν βασιλείαν· σοὶ δὲ μετανοοῦντι οὐ δίδωσι τὴν ἄφεσιν τῶν ἁμαρτημάτων καὶ τὴν τῶν οὐρανῶν βασιλείαν, ἐὰν ἐπαξίως πολιτεύσῃ; Φιλάνθρωπος ὁ Κύριος καὶ ταχὺς εἰς συγχώρησιν, βραδὺς δὲ εἰς τιμωρίαν. Μηδεὶς οὖν ἀπελπίσῃ τῆς ἑαυτοῦ σωτηρίας. Πέτρος ὁ κορυφαιότατος καὶ πρωτοστάτης τῶν Ἀποστόλων ἐπὶ παιδισκαρίου ἠρνήσατο τρὶς τὸν Κύριον, ἀλλὰ μεταμεληθεὶς ἔκλαυσε πικρῶς· τὸ δὲ κλαῦσαι τὴν μετάνοιαν τὴν ἐγκάρδιον παρίστησι· καὶ διὰ τοῦτο οὐ μόνον ἔλαβε τὴν ἄφεσιν ἐπὶ τῇ ἀρνήσει, ἀλλὰ γὰρ καὶ τὸ ἀποστολικὸν ἀξίωμα ἔσχεν ἀναφαίρετον[1]).

θως, μηδὲ ἀφαιρούμενος τῶν ὀνύχων τὰ περιττὰ, ἀναγκαίως ἐν τοσούτῳ χρόνῳ τοιαύτας ἔσχηκε καὶ τρίχας καὶ ὄνυχας» (εἰς Δανιὴλ κεφ. δ΄.). Περὶ τῆς μεταβολῆς καὶ μετανοίας τοῦ Ναβουχοδονόσορος ὅρα καὶ Τερτυλλιαν. (de poenitentia cap. 12.), Χρυσόστομ. (Τόμ. ΣΤ΄. σελ. 261—264.), Ἐπιφάν. (Τόμ. Β΄. σελ. 242.).

[1]) Ἐξ ὅλων τῶν περὶ μετανοίας ἐν τῇ Κατηχήσει ταύτῃ δεδηλωμένων, καὶ δὴ καὶ ἐκ τοῦ τελευταίου τούτου παραδείγματος, γίνεται κατάδηλον, πόσον ἐξηπατήθησαν οἱ Ναυατιανοὶ, οἱ καὶ Καθαροὶ λεγόμενοι, νομίσαντες ὅτι οὐδεμία σωτηρία τοῖς παραπεπτωκόσι μετὰ τὸ βάπτισμα. Τὴν πλάνην ταύτην ἄρδην ἀνατρέπει καὶ ἐκριζοῖ ἡ παροῦσα Κατήχησις, τὴν μεγάλην τῆς μετανοίας δύναμιν ἐκδιδάσκουσα, καὶ τὴν διὰ μετανοίας ἐξάλειψιν παντὸς ἁμαρτήματος δογματίζουσα, καὶ πᾶσαν ἀπόγνωσιν ἀπὸ πάσης ψυχῆς φυγαδεύουσα. Περὶ δὲ τῶν Καθαρῶν ἐκείνων, τῶν τὴν μετάνοιαν ἀναιρούντων, ὅρα Ἐπιφάν. (Τόμ. Α΄. σελ. 493.), Θεοδώρητον (Αἱρετ. κακομυθ. γ΄, 5.), τὸν η΄. Κανόνα τῆς Α΄. Οἰκουμενικῆς Συνόδου, Χρυσόστομον (Τόμ. ΙΒ΄. σελ. 266). Ὁ Χρυσοῤῥήμων διδάσκαλος ἔχει καὶ Ὁμιλίαν ὅλην κατὰ τῶν Καθαρῶν (Τόμ. ΙΒ΄. σελ. 499.).

§. Κ'. Ἔχοντες οὖν, ἀδελφοὶ, πολλοὺς τύπους τῶν ἁμαρτησάντων, καὶ μετανοησάντων, καὶ σωθέντων, προθύμως καὶ αὐτοὶ ἐξομολογήσασθε τῷ Κυρίῳ, ἵνα καὶ τὴν συγχώρησιν λάβητε τῶν προγεγενημένων ἁμαρτημάτων, καὶ τῆς ἐπουρανίου δωρεᾶς καταξιωθῆτε, καὶ τὴν ἐπουράνιον κληρονομήσητε βασιλείαν μετὰ πάντων τῶν ἁγίων· ἐν Χριστῷ Ἰησοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Η ΑΥΤΗ ΔΕΥΤΕΡΑ ΚΑΤΗΧΗΣΙΣ

ΚΑΤΑ ΔΙΑΦΟΡΟΥΣ ΚΩΔΗΚΑΣ [1]).

Ἐν Ἱεροσολύμοις, περὶ μετανοίας [2]) καὶ ἀφέσεως ἁμαρτιῶν· καὶ περὶ Ἀντικειμένου· καὶ ἀνάγνωσις ἐκ τοῦ προφήτου Ἰεζεκιὴλ [3])· «Ζῶ ἐγὼ, λέγει [4]) Κύριος, ὅτι οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς ἐπιστρέψαι καὶ ζῇν αὐτὸν», καὶ τὰ ἑξῆς.

§. Α'. Δεινὸν ἡ ἁμαρτία, καὶ νόσος χαλεπωτάτη τῆς ψυχῆς ἡ παρανομία· ὑποτέμνουσα μὲν τὰ νεῦρα ταύτης, καὶ πυρὸς αἰωνίου γιγνομένη παραίτιος· κακὸν αὐτεξούσιον· καὶ ὅτι αὐτοπροαιρέτως

---

[1]) Ἐπειδὴ τὸ κείμενον τῆς δευτέρας ταύτης Κατηχήσεως, ἐν τοῖς Κώδηξι μάλιστα Roe, Casaub., Coisl. καὶ Ottob., διαφέρει τοῦ προηγουμένου, ὁ Τουτέος, λαβὼν τοὺς τέσσαρας τούτους Κώδηκας, ὧν οἱ μὲν δύο πρῶτοι διαφέρουσι τῶν ἐκδόσεων ἐν ἀρχῇ καὶ ἐν τέλει, οἱ δὲ δύο ἕτεροι ἐν τῷ μέσῳ, καὶ τὸ κείμενον, ὡς ἔχει ἐν τοῖς δύο Κώδ. Roe καὶ Coisl., εἰς ἓν συνάψας, προσέθηκεν ἐν μὲν τῷ πρώτῳ τὰς διαφορὰς τοῦ Κώδ. Casaub., ἐν δὲ τῷ δευτέρῳ τὰς τοῦ Ottob. Κώδηκος, τινὰς δὲ καὶ ἐκ τῶν ἐκδόσεων· ὅπου δὲ οὐδεμίαν εἶχε Κωδήκων αὐθεντίαν, ἐχρήσατο ἰδίαις εἰκασίαις· ἐνιαχοῦ δὲ προσέθηκε καὶ ἐκ τοῦ Β' καὶ Γ'. Ottob. διαφόρους τινὰς γραφάς. Τὸ ἐφ' ἡμῖν, ἐκδίδομεν ἐνταῦθα τὸ κείμενον μετὰ τῶν διαφορῶν ἀπαραλλάκτως ὡς ἔχει παρὰ Τουτέῳ.

[2]) Ἐν τοῖς Κώδ. «καὶ περὶ μετανοίας»· ἀλλ' ὁ Τ. ἐξωβέλισε τὸν «καὶ», ὡς περιττόν.

[3]) Ἰεζ. λγ'. 11.

[4]) Ἐν τῇ τῆς Ῥώμης ἐκδόσει

ἁμαρτάνομεν, λέγει που σαφῶς ὁ Προφήτης· «Ἐγὼ δὲ ἐφύτευσά σε ἄμπελον καρποφόρον πᾶσαν ἀληθινήν· πῶς ἐστράφης εἰς πικρίαν, ἡ ἄμπελος ἡ ἀλλοτρία»; Ἡ φυτεία καλή, ἧς ὁ καρπὸς[1]) ἐκ προαιρέσεως κακός· καὶ διὰ τοῦτο ὁ φυτουργὸς μὲν ἀναίτιος, ἡ δὲ ἄμπελος κατακαυθήσεται πυρί· ἐπειδὴ εἰς ἀγαθὸν ἐφυτεύθη, καὶ εἰς κακὸν ἐκαρποφόρησεν. «Ἐποίησε γὰρ ὁ Θεὸς τὸν ἄνθρωπον εὐθῆ, κατὰ τὸν Ἐκκλησιαστὴν[2]), καὶ αὐτοὶ ἐζήτησαν λογισμοὺς πολλούς»· καὶ ὁ Ἀπόστολος δέ φησιν· «Αὐτοῦ γάρ ἐσμεν ποίημα, κτισθέντες ἐπὶ τοῖς ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν[3]) ὁ Θεός, ἵνα ἐν αὐτοῖς περιπατήσωμεν»[4]). Ὁ μὲν οὖν Κτίστης, ἀγαθὸς ὤν, ἐπὶ ἀγαθοῖς ἔκτισεν· τὰ δὲ καλῶς κτισθέντα ὑπ' αὐτοῦ, εἰς πονηρίαν ἐτράπη αὐτοπροαιρέτως. Δεινὸν ἡ ἁμαρτία, ἀλλ' οὐκ ἀθεράπευτον· δεινὸν τῷ κατέχοντι, εὐίατον[5]) τῷ πιστεύοντι. Ὑπόθου μοι κατέχειν ἐν χειρί τινα τὸ πῦρ· ἕως κατέχῃ[6]), φλέγει ὁ ἄνθραξ· ἀπόθου τὸν ἄνθρακα, συναπέθου τὸ φλέγον. Εἰ δέ τις νομίζει μὴ κατακαίεσθαι ἁμαρτάνων, τούτῳ λέγει ἡ Γραφή· «Ἀποθήσει τις πῦρ ἐν κόλπῳ, τὰ δὲ ἱμάτια οὐ κατακαύσει»[7]); Καὶ ἡ ἁμαρτία[8]) τὰ νεῦρα τῆς ψυχῆς ὑποτέμνεται, συντρίβει τὰ ὀστᾶ τῆς διανοίας, ἐπικαλύπτει τὸ φωτεινὸν τῆς ψυχῆς.

§. Β΄. Ἀλλ' ἐρεῖ τις· τί ποτέ ἐστιν ἡ ἁμαρτία; ζῶόν ἐστιν; ἄγγελός ἐστιν; δαίμων ἐστί; τί ἐστι τὸ ἐνεργοῦν; Οὐκ ἔστιν ἐχθρὸς

τῶν Ο΄. ἔχει οὕτω· «τάδε λέγει Κύριος, οὐ βούλομαι τὸν θάνατον τοῦ ἀσεβοῦς, ὡς ἀποστρέψαι τὸν ἀσεβῆ ἀπὸ τῆς ὁδοῦ αὐτοῦ, καὶ ζῆν αὐτόν».

[1]) Οὕτως ἐν τῷ Κώδ. Roe· ἀλλ' ἐν τῷ Κώδ. Casaub. λείπει τὸ «ἧς», ὡσαύτως καὶ ὁ «καὶ» πρὸ τοῦ «διὰ τοῦτο». Ἐν τῷ Β΄. Ottob. ἔχει οὕτως· «Ἡ φυτεία καλή, ὁ καρπὸς ἐκ προαιρέσεως κακός· διὰ τοῦτο ὁ φυτουργὸς κτλ.»

[2]) Ἐκκλησιαστ. ζ΄. 30.

[3]) Οἱ λόγοι οὗτοι τοῦ Ἀποστόλου Παύλου κεῖνται καὶ ἐν τῷ Β΄. Ottob.

[4]) Ἐφεσ. β΄. 10.

[5]) Οὕτω, μέχρι τοῦ «ὑπόθου μοι», κεῖνται καὶ ἐν τῷ Β΄. Ottob.

[6]) Ἐν τῷ Γ΄. Ottob. τὸ χωρίον ἔχει οὕτω· «ἕως κατέχει, φλέγει ὁ ἄνθραξ. Ἀπέθου τὸν ἄνθρακα, καὶ συναπέθου τὸ φλέγον».

[7]) Παροιμ. ς΄, 27.

[8]) Ἐν τῷ Α΄. καὶ Γ΄. Ottob. ἔχει οὕτω· «Καίει γὰρ ἡ κτλ.» ἄνευ τοῦ

ἔξωθεν ἐπεισαγόμενος[1]), ἀλλὰ[2]) βλάστημα κακὸν αὐξάνον ἀπὸ σοῦ. «Ὀρθὰ[3]) βλέπε τοῖς ὄμμασί σου»[4]), καὶ οὐκ ἔστιν ἐπιθυμία. Κάτεχε τὰ σὰ, καὶ μὴ αἶρε τὰ ἀλλότρια· καὶ ἁρπαγὴ κεκοίμηται. Μνημόνευε τῆς κρίσεως, καὶ οὔτε πορνεία, οὔτε μοιχεία, οὔτε φόνος ἰσχύει παρὰ σοί· ὅταν δὲ ἐπιλάθῃ τοῦ Θεοῦ, τότε λοιπὸν ἄρχῃ[5]) πηγάζειν πηγὰς κακῶν.

§. Γ'. Οὐ μόνον δὲ τούτου σὺ[6]) ἀρχηγὸς εἶ, ἀλλὰ καὶ ἄλλος ὑποβολεὺς ἀρχηγὸς, ὁ Διάβολος. Ὑποβάλλει πᾶσιν ἐκεῖνος, ἀλλ' οὐκ ἐπικρατεῖ τῶν μὴ πειθομένων. Διὰ τοῦτο λέγει ὁ Ἐκκλησιαστής· «Ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σὲ, τόπον σου μὴ ἀφῇς»[7]). Ἀπόκλεισον τὴν θύραν, καὶ μάκρυνον ἀπὸ σοῦ, καὶ οὐ βλάψει σε. Ἐὰν δὲ δέξῃ[8]) τὸ σπέρμα τῆς ἐπιθυμίας, αὔξει διὰ τῶν λογισμῶν[9]), ῥίζας βάλλει, ἐκδεσμεῖ σου τὴν διάνοιαν, εἰς βόθρον σε φέρει[10]) κακῶν. Ἀλλὰ πολλάκις λέγεις· Πιστός εἰμι, καὶ οὐ περιγίνεταί μου δαίμων. Καὶ πέτραν[11]) ἔῤῥηξεν πολλάκις ῥίζα εὑρεθεῖσα. Μὴ δέξαι τὸν σπόρον, ἐπεὶ διαῤῥήσσει τὴν πίστιν· πρὶν ἀνθήσῃ, πρόῤῥιζον ἔξελε τὸ κακόν· μὴ ῥᾳθυμήσας ἐξ ἀρχῆς[12]), πέλυκας ὕστερον καὶ πῦρ πολυ-

---

«ὑποτέμνεται». Ἐν δὲ τῷ Β'. Ottob. κεῖται οὕτω· «Καίει γὰρ ἡ ἁμαρτία τὰ νεῦρα τῆς ψυχῆς, καὶ συντρίβει τὰ νοητὰ τῆς διανοίας ὀστέα, καὶ σκοτοῖ τὸ φωτεινὸν τῆς καρδίας».

[1]) Οὕτω κεῖται ἐν τῷ Γ'. Ottob.

[2]) Ταῦτα καὶ τὰ ἀκόλουθα, μέχρι τοῦ «ἄρχῃ πηγάζειν», ἐλλείπουσιν ἐκ τοῦ Ottob. Κώδηκος.

[3]) Καὶ ὁ Γ'. Ottob. ἔχει «ὀρθά».

[4]) Παροιμ. δ'. 25.

[5]) Αἱ λέξεις «λοιπὸν ἄρχῃ» μέχρι τοῦ «ὁ διάβολος» ἔχουσιν οὕτω καὶ ἐν τῷ Γ'. Ottob.

[6]) Ἐν τῷ Coisl. Κώδ. ἡμαρτημένως «τοῦτό σοι»· ἀλλ' ὁ Τ. διορθώσας τοῦτο ἐκ τοῦ Γ'. Ottob. Κώδ., προσέθηκεν ἐκ τοῦ αὐτοῦ Κώδηκος καὶ τὸ ῥῆμα «εἶ».

[7]) Ἐκκλησιαστ. ί. 4.

[8]) Οὕτω κεῖνται αἱ λέξεις αὗται, ὡς καὶ αἱ ἀκόλουθοι μέχρι τοῦ «πιςός εἰμι», καὶ ἐν τῷ Γ'. Ottob. Κώδ.

[9]) Ὁ Τ. ἀκολουθεῖ ἐνταῦθα τὸν Ottob. Κώδηκα· ὁ δὲ Coislin. Κώδηξ ἔχει «αὔξει τὸν λογισμόν».

[10]) Ἐκ τοῦ Coisl. Κώδ. ἐλλείπει τὸ «σε».

[11]) Ἐν τῷ Β'. Ottob. Κώδ. ἔχει οὕτως· «Ἀλλὰ καὶ πέτραν ἔῤῥηξε πολλάκις ῥίζα εὑρεθεῖσα».

[12]) Τὰς λέξεις «ῥᾳθυμήσας ἐξ ἀρ-

πραγμονῆς[1]). Ἀρχόμενος ὀφθαλμιᾷν θεραπεύου κατὰ καιρὸν μικρὸν, ἵνα μὴ τυφλωθήσῃ, καὶ τότε ζητήσῃς[2]) τὸν ἰατρόν.

§. Δ΄. Ἀρχηγὸς μὲν οὖν ἁμαρτίας ὁ Διάβολος, γεννήτωρ τῶν κακῶν. Τοῦτο δὲ[3]) Ἰησοῦς εἶπεν ὁ Κύριος, οὐκ ἐγώ· αὐτὸς εἶπεν περὶ αὐτοῦ· «Ὅτι ἀπ᾽ ἀρχῆς ὁ Διάβολος ἁμαρτάνει»[4])· πρὸ αὐτοῦ ἥμαρτεν οὐδείς. Ἥμαρτεν, οὐκ ἐκ φύσεως τὸ ἁμαρτάνειν λαβὼν, ἐπεὶ ἀνατρέχει ἡ ἁμαρτία εἰς τὸν κατασκευάσαντα· ἀλλ᾽ ἀγαθὸς κατασκευασθεὶς, Διάβολος γέγονεν, ἐκ τῆς πράξεως λαβὼν τὴν προσηγορίαν. Ἀρχάγγελος ὢν, Διάβολος ἐκλήθη ἀπὸ τοῦ διαβάλλειν· ἀγαθὸς ὢν Θεοῦ ὑπηρέτης, γέγονεν Σατανᾶς· ὁ γὰρ Σατανᾶς τὸ Διάβολον ἑρμηνεύει. Οὐκ ἐμὰ ταῦτα τὰ διδάγματα, ἀλλὰ ὠφελήθημεν παρὰ Ἰεζεκιήλ. Ἐκεῖνος λαβὼν θρήνους ἐπ᾽ αὐτὸν, λέγει[5])· «Σὺ ἀποσφράγισμα ὁμοιώματος, ἐν τῷ Παραδείσῳ τοῦ Θεοῦ ἐγεννήθης»· καὶ μετ᾽ ὀλίγα· «Ἐγεννήθης ἄμωμος ἐν ταῖς ἡμέραις σου, ἄχρις οὗ εὑρέθη τὰ ἀδικήματα ἐν σοί». Οὐκ ἔξωθεν ἐπεισηνέχθη[6])· ἐγέννησας τὸ κακόν. «Καὶ διὰ τὰς ἁμαρτίας σου ἐτραυματίσθης, καὶ ἐπὶ τὴν γῆν ἔῤῥιψά σε». Ὁ Κύριος πάλιν ἐν Εὐαγγελίοις λέγει· «Ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα ἐπὶ τὴν γῆν[7])». Βλέπεις Παλαιᾶς συμφωνίαν πρὸς Καινήν; Οὗτος πεσὼν συναπέστησεν πολλούς· οὗτος ἐκβάλλει τὰς ἐπιθυμίας τοῖς πειθομένοις· ἐκ τούτου μοιχεία, πορνεία, καὶ πᾶν εἴ τι κακόν. Διὰ τοῦτον ὁ προπάτωρ ἡμῶν ἐκ παρακοῆς πέπτωκεν, καὶ ἀντὶ Παραδείσου αὐτομάτως φέροντος καρποὺς, ἀκανθοφόρον ἔσχεν γῆν.

§. Ε΄. Τί οὖν; ἐρεῖ τις· ἀπολώλαμεν; ἡ ἁμαρτία δεινὸν, καὶ οὐκ ἔστι σωτηρία; πεπτώκαμεν, καὶ οὐκ ἔστιν ἀναστῆναι; ἐτυφλώθημεν,

---

χῆς» προσέθηκεν ὁ Τ. ἐκ τοῦ Ottob. Κώδηκος.

[1]) Ἐν τῷ Coisl. Κώδηκι κεῖται «πολυπραγμονεῖ»· ἀλλ᾽ ὁ Τ. μετέβαλεν αὐτὸ εἰς τὸ «πολυπραγμονῇς».

[2]) Ἐν τῷ Coisl. Κώδ. κεῖται «τυφλωθείσῃ» καὶ «ζητήσεις».

[3]) Αἱ λέξεις «τοῦτο δὲ» ἐλλείπουσιν ἐκ τοῦ Coisl. Κώδηκος, ἀλλὰ κεῖνται ἐν τῷ Α΄. καὶ Γ΄. Ottob., ἐν ᾧ καὶ ἅπασα ἡ φράσις οὕτως ἔχει.

[4]) Α΄. Ἰωάν. γ΄. 8.

[5]) Ἰεζεκ. κή. 12.

[6]) Οὕτω διώρθωσεν ὁ Τ. τὸ ἐν τῷ Coisl. Κώδηκι «ἐπισυνήχθη».

[7]) Λουκ. ί. 8.

καὶ οὐκ ἔστιν ἀναβλέψαι; χωλοὶ γεγόναμεν, καὶ οὐκ ἔστιν ἀρτιποδῆσαι; ἵνα ἄρτι τὸ σύντομον εἴπωμεν, ἀπεθάνομεν, οὐκ ἔστιν ἀναστῆναι; Ἆρα ὁ τὸν Λάζαρον τετραήμερον ἐγείρας τὸν ὀδωδότα, οὐ δύναται ἀναστῆσαι; ὁ τὸ τίμιον αἷμα ὑπὲρ ἡμῶν ἐκχέας, οὐ δύναται ἡμᾶς ῥύσασθαι τῆς ἁμαρτίας; Μὴ ἀπογνῶμεν ἑαυτούς, ἀδελφοί, μὴ ῥίψωμεν ἑαυτούς· ὥσπερ τι δεινόν ἐστι μὴ πιστεύειν εἰς μετάνοιαν. Ὁ μὴ προσδοκῶν γὰρ τὴν σωτηρίαν, προστίθησι τὰ κακά· ὁ δὲ τὴν ἰατρείαν ἐλπίσας, εὐμαρῶς λοιπὸν ἑαυτοῦ φείδεται. Ληστὴς ὁ μὴ δωρεὰν προσδοκῶν, εἰς ἀπόνοιαν αὔξει· ἐλπίσας δέ, εἰς μετάνοιαν χωρεῖ πολλάκις. Εἶτα ὄφις μὲν ἀποτίθεται τὸ γῆρας, ἡμεῖς δὲ οὐκ ἀποτιθέμεθα τὴν ἁμαρτίαν; Καὶ ἀκανθώδης γεωργηθεῖσα γῆ εἰς καρποφόρον μετέβαλεν, ἡμεῖς δὲ διδασκόμενοι οὐ βελτιωσόμεθα; Ἐπιδέχεται ἡ φύσις τὴν σωτηρίαν, ζητεῖ δὲ τὴν προαίρεσιν.

§. Ϛʹ. Φιλάνθρωπος ὁ Θεός, φιλάνθρωπος δὲ οὐκ ὀλίγον. Μὴ εἴπῃς· ἐπόρνευσα, ἐμοίχευσα, τὰ δεινά μοι πέπρακται· ἆρα συγχωρήσει ὁ Θεός; Ἄκουε τί λέγει ὁ Ψαλμῳδός· «Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε»[1])! Οὐ νικᾷ σου τὰ συναχθέντα ἁμαρτήματα τὸ πλῆθος τῶν οἰκτιρμῶν τοῦ Θεοῦ· οὐ νικᾷ σου τὰ τραύματα τὴν ἰατρικὴν ἐμπειρίαν. Δὸς μόνον σεαυτὸν διὰ πίστεως· λέγε τῷ ἰατρῷ τὴν κάκωσιν, εἰπὲ καὶ αὐτὸς κατὰ τὸν Δαβίδ· «Εἶπα· ἐξαγορεύσω κατ᾽ ἐμοῦ τὴν ἁμαρτίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου»[2]).

§. Ζʹ. Θέλεις ἰδεῖν Θεοῦ φιλανθρωπίαν, εἰ τοῖς ῥητοῖς τῆς Γραφῆς οὐ πάνυ πιστεύεις, νεωστὶ εἰσελθὼν εἰς τὴν Κατήχησιν; Θέλεις ἰδεῖν ἄλλους οὕτως σωθέντας, ἵνα πιστεύσῃς, ὅτι καὶ ἐπὶ σοῦ δυνατὸν[3]) οὕτω γενέσθαι; θέλεις ἰδεῖν Θεοῦ φιλανθρωπίαν πολλήν; Παρήκουσεν Ἀδὰμ ὁ πρωτόπλαστος[4]) Θεοῦ. Οὐκ ἠδύνατο εὐθέως ἐπαγαγεῖν τὸν θάνατον; ἀλλ᾽ ὁ φιλανθρωπότατος[5]) ἐκβάλλει μὲν τοῦ Πα-

---

[1]) Ψαλμ. λʹ. 20.

[2]) Ψαλμ. λά. 5.

[3]) Ἐν τῷ Ottob. Κώδηκι «δύναται».

[4]) Ἡ λέξις «πρωτόπλαστος» ἐλλείπει ἐκ τοῦ Coisl· Κώδηκος.

[5]) Ἐν τῷ Coisl. Κώδηκι «φιλάνθρωπος».

ραδείσου, κατέναντι δὲ κατοικίζει, ἵνα βλέπων ἐκ μετανοίας σωθῇ. Κάϊν ἀδελφοκτόνος, εὑρετὴς τῶν κακῶν, ἀρχηγὸς τῶν φόνων, φθονερὸς πρῶτος καὶ ἀνελὼν, τί καταδικάζεται; «Στένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς» [1]). Μέγα τὸ ἁμάρτημα, μικρὰ ἡ τιμωρία.

§. Η΄. Φιλανθρωπία μὲν ἀληθῶς, ἀλλ' ἔτι μικρά· Λόγισαι τὰ ἐπὶ Νῶε. Ἥμαρτον οἱ γίγαντες παρανομίᾳ τοσαύτῃ, ὥστε [2]) κατακλυσμὸς ἔμελλεν ἔρχεσθαι. Τῷ πεντακοσιοστῷ ἔτει λέγει τῷ Νῶε, τῷ ἑξακοσιοστῷ ἐπάγει τὸν κατακλυσμὸν ἐπὶ τὴν γῆν. Βλέπεις πλάτος φιλανθρωπίας Θεοῦ εἰς ἑκατὸν ἔτη ἐπιτεινόμενον; Ὅπερ ἐποίησε τότε, παραχρῆμα οὐκ ἠδύνατο ποιῆσαι; ἀλλ' ἐπίτηδες παρέτεινεν, ἔνδοσιν διδοὺς μετανοίας. Βλέπεις Θεοῦ ἀγαθότητα; Εἴθε μετενόησαν οἱ τότε! καὶ ἐτύγχανον Θεοῦ φιλανθρωπίας.

§. Θ΄. Ἐλθὲ λοιπὸν καὶ ἐπὶ τοὺς ἄλλους τοὺς ἐκ μετανοίας σωθέντας, κἂν ἐν γυναιξίν. Ἐπόρνευσας, ἐμόλυνας [3]) τὸ σῶμα, ἄχρηστος γέγονας· ἆρα ἔστι σωτηρία; ἐρεῖς. Ἀπόβλεψον, ὦ γύναι, εἰς τὴν Ῥαὰβ, καὶ θάρσησον εἰς τὴν σωτηρίαν. Ἡ φανερῶς καὶ δημοσίᾳ πορνεύσασα σώζεται. Πῶς ἐσώθη ἐκείνη; Ἐπίστευσεν· εἶπεν μόνον· «Ὁ Θεὸς ὑμῶν, ὁ Θεὸς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς» [4]). Ὁ Θεὸς ὑμῶν· ἑαυτῆς γὰρ οὐκ ἐτόλμησεν εἰπεῖν διὰ τὴν ἀσέλγειαν. Μίμησαι τὴν πίστιν, καὶ δέξαι τὴν σωτηρίαν. Καὶ θέλεις γνῶναι, ὅτι ἐσώθη; ἀνάγραπτόν ἐστιν ἐν Ψαλμοῖς· «Μνησθήσομαι Ῥαὰβ καὶ Βαβυλῶνος» [5]). Ὢ μεγάλης Θεοῦ βουλῆς καὶ φιλανθρωπίας, καὶ πορνῶν μνημονευούσης ἐν Γραφαῖς! ἀλλ' οὐχ ἁπλῶς, «Μνησθήσομαι Ῥαὰβ καὶ Βαβυλῶνος», ἀλλά, «τοῖς γινώσκουσί με». Ἔστι καὶ ἐπὶ ἀνδρῶν σωτηρία καὶ ἐπὶ γυναικῶν.

§. Ι΄. Κἂν ὁλόκληρος λαὸς ἁμάρτῃ, οὐ νικᾷ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν. Ἐμοσχοποίησεν ὁ λαὸς, καὶ οὐκ ἀπέστη ὁ Θεὸς τῆς φιλαν-

---

[1]) Γέν. δ΄. 12.

[2]) Τὸ «ὥστε» προσετέθη ὑπὸ τῶν ἐκδοτῶν τῆς ἐν Παρισίοις ἐκδόσεως (1857), ὡς τῆς ἐννοίας, ὡς λέγουσιν, ἀπαιτούσης αὐτό.

[3]) Ἐν τῷ Ottob. Κώδηκι κεῖται οὕτως· «ἐπόρνευσα, ἐμοίχευσα, ἐμόλυνα».

[4]) Ἰησ. β΄. 11.

[5]) Ψαλμ. πέ. 14.

θρωπίας· ἠρνήσαντο οἱ ἄνθρωποι Θεὸν, ἀλλ' ὁ Θεὸς αὐτὸν[1]) οὐκ ἠρνήσατο. «Οὗτοι οἱ θεοὶ τοῦ Ἰσραὴλ»[2])· καὶ πάλιν ὁ Θεὸς τοῦ Ἰσραὴλ ὁ σωτήρ. Καὶ οὐ μόνος ὁ λαὸς ἥμαρτεν, ἀλλὰ καὶ Ἀαρὼν ὁ ἀρχιερεύς. Μωϋσῆς ἐστιν ὁ λέγων· «Καὶ ἐπὶ Ἀαρὼν ἐγένετο ὀργὴ Κυρίου, καὶ ἐδεήθην[3]), φησὶν, ὑπὲρ αὐτοῦ, καὶ συνεχώρησεν αὐτῷ ὁ Θεός»[4]). Μωϋσῆς δυσωπεῖ τὸν Θεὸν ὑπὲρ ἀρχιερέως, καὶ Υἱὸς μονογενὴς αἰτῶν οὐ δυσωπεῖ τὸν Θεόν; Εἶτα τὸν Ἀαρὼν πταίσαντα οὐκ ἐκώλυσεν εἰσελθεῖν εἰς ἀρχιερωσύνην, σὲ δὲ ἐξ ἐθνῶν ἐλθόντα κωλύσει ἐλθεῖν εἰς σωτηρίαν; μετανόησον καὶ αὐτὸς ὁμοίως, καὶ οὐ κεκώλυταί σοι ἡ χάρις. Ἄληπτόν σου παράστησον τὸν τρόπον· φιλάνθρωπος γὰρ ἀληθῶς ὁ Θεὸς, καὶ οὐ δύναται ὁ πᾶς χρόνος ἐξειπεῖν τὴν τοῦ Θεοῦ φιλανθρωπίαν· οὐδ' ἂν πᾶσαι αἱ γλῶσσαι συνέλθωσιν[5]) ὁμοῦ, οὐδὲ μέρος τῆς τοῦ Θεοῦ φιλανθρωπίας διηγήσασθαι δυνήσονται. Ἡμεῖς δὲ λέγομεν μέρος τῶν γεγραμμένων, ἀλλ' οὐκ οἴδαμεν ὅσα καὶ ἀγγέλοις συνεχώρησεν· συγχωρεῖ γὰρ κἀκείνοις, ἐπειδὴ εἷς μόνος ἀναμάρτητος ὁ τὰς ἁμαρτίας καθαρίσας[6]). Καὶ περὶ μὲν ἐκείνων αὔταρκες, ἡμεῖς δὲ λοιπὸν τὰ περὶ ἡμῶν[7]).

§. ΙΑ'. Θέλεις σοι καὶ ἄλλους τύπους μετανοίας παραστήσω[8]); θέλεις ἐλθεῖν καὶ ἐπὶ τὸν Δαβίδ; θέλεις ἰδεῖν τὸν[9]) μακάριον; λάβε τύπον μετανοίας. Ἐξέπεσεν ὁ μέγας. Μετὰ κοίτην, τὸ δειλινὸν περιπατῶν ἐπὶ τοῦ δώματος, εἶδεν ἀδιαφόρως, καὶ ἔπαθεν ἀνθρώπινον. Ἐτελέσθη ἡ ἁμαρτία, ἀλλ' οὐ συναπέθανεν ἡ εὐγνωμοσύνη. Ἦλθεν Ναθὰν ὁ προφήτης ἔλεγχος, ταχὺς ἰατρός· «Ὠργίσθη, φησὶν, ὁ Θεὸς,

---

[1]) Ἐν τῷ Coisl. Κώδηκι κεῖται «αὐτῶν».

[2]) Ἔξοδ. λβ'. 4.

[3]) Ὁ Coisl. Κώδηξ ἔχει «ἐδεήθη», ὅπερ ὁ Τ. μετέβαλεν εἰς τὸ «ἐδεήθην».

[4]) Δευτερ. θ'. 20.

[5]) Οὕτω κεῖται ἐν τῷ Ottob. Κώδηκι· ὁ δὲ Coisl. ἔχει «ἔλθωσιν».

[6]) Ὁ Coisl. Κώδηξ ἔχει «καθαρρήσας».

[7]) Ὁ Coisl. Κώδ. ἔχει «ὑμῶν».

[8]) Ὁ Coisl. Κώδ. ἔχει «σοὶ παραστήσω».

[9]) Οὕτως ἐκ τοῦ Ottob. Κώδηκος· ἀλλ' ὁ Coisl. Κώδ. ἔχει· «ἐλθεῖν καὶ ἐπὶ τὸν κτλ.».

καὶ ἥμαρτες» [1]). Τῷ βασιλεύοντι ὁ ἰδιώτης ἔλεγεν· βασιλεὺς ὁ πορφυροφόρος οὐκ ἐπήρθη· οὐ γὰρ προσεῖχε τῷ λαλοῦντι, ἀλλὰ τῷ ἀποστείλαντι· οὐκ ἐτύφλωσεν αὐτὸν τὸ περιεστὼς στῖφος τῶν στρατιωτῶν· ἔβλεπε γὰρ τὸν ἀγγελικόν· «Τὸν γὰρ ἀόρατον ὁρῶν ἐκαρτέρησεν» [2]). Καί φησιν τῷ ἐλθόντι, δι' ἐκείνου τῷ ἀποστείλαντι ἀποκρινόμενος· «Ἡμάρτηκα τῷ Κυρίῳ». Βλέπεις βασιλέως ταπεινοφροσύνην; βλέπεις ἐξομολόγησιν; Μὴ γὰρ ᾔδει, εἰ ἦν ἔλεγχος [3]); μὴ γὰρ ᾔδεισαν οἱ πολλοί; Ὀξέως ἐπράχθη τὸ πρᾶγμα, οὐ προφήτης παρῆν, ἔλεγχος οὐ παρῆν· κἀκεῖνος ὁμολογεῖ τὸ κακόν. Ἐπειδὴ εὐγνωμόνως ὡμολόγησεν, ὀξυτάτην ἔσχε τὴν ἰατρείαν. Καὶ πάλιν [4]) Ναθὰν ὁ ἐλέγξας· «Καὶ Κύριος παρεβίβασε τὴν ἁμαρτίαν σου». Βλέπεις ὀξυτάτην θυμοῦ μεταβολήν; «Πλὴν παροξύνων παρώξυνας τοὺς ἐχθροὺς Κυρίου». Πολλοὺς ἔσχες τοὺς ἐχθρούς [5]), ἀλλ' ἐφρούρει σε ἡ σωφροσύνη· νῦν δὲ παρώξυνας διὰ τὴν γενομένην ἁμαρτίαν.

§. ΙΒ'. Ἀλλ' εἰ καὶ μάλιστα ἐκεῖνος εἶπεν, «Παρεβίβασε Κύριος τὸ ἁμάρτημά σου», οὐκ ἀπέστη τῆς μετανοίας ὁ βασιλεύς· περιεβάλετο σάκκον ἀντὶ πορφύρας, ἀντὶ χρυσοκολλήτων θρόνων ἐπὶ σποδοῦ καὶ γῆς καθήμενος, ἀλλὰ καὶ σποδὸν ἔχων βρῶσιν, καθὼς αὐτός φησιν· «Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον» [6]). Ἐξέτηξεν δάκρυσιν τὸν ἐπιθυμητὴν ὀφθαλμόν. Οἱ ἄρχοντες παρεκάλουν φαγεῖν ἄρτον, καὶ οὐκ ἐπείθετο· εἰς ἑβδόμην ὁλόκληρον ἡμέραν παρέτεινε τὴν νηστείαν. Βασιλεῖς οὕτως ἐξομολογοῦνται, σὺ ὁ ἰδιώτης οὐκ ὀφείλεις ἐξομολογεῖσθαι; Καὶ μετὰ τὴν τοῦ Ἀβεσσαλὼμ ἐπανάστασιν, πολλῶν οὐσῶν ὁδῶν τῆς φυγῆς, διὰ τοῦ ὄρους τῶν Ἐλαιῶν φεύγει, μονονουχὶ τὸν Λυτρωτὴν ἐπικαλούμενος. Καταρωμένου αὐτὸν τοῦ Σεμεΐ, λέγει· «Ἄφετε αὐτόν, ὅπως ἐπίδῃ ὁ Θεὸς ἐπὶ τὴν ταπείνωσίν μου» [7]).

---

[1]) Β'. Βασιλ. ιβ'. 10.

[2]) Ἑβρ. ια'. 27.

[3]) Ἐν τῷ Ottob. Κώδηκι. «ἐλεγχθείς».

[4]) Οὕτως ὁ Ottob. Κώδηξ· ἀλλ' ὁ Coisl. ἔχει «ἁπλῆν».

[5]) Ὁ Ottob. Κώδ. ἔχει· «ἐχθρούς σου».

[6]) Ψαλμ. ρα'. 10.

[7]) Β'. Βασιλ. ις'. 10. 11.

§. ΙΓ΄. Βλέπεις, ὅτι καλὸν τὸ ἐξομολογήσασθαι; βλέπεις, ὅτι ἔστι σωτηρία; Καὶ Σολομῶν ἐκπέπτωκεν· ἀλλά φησιν, τί καὶ λέγει· «Ὕστερον ἐγὼ μετενόησα»[1]). Καὶ ὁ Ἀχαὰβ γέγονε παρανομώτατος, εἰδωλολάτρης, ἐξαίσιος, ὁ προφητοκτόνος, ὁ ἀλλότριος τῆς εὐσεβείας, ἀλλοτρίων ἀγρῶν ἐπιθυμητής· ἀλλ' ὅτε τὸν Ναβουθαὶ ἀπέκτεινεν, ἐλθόντος Ἡλίου τοῦ προφήτου, καὶ μόνον ἐπαπειλήσαντος, περιεβάλετο σάκκον, καὶ ἔῤῥηξε τὰ ἱμάτια· καὶ τί φησιν ὁ φιλάνθρωπος Θεός; «Ἑώρακας πῶς κατενύγη Ἀχαὰβ ἀπὸ προσώπου μου»[2]); Μονονουχὶ ἡμεροῖ τὸ διάπυρον τοῦ Προφήτου συγκαταβῆναι· «Οὐκ ἐπάξω γὰρ, φησὶ, τὴν κακίαν ἐν ταῖς ἡμέραις αὐτοῦ». Καὶ μετὰ τὴν ἄφεσιν οὐκ ἀπέστη[3]) τῆς πονηρίας[4])· καὶ συνεχώρει ὁ συγχωρῶν, οὐκ ἀπιδὼν τὸ μέλλον, ἀλλὰ τῷ προσκαίρῳ τὸ δέον ἀποδιδούς. Δικαίου γὰρ δικαστοῦ ἐστι πρὸς ἕκαστον τῶν γεγενημένων δικαίως ἀποκρίνασθαι.

§. ΙΔ΄. Πάλιν ὁ Ἱεροβοὰμ εἱστήκει ἐπὶ τοῦ θυσιαστηρίου. Ξηρὰ γίνεται αὐτοῦ ἡ χεὶρ, ἐπειδὴ ἐκέλευσεν συλληφθῆναι τὸν Προφήτην. Αὐτῇ τῇ πείρᾳ ἐπιγνοὺς τὴν ἐνέργειαν τοῦ ἐλθόντος, λέγει· «Δεήθητι τοῦ Κυρίου, καὶ κατασταθῇ ἡ χείρ μου»[5]). Διὰ τὸ εἰπεῖν τὸν Ἱεροβοὰμ, «Δεήθητι», ἰάσατο ὁ Προφήτης· σὲ ἄρα ὁ Χριστὸς οὐ δύναται ἰάσασθαι; Γέγονε καὶ Μανασσῆς παρανομώτατος, ὁ τὸν Ἡσαΐαν πρίσας· τί τούτου παρανομώτατον; Αἰχμάλωτος ἀπῆλθεν εἰς Βαβυλῶνα, ἐπάξια παθὼν τῆς[6]) αὐτοῦ προαιρέσεως ὑπὸ τῶν ἐχθρῶν. Ἀλλὰ τί λέγει ἡ Γραφή; «Ἐταπεινώθη Μανασσῆς, καὶ ἐξωμολογήσατο τῷ Κυρίῳ, καὶ εἰσήκουσε Κύριος, καὶ ἐπανήγαγεν αὐτὸν εἰς τὴν βασιλείαν»[7]). Ὁ τὸν Προφήτην πρίσας διὰ μετανοίας ἐσώθη, καὶ σὺ τῇ μετανοίᾳ ἀπιστεῖς;

§. ΙΕ΄. Βούλεσθε γνῶναι τὸ ἰσχυρὸν τοῦτο τῆς σωτηρίας ὅπλον,

---

[1]) Παροιμ. κδ΄. 32.

[2]) Γ΄. Βασιλ. κά. 27.

[3]) Ἐν τῷ Ottob. Κώδ. κεῖται «πάλιν οὐκ ἀπέστη».

[4]) Οὕτως ἐν τῷ Ottob. Κώδηκι· ἀλλ' ὁ Coisl. ἔχει «πονηρίαν».

[5]) Γ΄. Βασιλ. ιγ΄. 6.

[6]) Οὕτως ἐν τῷ Ottob. Κώδηκι· ἀλλ' ὁ Coisl. ἔχει «παθὼν ὑπὸ τῆς».

[7]) Β΄. Παραλειπ. λγ΄. 12. 13.

πόσον ἐξομολόγησις ἰσχύει καὶ κατὰ τῶν πολεμίων; Ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας Ἐζεκίας δι' ἐξομολογήσεως ἐτρέψατο. Καὶ τοῦτο ἔτι[1]) δὲ μικρόν· ἀπόφασιν Θεοῦ ἔλυσε διὰ μετανοίας. Νοσήσαντι γὰρ αὐτῷ Ἡσαΐας φησίν· «Ἀποθνήσκεις σὺ, καὶ οὐ ζήσῃ»[2]). Ποία ἐλπὶς, ποία σωτηρία ἢ προσδοκία, τοῦ Προφήτου λέγοντος; Ἀλλ' οὐκ ἀπέστη τῆς μετανοίας· ἀλλὰ μεμνημένος τοῦ γεγραμμένου, «Ὅταν ἀποστραφεὶς[3]) στενάξῃς, τότε σωθήσῃ»[4]), ἀπεστράφη εἰς τὸν τοῖχον, καὶ τείνας τὴν διάνοιαν διὰ τῆς προσευχῆς εἰς τὸν οὐρανὸν, «Κύριε, φησὶν, μνήσθητί μου»[5])· αὔταρκες γὰρ εἰς ἰατρείαν τὸ σὲ μνησθῆναί μου. Οὐχ ὑποβέβλησαι χρόνοις, ἀλλ' αὐτὸς εἶ τῆς ζωῆς νομοθέτης· οὐ γὰρ κατὰ γένεσιν καὶ πλοκὴν ἄστρων ζῶμεν, ἀλλ' ὅτε βούλει. Καὶ ᾧ τὸ ζῆν εἰς ἀπελπισίαν περιέστη, τούτῳ πεντεκαιδεκαετὴς χρόνος εἰς ζωὴν προσετέθη· καὶ τὸ σημεῖον, δέκα ἀναβαθμοὺς ὁ ἥλιος ὑπέστρεψε. Διὰ δὲ τὸν Ἰησοῦν ὁ ἥλιος ἐξέλειψεν, οὐκ ἀναποδίσας, ἀλλ' ἐκλιπὼν, καὶ δείξας τὴν διαφορὰν ἑκατέρων. Καὶ ὁ μὲν ἴσχυσεν ἀπόφασιν Θεοῦ λῦσαι, Ἰησοῦς δὲ οὐ χαρίζεται ἄφεσιν[6]) ἁμαρτιῶν; Ἀπόστρεψον καὶ στέναξον καὶ αὐτός· ἀπόκλεισον τὴν θύραν· πρόσευξαι ἵνα σοι ἀφεθῇ, ἵνα σου περιέλῃ τὰς φλόγας τὰς καυστικάς· ἰσχύει γὰρ ἐξομολόγησις σβέσαι καὶ πῦρ, ἰσχύει καὶ λέοντας ἡμερῶσαι.

§. ΙϚʹ. Εἰ δὲ ἀπιστῇς, ἐννόησον τί συγκατέβη ποτὲ τοῖς περὶ τὸν Ἀνανίαν. Εἰς τὴν κάμινον τοῦ πυρὸς ποίας ἀνέῤῥηξαν πηγάς; πόσον ὕδατος μέτρον τὴν ἐπὶ τεσσαράκοντα ἐννέα πήχεις ἀνερχομένην φλόγα σβέσαι δυνατὸν ἦν; Ἀλλ' ὅπου μεγάλως ἡ φλὸξ ὑπερανέβη, ἐκεῖ πηγὴ μετανοίας ἐξεχύθη πολλὴ, λεγόντων αὐτῶν· «Ὅτι δίκαιος

---

[1]) Οὕτως ἐκ τοῦ Ottob. Κώδηκος· ἀλλ' ὁ Coisl. ἔχει· «Καὶ τοῦτό ἐστι τὸ μικρόν».

[2]) Δ'. Βασιλ. κ'. 1.

[3]) Οὕτως ἔγραψεν ὁ Τ., καίτοι ἐν μὲν τῷ Coisl. Κώδηκι κεῖται «ἀποστραφῇς», ἐν δὲ τῷ Ottob. «ἐπιστραφῇς», παρὰ δὲ τῷ Θεοδωρήτῳ (εἰς Ψαλμ. ρη'. 76)· «ὅταν ἀποστραφῇς καὶ στενάξῃς».

[4]) Ἡσαΐ. λ'. 15.

[5]) Δ'. Βασιλ. κ'. 3.

[6]) Ἐν τῷ Coisl. Κώδ. κεῖται «ἀπόφασιν».

εἴ ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν»[1])· καὶ «Ἡμάρτομεν, καὶ ἠνομήσαμεν, καὶ ἠδικήσαμεν»[2]). Εἶτα τὰς μὲν καμίνου φλόγας ἔπαυσεν[3]) ἡ μετάνοια, ἀπιστεῖς δὲ, ὅτι δύναται καὶ τὸ τῆς γεέννης ἀποσβέσαι πῦρ; Ἀλλὰ ἐρεῖ μοί τις τῶν ὀξέως ἀποκρινομένων, ὅτι τοῖς παροῦσιν ἀνοίκειος ἡ διήγησις· διὰ γὰρ τὸ μὴ θελῆσαι τοὺς περὶ τὸν Ἀνανίαν εἰδωλολατρῆσαι, τὴν παράδοξον δύναμιν ἔδωκεν ὁ Θεός. Συμπεριφερόμενος δὲ τῷ τοιούτῳ, καὶ τὸ τῶν ὑποδειγμάτων ὁρῶν δαψιλὲς, ἔρχομαι λοιπὸν καὶ ἐφ' ἕτερον τύπον μετανοίας.

§. ΙΖ'. Τίνα[4]) γὰρ ὑπόνοιαν ἔχεις περὶ Ναβουχοδονόσορ; Οὐκ ἤκουσας ἀπὸ τῶν Γραφῶν, ὅτι δυσσεβέστατος ἦν, καὶ ἀγριώτατος τὸν τρόπον, καὶ λεοντώδη τὴν προαίρεσιν ἔχων; οὐκ ἤκουσας, ὅτι τὰ ὀστέα[5]) τῶν βασιλέων ἐκ τῶν τάφων ἐξήνεγκεν εἰς τὸ φῶς[6]); οὐκ ἔγνως, ὅτι τὸν λαὸν αἰχμάλωτον ἀπήγαγεν; οὐκ ἤκουσας, ὅτι τοὺς ὀφθαλμοὺς τοῦ βασιλέως ἐξετύφλωσε, προδείξας αὐτῷ τὰ τέκνα σφαττόμενα; οὐκ ἤκουσας, ὅτι τὰ Χερουβὶμ ἥρπασεν, οὐ λέγω τὰ νοητὰ καὶ ἐπουράνια, ἀλλὰ τὰ ἐν τῷ ναῷ κατεσκευασμένα, τὰ ἐπὶ τὸ ἱλαστήριον τῆς Κιβωτοῦ, ὧν ἀνάμεσον ἐλάλει ὁ Κύριος; οὗτος ὁ Ναβουχοδονόσορ τὸ καταπέτασμα τῆς ἁγιωσύνης κατέσπασε, τὸ θυσιαστήριον[7]) ἀνέτρεψε, καὶ λαβὼν τὰ σκεύη πάντα εἰς εἰδωλεῖον ἀπήνεγκεν· αὐτὸν τὸν ναὸν ἐνέπρησε. Πόσων ἦν τιμωριῶν ἄξιος, ἐπὶ τῷ ἀνελεῖν βασιλέας, ἐπὶ τῷ ἐμπρῆσαι τὰ ἅγια, ἐπὶ τῷ τὸν λαὸν αἰχμαλωτῆσαι[8]), ἐπὶ τῷ τὰ ἱερὰ σκεύη ναοῖς εἰδώλων ἐναποθέσθαι; ἆρ' οὐκ ἦν μυρίων θανάτων ἄξιος;

§. ΙΗ'. Ἀλλ' εἶδες τὸ μέγεθος αὐτοῦ τῶν κακῶν· ἐλθὲ λοιπὸν

---

[1]) Δαν. γ'. 27.

[2]) Δαν. θ'. 5. 15.

[3]) Ἐν τῷ Κώδ. Casaub. «ἔλυσεν».

[4]) Τὰς λέξεις ταύτας μέχρι τοῦ «ἐλάλει ὁ Κύριος» ἀναφέρει ἡ Ζ'. Οἰκουμεν. Σύνοδος Πράξ. ἑ. κατὰ λέξιν σχεδὸν, ὅπως κεῖνται ἐνταῦθα.

[5]) Ἡ Ζ'. Οἰκουμεν. Σύνοδος· «τὰ ὀστᾶ τῶν βασιλέων ἐξήνεγκεν κτλ.».

[6]) Ἐν τῇ Ζ'. Οἰκουμεν. Συνόδῳ λείπει τὸ, «τό».

[7]) Ἐν τῷ Κώδ. Casaub. «τὸ θυμιατήριον».

[8]) Ἴσως «αἰχμαλωτίσαι».

ἐπὶ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν. Ἀπεθηριώθη λοιπὸν ὁ θηριώδη καὶ ὠμοτάτην ἔχων τὴν προαίρεσιν· ἀπεθηριώθη δὲ οὐχ ἵνα ἀπόληται, ἀλλ' ἵνα διὰ μετανοίας σωθῇ. Ὄνυχας ἔσχεν τῶν ὀρνέων· ἁρπακτικὸς γὰρ ἦν τῶν ἁγίων. Τρίχας ἔσχεν ὡς λέοντος· ὡς γὰρ «λέων ἁρπάζων» ἦν «καὶ ὠρυόμενος»[1]. «Χόρτον ἤσθιεν ὡς βοῦς»[2]· κτηνώδης γὰρ ἦν, οὐκ εἰδὼς τὸν δεδωκότα τὴν βασιλείαν. «Ἐβάφη αὐτοῦ τὸ σῶμα ἀπὸ τῆς δρόσου»[3]· ἐπειδὴ μετὰ τὸ γενέσθαι τὸ μέσον τῆς καμίνου τοῖς περὶ τὸν Ἀνανίαν ὡς πνεῦμα δρόσου διασυρίζον, ἰδὼν οὐκ ἐπίστευσεν. Ἀλλ' ὕστερον μετανοεῖ σωφρονισθείς, ὥς φησιν αὐτός· «Ἐγὼ Ναβουχοδονόσορ τοὺς ὀφθαλμούς μου εἰς τὸν οὐρανὸν ἀνέλαβον, καὶ τὸν Ὕψιστον ηὐλόγησα, καὶ τῷ ζῶντι εἰς τοὺς αἰῶνας ᾔνεσα»[4]. Καὶ ἐπειδὴ πολυετῶς μαστιγωθεὶς ἦν, ᾔνεσεν εἰς τοὺς αἰῶνας τῷ ζῶντι, καὶ ὡμολόγησεν τὸν τὴν βασιλείαν δεδωκότα, καὶ ἐπέγνω τὸν βασιλέα τῶν βασιλευόντων. Καὶ πολλὰ μὲν τοῖς πράγμασιν ἁμαρτὼν, λόγοις δὲ μόνον ἐξομολογούμενος, τῆς ἀφάτου φιλανθρωπίας τοῦ Θεοῦ ἀπήλαυσεν. Ὁ καὶ πάντων παρανομώτατος, θείᾳ κρίσει καὶ φιλανθρωπίᾳ τοῦ παιδεύοντος, πάλιν μὲν τὸ βασιλικὸν περιέθετο διάδημα, πάλιν δὲ τοὺς ἀρχοντικοὺς ἀπέλαβε θρόνους.

§. ΙΘ'. Εἴ τις οὖν ἐν ὑμῖν ἐξ ἐθνῶν, ἢ εἰς χριστιανοὺς βλασφημήσας ποτὲ, ἢ Ἐκκλησίαις ἁγίαις ἐν διωγμοῖς ἐπιβουλεύσας πάρεστιν, ἐχέτω τῆς σωτηρίας ὑπογραμμὸν τὸν Ναβουχοδονόσορ· ἐξομολογείσθω παραπλησίως, ἵνα καὶ τῆς ἀμνηστίας τῆς ὁμοίας τύχῃ. Εἴ τις ἐπιθυμῶν ἐμολύνθη πάθεσιν, τὴν τοῦ μακαρίου Δαβὶδ ἀναλαμβανέτω μετάνοιαν. Εἴ τις ἠρνήσατο κατὰ Πέτρον, ὑπεραποθνησκέτω πάλιν ὑπὲρ τοῦ Κυρίου Ἰησοῦ. Ὁ γὰρ ἐκείνῳ[5] κλαύσαντι τῆς ἀποστολῆς μὴ βασκήνας, οὐδέ σοι φθονήσει τῶν εὐαγγελικῶν μυστηρίων. Καὶ γυναιξὶ μὲν ὑπογραμμὸς ἔστω εἰς σωτηρίαν ἡ Ῥαάβ, ἀνδράσι δὲ τὸ λεχθὲν τῶν παλαιῶν ἀνδρῶν ποικίλον ὑπόδειγμα.

---

[1]) Ψαλμ. κά. 14.
[2]) Δαν. δ'. 31.
[3]) Δαν. δ'. 33.
[4]) Δαν. δ'. 31.
[5]) Οὕτως ἐν τῷ Κώδ. Roe· ἀλλ' ἐν τῷ Casaub. «ἐκεῖνος».

§. Κ'. Πάντες δὲ εἰς τὴν Θεοῦ φιλανθρωπίαν ἀποβλέποντες, εὐέλπιδες γίνεσθε [1]· οὐχ ἵνα τοῖς αὐτοῖς πάλιν ἁμαρτήμασιν περιπίπτωμεν, ἀλλ' ἵνα τῆς λυτρώσεως ἀπολαύσαντες, καὶ τῆς χάριτος ἄξια πράξαντες, τὸ καθ' ἡμῶν χειρόγραφον ἀγαθοεργίαις ἐξαλεῖψαι δυνηθῶμεν· τῇ δυνάμει τοῦ Μονογενοῦς, τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ ἡ δόξα τῷ Πατρὶ, σὺν τῷ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[1]) Οὕτως ἔγραψεν ὁ Τ. τὸ ἐν τοῖς Κώδηξι κείμενον «γίνεσθαι».

ΚΑΤΗΧΗΣΙΣ Γ΄.

ΦΩΤΙΖΟΜΕΝΩΝ

Ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα, περὶ βαπτίσματος· Καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Ῥωμαίους· «ἢ ἀγνοεῖτε ὅτι ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς θάνατον», καὶ τὰ ἑξῆς·

§. Α΄. Εὐφραίνεσθε οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ, διὰ τοὺς μέλλοντας ὑσσώπῳ ῥαντίζεσθαι, καὶ καθαρίζεσθαι ὑσσώπῳ τῷ νοητῷ, τῇ δυνάμει τοῦ κατὰ τὸ πάθος ὑσσώπῳ καὶ καλάμῳ ποτισθέντος[1]). Καὶ αἱ μὲν οὐράνιαι δυνάμεις χαιρέτωσαν· αἱ δὲ μέλλουσαι

---

[1]) Δυσὶ γραφικοῖς χωρίοις ἐνταῦθα ἐχρήσατο ὁ Πατὴρ, ἵνα δηλώσῃ τὴν καθαρτικὴν χάριν καὶ δωρεὰν τοῦ ἁγίου Βαπτίσματος· τὸ μὲν πρῶτόν ἐστι τὸ τοῦ Ν΄. Ψαλμοῦ, τὸ δὲ δεύτερον ἐκ τοῦ Εὐαγγελιστοῦ Ἰωάννου ΙΘ΄. 29. Ἔστι δὲ ὁ ὕσσωπος βοτάνη θερμαντικὴ, ῥυπτικὴ καὶ καθαρτικὴ, ἣν βάπτοντες ἐν τῷ αἵματι ἐῤῥάντιζον οἱ ἱερεῖς τοῦ παλαιοῦ νόμου τοὺς καθάρσεως δεομένους (Λευΐτ. ΙΔ΄. 6. Ἑβρ. Θ΄. 19.). Πρὸς τὸν ὕσσωπον παρομοιάζεται ἡ ἐνέργεια τοῦ ἁγίου Πνεύματος, ἅ τε θερμαντικὴ καὶ πάντα τὸν ἐν ἡμῖν ῥύπον ἀποσμήχουσα. Περὶ τοῦ ὑσσώπου διαλαμβάνουσι πλεῖστοι Ἐκκλησιαστικοὶ συγγραφεῖς· οἷον Ὠριγένης (Ὁμιλ. Ε΄. εἰς Λευΐτ.), Ἀθανάσιος (εἰς Ψαλμ. Ν΄. ἐν τῇ σειρᾷ τῶν Πατέρων εἰς τοὺς Ψαλμ.), Θεόδωρος Ἡρακλεώτης (εἰς Ψαλμ. Ν΄. αὐτόθι), Γρηγόριος Θεολόγος (Λόγ. Μ΄.), Θεοδώρητος (Ἐρωτ. ΙΘ΄. καὶ εἰς Ψαλμ. Ν΄.), Εὐθύμιος Ζιγαβηνὸς (εἰς Ψαλμ. Ν΄.), Ἱερώνυμος (adversus Iovinianum libr. I. cap. 6.),

ψυχαὶ τῷ νοητῷ νυμφίῳ συνάπτεσθαι παρασκευαζέσθωσαν· «Φωνὴ γὰρ βοῶντος ἐν τῇ ἐρήμῳ· ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου»· τὸ γὰρ πρᾶγμα οὐ μικρὸν, οὐδὲ σωμάτων ἐστὶ συνήθης καὶ[1]) ἄκριτος συμπλοκὴ, ἀλλὰ Πνεύματος, τοῦ τὰ πάντα ἐρευνῶντος, ἡ κατὰ πίστιν ἐκλογή· αἱ μὲν γὰρ κατὰ τὸν κόσμον ἐπιγαμίαι καὶ συνθῆκαι οὐ πάντως γίνονται κατὰ κρίσιν, ἀλλ', ὅπου δ' ἂν ᾖ πλοῦτος ἢ κάλλος, ἐκεῖ ταχέως ἐπένευσεν ὁ νυμφίος· ὧδε δὲ, οὐχ ὅπου σωμάτων ἐστὶ

• Αὐγουστῖνος (in Psalm. L.). Δύο δὲ εὑρίσκομεν χρήσεις τοῦ ὑσσώπου ἐν τῇ ἁγίᾳ Γραφῇ· ά.) ὡς ῥάντιστρον, καθὼς δηλονότι χρώμεθα τὴν σήμερον τῷ βασιλικῷ ἐν τοῖς ἁγιασμοῖς. Ἡ χρῆσις αὕτη τοῦ ὑσσώπου εὕρηται καὶ ἐν τῇ Ἐξόδῳ (ιβ'. 22.), ἔνθα εἴρηται· «Λείψεσθε δέσμην ὑσσώπου, καὶ βάψαντες ἀπὸ τοῦ αἵματος τοῦ παρὰ τὴν θύραν, καθίξετε τῆς φλιᾶς». Περὶ τούτου φησὶν ὁ ἱερὸς Θεοδώρητος· (εἰς Ψαλμ. Ν'.)· «Ὑσσώπῳ γὰρ ἐν Αἰγύπτῳ τὸ αἷμα τοῦ προβάτου ταῖς φλιαῖς ἐπιῤῥάναντες, τοῦ ὀλοθρεύοντος τὰς χεῖρας διέφυγον»· β'.) τὸν καυλὸν ἢ τὸ ἔρνος τοῦ φυτοῦ τούτου εὑρόντες οἱ σταυρωταὶ, ἐχρήσαντο ὡς καλάμῳ, εἰς οὗ τὸ ἄκρον ἐπιθέντες τὸν σπόγγον, προσήνεγκαν τῷ Δεσπότῃ (Ἰωάν. ΙΘ'. 28.). Οὕτως ἡρμήνευσε τὸ «ὑσσώπῳ περιθέντες» καὶ Εὐθύμιος ὁ Ζιγαβηνὸς (εἰς Ἰωάν. ΙΘ'. 29.)· «Ὑσσώπῳ δὲ περιθέντες, εἴτουν, ὑσσώπου καλάμῳ, προχείρως εὑρεθέντι, διὰ τὸ ὕψος τοῦ Σταυροῦ. Ὅθεν εἶπε καὶ ὁ Βρυέννιος· «Ὕσσωπός ἐστι βοτάνη, δύναμιν ἔχουσα ῥυπτικὴν, ὡς ἐν Ψαλμῷ λέγεται, «ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι», ὁμοία τῷ παρ' ἡμῖν χρυσολαχάνῳ, ἧς τὸ ἔρνος, μακρὸν ὂν καὶ ξηρὸν, οἱ στρατιῶται ἐν τῷ κήπῳ εὑρόντες, ἀντὶ καλάμου ἐχρήσαντο» (Τόμ. Β'. σελ. 84.). Ἀλλ' ὁ ἱερὸς Κύριλλος διαστέλλει τὸ ὕσσωπον ἀπὸ τοῦ καλάμου· διαστέλλει δὲ ταῦτα καὶ ἐν Κατηχήσει ΙΓ'. §. 39, ἔνθα φησίν· «Ἀπὸ καλάμου ὁ κάλαμος, ἀπὸ βοτανῶν τὸ ὕσσωπον». Κατὰ τὴν ἔννοιαν ἄρα τοῦ Κυρίλλου, οἱ στρατιῶται ἔπλησαν πρῶτον ὄξους τὸν σπόγγον, εἶτα ἐντυλίξαντες αὐτὸν τῇ τοῦ ὑσσώπου βοτάνῃ, ἵνα ἀηδέστερον καὶ πικρότερον γένηται τὸ ὄξος, ἐπέθηκαν τῷ καλάμῳ, καὶ οὕτω προσήνεγκαν τῷ Δεσπότῃ. Ταύτην τὴν γνώμην ἀποδεχόμενος φαίνεται καὶ ὁ Θεοφύλακτος ἐν οἷς λέγει· «Τὸ ὕσσωπον διὰ τοῦτο πρόσκειται, ὡς δηλητηριῶδες» (εἰς Ἰωάν. ΙΘ'.). Συντίθενται εἰς τὴν ἐξήγησιν ταύτην καὶ νεώτεροι Θεολόγοι, οἷον ὁ Βοχάρτος (Hieroz. T. I, L. 2, cap. 50.).

[1]) Τὸν «καὶ» ἐξωβέλισεν ὁ Τ., ἀλλ' εὑρίσκεται ἐν τοῖς Κώδ. Roe καὶ Casaub.

κάλλος, ἀλλ᾽ ὅπου ψυχῆς ἀκατάγνωστος συνείδησις· ὧδε οὐχ ὁ μαμωνᾶς ὁ κατεγνωσμένος, ἀλλ᾽ ὁ τῆς ψυχῆς ἐν εὐλαβείᾳ πλοῦτος.

§. Β΄. Πείσθητε τοίνυν, ὦ τέκνα δικαιοσύνης, Ἰωάννῃ παρακαλοῦντι καὶ λέγοντι· «Εὐθύνατε τὴν ὁδὸν Κυρίου». Ἐξάρατε πάντα τὰ σκῶλα καὶ τὰ σκάνδαλα, ἵνα ἐνθυπορήσητε πρὸς αἰώνιον ζωήν. Ἑτοιμάσατε τῆς ψυχῆς τὰ ἀγγεῖα καθαρὰ διὰ τῆς ἀνυποκρίτου πίστεως πρὸς ὑποδοχὴν τοῦ ἁγίου Πνεύματος [1]). Ἄρξασθε πλύνειν τὰς στολὰς ὑμῶν διὰ μετανοίας, ἵνα εἰς τὸν νυμφῶνα καθαροὶ κληθέντες εὑρεθῆτε [2])· ὁ μὲν γὰρ νυμφίος καλεῖ πάντας ἁπλῶς, ἐπειδὴ δαψιλὴς

---

[1]) «Ἑτοίμασον τῆς ψυχῆς τὸ ἄγγος», λέγει καὶ παρακατιὼν ὁ Πατὴρ (§. 15.). Πρὸς ἀγγεῖον καθαρὸν παρομοιάζει τὴν ψυχὴν καὶ ὁ Μέγας Βασίλειος, καὶ συμβουλεύει ἵνα ἐκπλύνωμεν καὶ καθάρωμεν τοῦτο πρὸς ὑποδοχὴν τοῦ ἁγίου Πνεύματος· «Ἀλλὰ καὶ ἀγγεῖον προκατειλημμένον ὑπό τινος ὑγροῦ δυσώδους, μὴ ἐκπλυθὲν, οὐ μὴ δέξεται τοῦ μύρου τὴν ἐπιῤῥοήν· δεῖ τοίνυν ἐκχυθῆναι τὰ προϋπάρχοντα, ἵνα δυνηθῇ χωρηθῆναι τὰ ἐπαγόμενα. Πᾶσι μὲν γὰρ πάρεστι τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλὰ τοῖς μὲν καθαρεύουσι τῶν παθῶν τὴν ἰδίαν ἐκφέρει δύναμιν, τοῖς δὲ τὸ ἡγεμονικὸν συγκεχυμένον ἔχουσιν ἀπὸ τῶν τῆς ἁμαρτίας σπίλων οὐκέτι» (Τόμ. Γ΄. σελ. 690.).

[2]) Καὶ ἐντεῦθεν, καὶ πολλαχόθεν ἄλλοθεν γίνεται φανερὸν, ὅτι καθαίρει μὲν τὴν ψυχὴν τὸ ἅγιον Βάπτισμα, καὶ πάσας ἀφίησι τὰς ἁμαρτίας, καὶ καθαρὸν ἀπεργάζεται τὸν βεβαπτισμένον, ἀλλ᾽ ὅμως οὐχ ἁπλῶς, οὐδ᾽ ἀμετανοήτως δεῖ προσιέναι τῷ θείῳ τούτῳ λουτρῷ· ὅθεν εἶπε καὶ ὁ Χρυσόστομος· «Ὅτι γὰρ δεῖ πρότερον μετανοήσαντας, καὶ τῶν προτέρων ἀποστάντας κακῶν, οὕτω τῇ χάριτι προσιέναι, ἄκουσον τί μὲν Ἰωάννης φησὶ, τί δὲ ὁ τῶν Ἀποστόλων κορυφαῖος· ἐκεῖνος μὲν γάρ φησι· «Ποιήσατε καρπὸν ἄξιον τῆς μετανοίας, καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς, ὅτι πατέρα ἔχομεν τὸν Ἀβραάμ»· οὗτος δὲ τοῖς ἐρωτῶσι πάλιν ἔλεγε· «Μετανοήσατε καὶ βαπτισθήτω ἕκαστος ὑμῶν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ». Ὁ δὲ μετανοῶν οὐκέτι τῶν αὐτῶν ἅπτεται πραγμάτων, ἐφ᾽ οἷς μετενόησε. Καθάπερ οὖν ἐπὶ τῶν ζωγράφων γίνεται, οὕτω καὶ νῦν γινέσθω· καὶ γὰρ ἐκεῖνοι τὰς σανίδας προθέντες, καὶ λευκὰς περιάγοντες γραμμὰς, καὶ τὰς βασιλικὰς ὑπογράφοντες εἰκόνας, πρὶν ἢ χρωμάτων ἐπαγαγεῖν τὴν ἀλήθειαν, μετ᾽ ἐξουσίας ἁπάσης τὰ μὲν ἐξαλείφουσι, τὰ δὲ ἀντεγγράφουσι, καὶ διορθοῦντες τὰ ἡμαρτημένα καὶ μετατιθέντες τὰ κακῶς ἔχοντα· ἐπειδὰν δὲ τὴν βαφὴν

ἡ χάρις καὶ μεγαλοφώνων κηρύκων φωνὴ συνάγει τοὺς πάντας· διακρίνει δὲ λοιπὸν ὁ αὐτὸς τοὺς ἔνδον εἰσελθόντας εἰς τὸν τυπικὸν γάμον. Μὴ γένοιτό τινα τῶν ὀνοματογραφηθέντων νῦν ἀκοῦσαι· «Ἑταῖρε, πῶς εἰσῆλθες ὧδε, μὴ ἔχων ἔνδυμα γάμου»; εἴη δὲ ὑμᾶς πάντας ἀκοῦσαι· «Εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ· ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου»· νῦν γὰρ τέως ἔξω τῆς θύρας ἕστηκας· γένοιτο δὲ πάντας ὑμᾶς εἰπεῖν· «Εἰσήνεγκέ με ὁ βασιλεὺς εἰς τὸ ταμεῖον αὐτοῦ». «Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης· ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ»· ἵνα εὑρεθῇ πάντων ὑμῶν ἡ ψυχὴ μὴ ἔχουσα σπῖλον ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων· οὐ λέγω πρὸ τοῦ λαβεῖν τὴν χάριν· πῶς γὰρ οἵ γε ἐπὶ ἀφέσει ἁμαρτιῶν ἐκλήθητε; ἀλλ' ἵνα, διδομένης τῆς χάριτος, ἀκατάγνωστος ἡ συνείδησις εὑρεθεῖσα συνδράμῃ τῇ χάριτι.

§. Γ'. Μέγα τὸ πρᾶγμα ἀληθῶς, ἀδελφοί, καὶ μετὰ προσοχῆς αὐτῷ προσέλθετε. Μέλλει ἕκαστος ὑμῶν παρίστασθαι τῷ Θεῷ, ἐνώπιον μυριάδων στρατιῶν Ἀγγέλων. Μέλλει τὸ Πνεῦμα τὸ ἅγιον σφραγίζειν ὑμῶν τὰς ψυχάς[1]). Μέλλετε στρατολογεῖσθαι τῷ μεγάλῳ

λοιπὸν ἐπαγάγωσιν, οὐκέτι εἰσὶ κύριοι πάλιν ἐξαλεῖψαι καὶ ἀντεγγράψαι, ἐπεὶ τῷ κάλλει τῆς εἰκόνος λυμαίνονται, καὶ ἔγκλημα τὸ πρᾶγμα γίνεται. Τοῦτο δὴ καὶ σὺ ποίησον· νόμισον εἰκόνα σοι τὴν ψυχὴν εἶναι. Πρὶν ἢ τοίνυν ἐπελθεῖν τὴν ἀληθῆ τοῦ Πνεύματος βαφήν, ἐξάλειψον τὰς κακῶς ἐντεθείσας σοι συνηθείας, ἵνα, τῶν χρωμάτων ἐπενεχθέντων καὶ λαμψάσης τῆς βασιλικῆς εἰκόνος, μηκέτι λοιπὸν ἐξαλείφῃς, καὶ τραύματα καὶ οὐλὰς ἐμποιῇς τῷ παρὰ τοῦ Θεοῦ δοθέντι σοι κάλλει» (Τόμ. Β'. σελ. 280.).

[1]) Πότε σφραγίζει τὰς ψυχὰς τὸ ἅγιον Πνεῦμα; Κατὰ τὸν καιρὸν τοῦ βαπτίσματος, ὡς αὐτὸς ὁ Κύριλλος διδάσκει (Κατήχ. Δ'. 16. καὶ Κατήχ. ΙΣΤ'. 24). Διὰ τοῦτο ὀνομάζει καὶ τὸ βάπτισμα «Πνεύματος ἁγίου σφραγῖδα» (Προκατήχ. §. 17), καὶ «πνευματικὴν σφραγῖδα» (Κατήχ. Α. 3). Περὶ τοῦ ἐν τῷ βαπτίσματι γινομένου τούτου σφραγίσματος λέγει καὶ ὁ ἐν ἁγίοις Γρηγόριος ὁ Νύσσης (ἐν τῷ δευτέρῳ περὶ μετανοίας Λόγῳ)· «Λόγος ἡγίασε, Πνεῦμα ἐσφράγισεν, ὁ παλαιὸς ἄνθρωπος ἐνετάφη». «Καθάπερ στρατιώταις σφραγίς, λέγει καὶ ὁ θεῖος Χρυσόστομος,

βασιλεῖ· οὐκοῦν ἑτοιμάσασθε, παρασκευάσασθε· οὐχ ἱματίων λαμπροτάτας ἐνδυσάμενοι στολάς, ἀλλὰ ψυχῆς εὐσυνείδητον εὐλάβειαν. Μὴ ὡς ὕδατι λιτῷ πρόσελθε[1]) τῷ λουτρῷ, ἀλλὰ τῇ μετὰ τοῦ ὕδατος δεδομένῃ πνευματικῇ χάριτι· ὥσπερ γὰρ τὰ τοῖς βωμοῖς προσφερόμενα, τῇ φύσει ὄντα λιτά, μεμολυσμένα γίνεται τῇ ἐπικλήσει τῶν εἰδώλων· οὕτως ἀπεναντίας τὸ λιτὸν ὕδωρ, Πνεύματος ἁγίου καὶ Χριστοῦ καὶ Πατρὸς τὴν ἐπίκλησιν λαβόν, δύναμιν ἁγιότητος ἐπικτᾶται[2]).

οὕτω καὶ τοῖς πιστοῖς τὸ Πνεῦμα ἐπιτίθεται» (Ὁμιλ. Γ'. εἰς Α'. Κορινθ.). Ἀξιάγαστά εἰσι καὶ ὅσα λέγει Μακάριος ὁ Αἰγύπτιος (Ὁμιλ. Ε'.)· «Μέλλει γὰρ ὁ Χριστὸς ἐκ τῶν οὐρανῶν κατέρχεσθαι, καὶ πάντα τὰ φῦλα τοῦ Ἀδὰμ ἀναστῆσαι, τοὺς ἀπ' αἰῶνος κοιμηθέντας, κατὰ τὰς ἁγίας Γραφάς, καὶ εἰς δύο μέρη στῆσαι πάντας, καὶ τοὺς ἔχοντας τὸ ἴδιον σημεῖον, τουτέστι τὴν σφραγῖδα τοῦ Πνεύματος, τούτους ὡς ἰδίους προσφωνήσας, ἐκ δεξιῶν στήσει».

[1]) Οἱ Κώδ. Roe καὶ Casaub. ἔχουσι «πρόσεχε» ἀντὶ «πρόσελθε».

[2]) Καθὼς τὰ ἐπὶ τῶν βωμῶν προσφερόμενα, φύσει ὄντα λιτὰ καὶ ἁπλᾶ, τῇ ἐπικλήσει τῶν εἰδώλων μολύνονται, οὕτω καὶ τὸ ἐν τῷ βαπτίσματι ὕδωρ, φύσει ὂν ἁπλοῦν καὶ λιτόν, τῇ ἐπικλήσει τῆς παναγίας Τριάδος καὶ ταῖς πρὸς αὐτὴν εὐχαῖς καὶ ἐντεύξεσι καθαγιάζεται, καὶ ἐν μεθέξει τῆς χάριτος τοῦ ἁγίου Πνεύματος γίνεται· «ἁγιάζεται γὰρ τὸ ἐν μεθέξει γεγονὸς τοῦ ἁγίου Πνεύματος», κατὰ τὸν Ἀλεξανδρείας Κύριλλον (εἰς Ἰωάν. ί. 34.). Τὴν ἐν τῷ ὕδατι ὑπερφυσικὴν ταύτην δύναμιν δηλῶν καὶ ὁ μακάριος Θεοδώρητος λέγει· «Ὕδωρ ζῶν καλεῖται τὸ βάπτισμα, οὐκ ἐπειδὴ φύσιν ἑτέραν ἔχει τοῦ βαπτίσματος τὸ ὕδωρ, ἀλλ' ὅτι δι' ἐκείνου τοῦ ὕδατος ἡ θεία χάρις τὴν αἰώνιον δωρεῖται ζωήν» (Ἐρωτ. ΚΣΤ'. εἰς Γένεσ.). Φησὶ δὲ καὶ ὁ ἱερὸς Γρηγόριος ὁ Νύσσης (Τόμ. Γ'. σελ. 369.)· «Ταύτην τὴν εὐεργεσίαν οὐ τὸ ὕδωρ χαρίζεται· ἦν γὰρ ἂν πάσης τῆς κτίσεως ὑψηλότερον· ἀλλὰ Θεοῦ πρόσταγμα καὶ ἡ τοῦ Πνεύματος ἐπιφοίτησις, μυστικῶς ἐρχομένη πρὸς τὴν ἡμετέραν ἐλευθερίαν». Ὅμοια καὶ τὰ τοῦ Μ. Βασιλείου (περὶ τοῦ ἁγίου Πνεύματος κεφ. κέ.)· «Εἴτις ἐστὶν ἐν τῷ ὕδατι χάρις, οὐκ ἐκ τῆς φύσεώς ἐστι τοῦ ὕδατος, ἀλλ' ἐκ τῆς τοῦ Πνεύματος παρουσίας· οὐ γάρ ἐστι τὸ βάπτισμα ῥύπου σαρκὸς ἀπόθεσις, ἀλλὰ συνειδήσεως ἀγαθῆς ἐπερώτημα εἰς Θεόν». Ἐπὶ πᾶσι τούτοις πρόσθες τὰ τοῦ θείου Χρυσορρήμονος (Ὁμιλ. ΚΕ' εἰς Ἰωάν.)· «Ὥσπερ ἐν ἀρχῇ ὑπέκειτο στοιχεῖον ἡ γῆ, τὸ δὲ πᾶν τοῦ διαπλάττοντος ἦν, οὕτω καὶ νῦν ὑπόκειται μὲν στοιχεῖον τὸ ὕδωρ, τὸ δὲ πᾶν τῆς τοῦ Πνεύματος χάριτος».

§. Δ΄. Ἐπειδὴ γὰρ διπλοῦς ὁ ἄνθρωπος, ἐκ ψυχῆς καὶ σώματος συγκείμενος, διπλοῦν καὶ τὸ καθάρσιον· τὸ μὲν ἀσώματον τῷ ἀσωμάτῳ, τὸ δὲ σωματικὸν τῷ σώματι. Καὶ τὸ μὲν ὕδωρ καθαίρει τὸ σῶμα, τὸ δὲ Πνεῦμα σφραγίζει τὴν ψυχὴν[1]), ἵνα Πνεύματι ἐῤῥαντισμένοι τὴν καρδίαν, καὶ λελουμένοι τὸ σῶμα ὕδατι καθαρῷ, προσέλθωμεν τῷ Θεῷ. Μέλλων τοίνυν εἰς τὸ ὕδωρ καταβαίνειν, μὴ τῷ ψιλῷ τοῦ ὕδατος πρόσεχε, ἀλλὰ τῇ τοῦ ἁγίου Πνεύματος ἐνεργείᾳ τὴν σωτηρίαν ἐκδέχου· ἄνευ γὰρ ἀμφοτέρων ἀδύνατόν σε τελειωθῆναι. Οὐκ ἐγώ εἰμι ὁ τοῦτο λέγων, ἀλλ᾽ ὁ Κύριος Ἰησοῦς Χριστὸς, ὁ τοῦ πράγματος τὴν ἐξουσίαν ἔχων· φησὶ γάρ· «Ἐὰν μή τις γεννηθῇ ἄνωθεν»· καὶ ἐπιφέρει λέγων· «ἐξ ὕδατος καὶ Πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ». Οὐδὲ ὁ τῷ ὕδατι βαπτιζόμενος, μὴ καταξιωθεὶς δὲ τοῦ Πνεύματος, τελείαν ἔχει τὴν χάριν· οὐδὲ κἂν ἐνάρετός τις γένηται τοῖς ἔργοις, μὴ λάβῃ δὲ τὴν δι᾽ ὕδατος σφραγῖδα, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν[2]).

---

[1]) Παραπλήσια τῷ ἱερῷ Κυρίλλῳ φθέγγεται καὶ ὁ Θεολόγος Γρηγόριος (Λόγ. Μ΄.)· «Διττῶν ὄντων ἡμῶν, ἐκ ψυχῆς λέγω καὶ σώματος, καὶ τῆς μὲν ὁρατῆς, τῆς δὲ ἀοράτου φύσεως, διττὴ καὶ ἡ κάθαρσις, δι᾽ ὕδατός τε φημὶ καὶ Πνεύματος, τοῦ μὲν θεωρητικῶς τε καὶ σωματικῶς λαμβανομένου, τοῦ δὲ ἀσωμάτως καὶ ἀθεωρήτως συντρέχοντος· καὶ τοῦ μὲν τυπικοῦ, τοῦ δὲ ἀληθινοῦ καὶ τὰ βάθη καθαίροντος». Τὰ αὐτὰ διδάσκει καὶ ὁ ἐκ Δαμασκοῦ φωστὴρ (ἔκδ. Ὀρθοδ. πίστ. δ΄. 10.)· «Ἐπειδὴ γὰρ διπλοῦς ὁ ἄνθρωπος, ἐκ ψυχῆς τε καὶ σώματος, διπλῆν ἡμῖν ἔδωκε καὶ τὴν κάθαρσιν, δι᾽ ὕδατός τε καὶ Πνεύματος, τοῦ μὲν Πνεύματος τὸ κατ᾽ εἰκόνα καὶ καθ᾽ ὁμοίωσιν ἐν ἡμῖν ἀνακαινίζοντος, τοῦ δὲ ὕδατος διὰ τῆς τοῦ Πνεύματος χάριτος καθαίροντος τὸ σῶμα τῆς ἁμαρτίας, καὶ τῆς φθορᾶς ἀπαλλάττοντος· καὶ τὴν μὲν τοῦ θανάτου εἰκόνα ἐκπληροῦντος τοῦ ὕδατος, τὸν δὲ τῆς ζωῆς ἀῤῥαβῶνα παρεχομένου τοῦ Πνεύματος». Ὅμοια διδάσκουσι καὶ Γρηγόριος ὁ Νύσσης (Λόγ. εἰς τὸ βάπτισμα τοῦ Χριστοῦ), καὶ Κύριλλος ὁ Ἀλεξανδρείας (εἰς Ἰωάν. βιβλ. Β΄.).

[2]) Σαφῶς καὶ καθαρῶς ἐξηγεῖ ὁ Κύριλλος τὴν ἀνωτέρω ἀπόφασιν τοῦ Κυρίου, «ἐάν μή τις» κτλ. . . . . Ἄνευ βαπτίσματος οὐδεὶς σώζεται, οὐδ᾽ ἂν σφόδρα ἐνάρετος τύχῃ ὤν. Ἡ βεβαπτισμένος ἐντὸς τῆς βασιλείας, ἢ ἀβάπτιστος ἐκτὸς τῆς βασιλείας· μέσον ὅρον καὶ τόπον ὁ Κύριλλος

Τολμηρὸς ὁ λόγος, ἀλλ᾽ οὐκ ἐμός· Ἰησοῦς γὰρ ὁ ἀποφηνάμενος. Καί μοι λάβε τῶν λόγων τὴν ἀπόδειξιν ἀπὸ τῆς θείας Γραφῆς. Κορνήλιος ἦν ἀνὴρ δίκαιος, Ἀγγέλων ὀπτασίας καταξιωθεὶς, στήλην ἀγαθὴν ἐν οὐρανοῖς παρὰ τῷ Θεῷ τὰς ἑαυτοῦ προσευχὰς καὶ ἐλεημοσύνας ἀναστήσας[1])· ἦλθεν ὁ Πέτρος, καὶ τὸ Πνεῦμα ἐπεχύθη τοῖς πιστεύουσι, καὶ ἐλάλησαν γλώσσαις ἑτέραις, καὶ προεφήτευσαν· καὶ μετὰ τὴν τοῦ Πνεύματος χάριν ἡ Γραφή φησιν, ὅτι «Προσέταξεν αὐτοὺς ὁ Πέτρος ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ βαπτισθῆναι»· ἵνα τῆς ψυχῆς διὰ τῆς πίστεως ἀναγεννηθείσης, μεταλάβῃ καὶ τὸ σῶμα διὰ τοῦ ὕδατος τῆς χάριτος.

§. Ε΄. Εἰ δέ τις ποθεῖ γνῶναι, διατί δι᾽ ὕδατος καὶ μὴ δι᾽ ἑτέρου τῶν στοιχείων ἡ χάρις δίδοται, τὰς θείας Γραφὰς ἀναλαβὼν εὑρήσει· μέγα γάρ τι τὸ ὕδωρ, καὶ τῶν τεσσάρων τοῦ κόσμου στοιχείων τῶν

ἀγνοεῖ. Μόνους τοὺς μάρτυρας ἐξαιρεῖ τοὺς ἐν τῷ ἰδίῳ αἵματι βαπτισθέντας· ὅθεν λέγει κατωτέρω· «Εἴτις μὴ λάβῃ τὸ βάπτισμα, σωτηρίαν οὐκ ἔχει, πλὴν μόνων μαρτύρων, οἳ καὶ χωρὶς τοῦ ὕδατος λαμβάνουσι τὴν σωτηρίαν». Ἡ γνώμη αὕτη τοῦ ἱεροῦ Κυρίλλου σταθερόν ἐστι καὶ θεμελιῶδες δόγμα ἁπάσης τῆς καθολικῆς Ἐκκλησίας, καὶ τοῦτο πρεσβεύουσι καὶ διαῤῥήδην διδάσκουσι καὶ πολλοὶ καὶ μεγάλοι τῆς Ἐκκλησίας διδάσκαλοι καὶ Πατέρες· οἷον ὁ Μ. Ἀθανάσιος (Τόμ. Α΄. σελ. 109 καὶ Τόμ. Β΄. σελ. 304.), ὁ Θεολόγ. Γρηγόριος (Λόγ. Μ΄.), ὁ Γρηγόριος Νύσσης (Τόμ. Β΄. σελ. 126.), Κλήμης ὁ Ἀλεξανδρεὺς (Στρωμ. Β΄. 9. §. 44.), ὁ Αὐγουστῖνος (Tractat. 13. in Iohan.) καὶ ἄλλοι· «Κλαῦσον τοὺς ἀπίστους, λέγει καὶ ὁ ἱερὸς Χρυσόστομος, κλαῦσον τοὺς οὐδὲν ἐκείνων ἀπέχοντας, τοὺς χωρὶς φωτίσματος ἀπερχομένους, τοὺς χωρὶς σφραγῖδος. Οὗτοι ὄντως θρήνων ἄξιοι, οὗτοι ὀδυρμῶν· ἔξω τῶν βασιλείων εἰσὶ μετὰ τῶν καταδίκων, μετὰ τῶν κατεγνωσμένων. Ἀμὴν γὰρ λέγω ὑμῖν, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν» (Ὁμιλ. Γ΄. εἰς τὴν πρὸς Φιλιπ.). Βλ. καὶ Ὁμιλ. ΚΕ΄. εἰς Ἰωάν. σελ. 165.

[1]) Μετὰ τὸ «ἀναστήσας» ἐν τοῖς Κώδ. Roe καὶ Casaub. ἀκολουθοῦσι ταῦτα· «Ἀλλ᾽ οὐκ ἤρκεσεν αὐτῷ πάντα πρὸς τελείωσιν, ἕως οὗ καὶ τὸ δι᾽ ὕδατος καὶ Πνεύματος βάπτισμα ἐδέξατο παρὰ Πέτρου».

φαινομένων τὸ κάλλιστον[1]). Ἀγγέλων ἐνδιαίτημα ὁ οὐρανὸς, ἀλλ᾽ ἐξ ὑδάτων οὐρανοί. Γῆ τὸ τῶν ἀνθρώπων χωρίον, ἀλλ᾽ ἐξ ὑδάτων ἡ γῆ· καὶ πρὸ πάσης τῶν γεννητῶν τῆς ἑξαημέρου κατασκευῆς, «Πνεῦμα

[1]) «Κάλλιστον στοιχεῖον τὸ ὕδωρ, εἶπε καὶ ὁ ἐκ Δαμασκοῦ φωστὴρ, καὶ πολύχρηστον, καὶ ῥύπου καθάρσιον, οὐ μόνον σωματικοῦ, καὶ ψυχικοῦ δὲ, εἰ προσλάβοι τὴν χάριν τοῦ Πνεύματος» (ἔκθ. Ὀρθ. πίστ. β΄. 9.). Ὅρα καὶ Τερτυλλιανὸν (de baptismo cap. 3.), καὶ Αὐγουστῖνον (de Genesi ad litteram cap. 13.). Τὸ ζήτημα, διατὶ δι᾽ ὕδατος καὶ μὴ δι᾽ ἑτέρου στοιχείου ἡ χάρις καὶ κάθαρσις δίδοται τοῖς ἀνθρώποις, προβάλλει καὶ ὁ Βρυέννιος, καὶ συνάμα λύει τοῦτο τοῖς αὐτοῖς χρώμενος λόγοις, οἷς καὶ ὁ Κύριλλος· «Διὰ τοῦτο δι᾽ ὕδατος (τὸ) τῶν ἀνθρώπων ἐκάθηρε, καὶ εἰσέτι καθαίρει παντοδύναμος ὢν, ὅτι μὴ μόνον ἐν τοῖς στοιχείοις τὸ ὕδωρ, ἀλλὰ καὶ πάντων αὐτῶν στοιχειωδέστερόν τε καὶ κατὰ φύσιν ἀρχοειδέστερον (Λόγ. εἰς τὰ Θεοφάνεια.). Ὁ θεῖος Χρυσόστομος, προθεὶς εἰς μέσον καὶ αὐτὸς τὸ ζήτημα, διατὶ παρείληπται τὸ ὕδωρ ἐν τῷ βαπτίσματι, ἀποκρίνεται, ὅτι εἰσὶ μὲν ἄλλοι πολλοὶ λόγοι τούτου, εἷς δὲ τῶν πολλῶν ἐστιν οὗτος, ὅτι «θεῖα τελεῖται ἐν αὐτῷ σύμβολα, τάφος καὶ νέκρωσις, καὶ ἀνάστασις καὶ ζωὴ, καὶ ταῦτα ὁμοῦ γίνεται πάντα. Καθάπερ γὰρ ἔν τινι τάφῳ τῷ ὕδατι καταδυόντων ἡμῶν τὰς κεφαλὰς, ὁ παλαιὸς ἄνθρωπος θάπτεται καὶ καταδὺς κάτω κρύπτεται ὅλος καθάπαξ» (Τόμ. Η΄. σελ. 168.). Ὅπερ δὲ ὁ Κύριλλος παρακατιὼν λέγει, ὅτι οὐ μόνον οἱ οὐρανοὶ, ἀλλὰ καὶ ἡ γῆ συνέστηκεν ἐξ ὑδάτων, τοῦτο εἴληφε, φαίνεται, ὁ Πατὴρ ἐκ τῆς Β΄. Ἐπιστολῆς τοῦ Πέτρου (Γ΄. 5.), ἔνθα γέγραπται «καὶ γῆ ἐξ ὕδατος καὶ δι᾽ ὕδατος συνεστῶσα». Ἐπειδὴ δὲ ὁ λόγος ἐνταῦθα περὶ τῆς μεγάλης τιμῆς τῶν πρωτείων τοῦ ὕδατος, σημειούσθω, ὅτι οὐ μόνον ἔθνη ὁλόκληρα ἐλάτρευον ὡς Θεὸν τὸ ὕδωρ, ὡς οἱ Αἰγύπτιοι καὶ οἱ Πέρσαι (Πλούτ. περὶ Ἴσιδ. καὶ Ὀσίρ. Ἀθανάσ. κατὰ Ἑλλήνων, Κλήμ. Ἀλεξανδρ. Προτρεπτ. έ. §. 65.), ἀλλὰ καὶ αἱρετικοὶ, οἷοι οἱ Ἐβιωναῖοι οἱ καὶ Ἐλκεσαῖοι· καὶ περὶ μὲν τῶν πρώτων λέγει ὁ Ἐπιφάνιος (Τόμ. Α΄. σελ. 53.)· «τὸ ὕδωρ ἀντὶ Θεοῦ ἔχουσι», περὶ δὲ τῶν Σαμψαίων ἱστορεῖ ὁ αὐτὸς Πατὴρ (Τόμ. Α΄. σελ. 461.)· «τετίμηται δὲ καὶ τὸ ὕδωρ, καὶ τοῦτο ὡς Θεὸν ἡγοῦνται, σχεδὸν φάσκοντες εἶναι τὴν ζωὴν ἐκ τούτου». Ὑπῆρξε δὲ ἄλλη τις αἵρεσις Ὑδροθεϊτῶν, τὸ ὕδωρ ὡς ἄναρχον καὶ αἰώνιον λατρευόντων, οὓς μνημονεύει ὁ Αὐγουστῖνος (de Haeresib. cap. 75.), καὶ ὁ ὑπὸ τὸ ὄνομα τοῦ Πραιδεστινάτου κατάλογος τῶν αἱρέσεων (cap. 75.).

τοῦ Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος». Ἀρχὴ τοῦ κόσμου τὸ ὕδωρ[1]· καὶ ἀρχὴ τῶν Εὐαγγελίων ὁ Ἰορδάνης[2]. Ἐλευθερία τῷ Ἰσραὴλ ἀπὸ τοῦ Φαραὼ διὰ τῆς θαλάσσης, καὶ ἐλευθερία ἁμαρτιῶν τῷ κόσμῳ διὰ τοῦ λουτροῦ τοῦ ὕδατος ἐν ῥήματι Θεοῦ. Ὅπου διαθήκη πρός τινας, ἐκεῖ καὶ ὕδωρ· μετὰ τὸν κατακλυσμὸν ἐτέθη διαθήκη πρὸς Νῶε· διαθήκη τῷ Ἰσραὴλ ἐξ ὄρους Σινᾶ, ἀλλὰ μετὰ ὕδατος, καὶ ἐρίου κοκκίνου καὶ ὑσσώπου[3]. Ἠλίας ἀναλαμβάνεται, ἀλλ' οὐ χω-

---

[1]) Ἀρχὴν τοῦ κόσμου τὸ ὕδωρ φησὶν ὁ Πατὴρ, οὐχὶ καθ' ἣν ἔννοιαν ἐξέλαβε τοῦτο ὡς ἀρχὴν ὁ Θαλῆς. Ὁ μὲν γὰρ Θαλῆς ἐκάλεσε τὸ ὕδωρ ἀρχὴν ἐν γενετικῇ σημασίᾳ, ὡς τὸ ἐξ οὗ γίγνεταί τι, ὡς τὸ μόνον οὐσιῶδες καὶ τὸ συστατικὸν καὶ γενετικὸν στοιχεῖον πάντων τῶν ὄντων· «ἐξ οὗ γάρ ἐστιν ἅπαντα τὰ ὄντα, καὶ ἐξ οὗ γίγνεται πρώτου, καὶ εἰς ὃ φθείρεται τελευταῖον, τῆς μὲν οὐσίας ὑπομενούσης, τοῖς δὲ πάθεσι μεταβαλλούσης, τοῦτο στοιχεῖον καὶ ταύτην ἀρχήν φασιν εἶναι τῶν ὄντων» (Ἀριστοτέλ. Μετεωρ. ά. 3.). Ὁ δὲ ἱερὸς Κύριλλος ὠνόμασε τὸ ὕδωρ ἀρχὴν τοῦ κόσμου ἐν χρονικῇ σημασίᾳ, ὡς τὸ πρῶτον δηλονότι καὶ ἀρχαιότατον τοῦ Θεοῦ δημιούργημα, καὶ συνάμα ὡς τὸ κάλλιστον καὶ εἰς τὴν σύστασιν πολλῶν ὄντων χρησιμώτατον· ὅθεν εἶπε καὶ ἀλλαχοῦ ὁ Κύριλλος· «δι' ὕδατος ἡ σύστασις τῶν ἁπάντων» (Κατήχ. ΙΣΤ'. 12.).

[2]) Ἀρχὴ τῶν Εὐαγγελίων ὁ Ἰορδάνης, διότι ἐν αὐτῷ πρώτῳ ὁ Σωτὴρ ἡμῶν ἐβαπτίσθη, εἶτα ἀνεδείχθη, καὶ ἐν τῷ Ἰσραὴλ ἐφανερώθη, διδάσκειν τε καὶ θαυματουργεῖν ἤρξατο· «Ἐπέμφθη γὰρ ὁ Ἰωάννης ὑπὸ Θεοῦ πρὸς τὸν Ἰορδάνην, κηρύσσων βάπτισμα μετανοίας, ἵνα διὰ τὸ βάπτισμα συνδράμωσι πολλοὶ, καὶ ἐπιστὰς ὁ Χριστὸς, ὡς βαπτισθησόμενος, μέσον πολλῶν μαρτυρηθῇ, κάτωθεν μὲν παρὰ Ἰωάννου, ἄνωθεν δὲ παρὰ τοῦ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος, καὶ ἐντεῦθεν ἐπισπασάμενος αὐτοὺς, ἄρξηται μυσταγωγεῖν καὶ θαυματουργεῖν» (Εὐθυμ. Ζιγαβηνὸς εἰς Ἰωάννην ά. 31).

[3]) «Λαβὼν τὸ αἷμα τῶν μόσχων καὶ τράγων μετὰ ὕδατος καὶ ἐρίου κοκκίνου καὶ ὑσσώπου, αὐτό τε τὸ βιβλίον ἐῤῥάντισε λέγων· τοῦτο τὸ αἷμα τῆς διαθήκης, ἧς ἐνετείλατο πρὸς ὑμᾶς ὁ Θεός» (Ἑβρ. Θ'. 19.)· ἐνταῦθα, ἑρμηνεύων ὁ θαυμάσιος Χρυσοῤῥήμων τὸ κόκκινον ἔριον καὶ τὸ ὕσσωπον, λέγει καὶ περὶ τοῦ ὕδατος· «Τί δαὶ τὸ ὕδωρ; καὶ τοῦτο ὡς χαρακτηρίζον τὴν δι' ὕδατος κάθαρσιν» (Τόμ. ΙΒ'. σελ. 228.). Αὐτὸ τοῦτο τὸ θεόπνευστον τοῦ Παύλου χωρίον σχολιάζων καὶ ὁ Οἰκουμένιος λέγει· «Τὸ ὕδωρ τύπος ἦν τοῦ βαπτίσματος».

ρὶς ὕδατος· πρῶτον μὲν διαβαίνει τὸν Ἰορδάνην, εἶτα ἱππηλατεῖ τὸν οὐρανόν. Πρῶτον ὁ ἀρχιερεὺς λούεται, εἶτα θυμιᾷ· πρῶτον γὰρ Ἀαρὼν ἐλούσατο, εἶτα γέγονεν ἀρχιερεύς· πῶς γὰρ ἐνεχώρει τῶν ἄλλων ὑπερεύχεσθαι τὸν δι' ὕδατος οὔπω κεκαθαρισμένον; Καὶ σύμβολον ἔκειτο τοῦ βαπτίσματος, λουτὴρ ἔνδον ἀποκείμενος τῆς Σκηνῆς [1]).

§. ΣΤ'. Παλαιᾶς τὸ τέλος, καὶ τῆς Καινῆς Διαθήκης ἀρχὴ τὸ βάπτισμα. Ἰωάννης γὰρ ἦν ἀρχηγὸς [2]), οὗ μείζων ἐν γεννητοῖς γυναικῶν οὐδὲ εἷς· τέλος μὲν προφητῶν· πάντες γὰρ οἱ Προφῆται καὶ ὁ νόμος ἕως Ἰωάννου· τῶν δὲ εὐαγγελικῶν πραγμάτων ἀπαρχή· «Ἀρχὴ γὰρ τοῦ Εὐαγγελίου Ἰησοῦ Χριστοῦ» φησι, καὶ τὰ ἑξῆς· «Ἐγένετο Ἰωάννης ἐν τῇ ἐρήμῳ βαπτίζων». Κἂν Ἠλίαν τὸν Θεσβίτην εἴποις τὸν ἀναληφθέντα, ἀλλ' οὐκ ἔστι μείζων Ἰωάννου. Μετετέθη ὁ Ἐνὼχ, ἀλλ' οὐκ ἔστι μείζων Ἰωάννου. Μωσῆς μέγιστος νομοθέτης, καὶ πάντες θαυμαστοὶ οἱ Προφῆται, ἀλλ' οὐ μείζονες Ἰωάννου. Οὐκ ἐγὼ προφήτας προφήταις τολμῶ συγκρίνειν, ἀλλ' ὁ Δεσπό-

---

[1]) Οὐκ ἀκριβῶς ἔνδον τῆς Σκηνῆς ἔκειτο ὁ λουτὴρ, ἀλλ' ἐν τῇ αὐλῇ ἀναμέσον τῆς Σκηνῆς καὶ τοῦ χαλκοῦ θυσιαστηρίου τῶν ὁλοκαυτωμάτων, ὡς γέγραπται ἐν Ἐξόδῳ (Μ'., 28.)· «Καὶ ἐποίησε τὸν λουτῆρα ἀναμέσον τῆς Σκηνῆς τοῦ μαρτυρίου, καὶ ἀναμέσον τοῦ θυσιαστηρίου, καὶ ἐπέθηκεν ἐν αὐτῷ ὕδωρ, ἵνα νίπτωνται ἐξ αὐτοῦ Μωϋσῆς καὶ Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐτῶν καὶ τοὺς πόδας, εἰσπορευομένων αὐτῶν εἰς τὴν Σκηνὴν τοῦ μαρτυρίου». Ἀδύνατόν ἐστι τὸν ἀναγινώσκοντα τὸ χωρίον τοῦτο τῆς Ἐξόδου μὴ ἀναμνησθῆναι καὶ τῶν λουτήρων ἐκείνων, τῶν ἐν τῷ νάρθηκι καὶ πρὸ τῶν θυρῶν τῆς Ἐκκλησίας κειμένων, ἵνα οἱ μέλλοντες εἰσπορεύεσθαι, ἀπονιψάμενοι πρότερον τὰς χεῖρας, οὕτως αὐτὰς πρὸς Θεὸν ἀνατείνωσιν· «Ὥσπερ οἱ λουτῆρες, λέγει ὁ Χρυσοῤῥήμων, ὕδατος πεπληρωμένοι ἑστήκασι πρὸ τῶν θυρῶν τῆς Ἐκκλησίας, ἵνα νίψῃς τὰς χεῖράς σου, οὕτω τῆς Ἐκκλησίας ἔξω καθέζονται οἱ πένητες, ἵνα πλύνῃς τὰς χεῖρας τῆς ψυχῆς τῇ ἐλεημοσύνῃ».

[2]) Ἀρχηγὸς λέγεται ὁ Ἰωάννης τοῦ βαπτίσματος τῆς Καινῆς Διαθήκης, οὐχὶ διότι τὸ βάπτισμα Ἰωάννου ἦν ἰσοδύναμον καὶ ἰσότιμον πρὸς τὸ ἅγιον καὶ ζωοπάροχον Βάπτισμα τοῦ Χριστοῦ, ἀλλὰ διότι πρῶτον αὐτὸς συνέστησε βάπτισμα εἰς μετάνοιαν καὶ ἁμαρτιῶν ἄφεσιν διδόμενον (Μαρκ. ά. 4)· καὶ ἦν τὸ βάπτισμα

της αὐτῶν τε καὶ ἡμῶν, ὁ Κύριος Ἰησοῦς ἀπεφήνατο, ὅτι[1]) «μείζων ἐν γεννητοῖς γυναικῶν Ἰωάννου οὐκ ἐγήγερται»[2]). Οὐκ ἐν γεννητοῖς παρθένων, ἀλλὰ γυναικῶν· τῷ μεγάλῳ δούλῳ πρὸς τοὺς συνδούλους ἡ σύγκρισις· τῷ υἱῷ δὲ πρὸς οἰκέτας ἀσύγκριτος ἡ ὑπεροχὴ καὶ ἡ χάρις. Βλέπεις πηλίκον ἄνθρωπον ἀρχηγὸν ταύτης τῆς χάριτος ὁ Θεὸς εἵλετο[3]); ἀκτήμονα καὶ φιλέρημον, οὐ μισάνθρωπον· ἀκρίδας ἐσθίοντα[4]) καὶ πτεροφυήσαντα τὴν ψυχήν· μέλιτος ἐμφορούμενον, καὶ

τοῦτο εἰσαγωγικὸν τοῦ μεγάλου καὶ σωτηρίου Βαπτίσματος τῆς Καινῆς Διαθήκης· πάντα δὲ τὰ πρὸ αὐτοῦ νομικὰ βαπτίσματα ἦσαν σωματικοῦ μόνον καὶ ἐξωτερικοῦ ῥύπου καθαρτικὰ «δικαιώματα σαρκὸς, μέχρι καιροῦ διορθώσεως ἐπικείμενα» (Ἑβρ. Θ΄. 10.), οὐδόλως δ' ἥπτοντο τῆς ψυχῆς καὶ τῶν ἁμαρτιῶν αὐτῆς.

[1]) Τὸ «ὅτι» προσεθήκαμεν ἐκ τῶν Κωδ. Roe καὶ Casaub.

[2]) Τὴν ὑπὲρ πάντας τοὺς ἁγίους τῆς Παλαιᾶς Διαθήκης ὑπεροχὴν ταύτην τοῦ Ἰωάννου δείκνυσιν ὁ ἱερὸς Χρυσόστομος καὶ ἀπ' αὐτῶν τῶν πραγμάτων· «Ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ βαπτιστοῦ· ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐκ ἔδωκε γυνὴ τούτου μείζονα. Καὶ ἀρκεῖ μὲν καὶ ἡ ἀπόφασις· εἰ δὲ βούλει καὶ ἀπὸ τῶν πραγμάτων μαθεῖν, ἐννόησον αὐτοῦ τὴν τράπεζαν, τὴν διαγωγὴν, τῆς γνώμης τὸ ὕψος . . . (Τόμ. Ζ΄. σελ. 468.).

[3]) Ἄπορον, διατί ὁ Τ. προετίμησε τὴν γραφὴν «εἵλατο», καὶ οὐχὶ «εἵλετο», ἣν οὐ μόνον αἱ ἐκδόσεις καὶ οἱ Κώδηκες Roe καὶ Casaub. ἔχουσιν, ἀλλὰ καὶ τὸ νόημα ἀπαιτεῖ.

[4]) Ἐκ τοῦ ἑπομένου «πτεροφυήσαντα τὴν ψυχὴν» δυνάμεθα εἰκάσαι ὅτι ἀκρίδας ἐννοεῖ ἐνταῦθα ὁ Πατὴρ οὐχὶ φυτὰ, ἢ ἄκρα φυτῶν, ἀλλὰ τὰ γνωστὰ πτερωτὰ ζωΰφια, ἅπερ ἐξ ἔθους ἤσθιον οἱ ἐν ταῖς ἐρήμοις ἐνδιαιτώμενοι Ἀσιανοὶ, ἐξ οὗ ὠνομάσθησαν καὶ «ἀκριδοφάγοι», κατὰ τὸν Εὐστάθιον (εἰς Ὀδυσσ. Θ΄.). Καὶ ὁ νόμος δὲ ὁ Μωσαϊκὸς ἐπέτρεπε τῶν ἀκρίδων τὴν βρῶσιν, καὶ ἡ ἀκρὶς ἦν ἐκ τῶν συγκεχωρημένων ἵνα τρώγωσιν οἱ Ἑβραῖοι (Λευϊτ. ιά, 22.). Ὅτι δὲ λαοί τινες ἔτρωγον ὡς τροφὴν τὰς ἀκρίδας, τοῦτο μαρτυροῦσιν οὐ μόνον Διόδωρος ὁ Σικελιώτης (Βιβλ. Γ΄.), καὶ Πλίνιος (Histor. nat. Lib. VI. cap. 30.), καὶ Στράβων (Βιβλ. ΙΣΤ΄), ἀλλὰ καὶ ὁ Ἱερώνυμος (in Jobinianum Lib. II.). Καὶ ἐν τοῖς καθ' ἡμᾶς δὲ χρόνοις εὗρον οἱ Περιηγηταὶ ἔν τε Αἰγύπτῳ καὶ Ἀραβίᾳ φυλάς τινας Ἀράβων ἀκρίδας ἐσθιόντων (Robinson III. s. 190. Hasselquist παρὰ τῷ Rosenmüller Altert. IV, 2. s. 389.). Ὁ Νείβουρος βεβαιοῖ,

μέλιτος ἡδύτερά τε καὶ ὠφελιμώτερα λαλοῦντα· ἔνδυμα περικείμενον ἀπὸ τριχῶν καμήλου, καὶ τῆς ἀσκήσεως τὸν τύπον ἐν ἑαυτῷ δεικνύντα, ὃς καὶ ὑπὸ Πνεύματος ἁγίου, ἔτι ἐν γαστρὶ μητρὸς κυοφορούμενος, ἡγιάσθη. Ἡγιάσθη Ἱερεμίας, ἀλλ᾽ οὐ προεφήτευσεν[1]) ἐν γαστρί· μόνος δὲ Ἰωάννης, κυοφορούμενος, ἐσκίρτησεν ἐν ἀγαλλιάσει, καὶ, σαρκὸς ὀφθαλμοῖς μὴ βλέπων, τὸν Δεσπότην ἐγνώριζε τῷ πνεύματι· ἐπειδὴ γὰρ μεγάλου βαπτίσματος ἦν ἡ χάρις, ἐδεῖτο καὶ μεγάλου τοῦ προστάτου.

§. Ζ΄. Οὗτος ἐβάπτιζεν ἐν τῷ Ἰορδάνῃ, καὶ ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ Ἱεροσόλυμα, βαπτισμάτων ἀπαρχῆς ἀπολαύουσα· τὸ γὰρ ἁπάντων ἀγαθῶν ἀξίωμα ἐν Ἱεροσολύμοις. Ἀλλὰ γνῶτε, Ἱεροσολυμῖται, πῶς οἱ τότε Ἱεροσολυμῖται[2]) ἐξερχόμενοι ἐβαπτίζοντο ὑπ᾽ αὐτοῦ· «ἐξομολογούμενοι, φησὶ, τὰς ἁμαρτίας αὐτῶν». Πρῶτον ἐδείκνυον τὰ τραύματα, εἶτα ἐπῆγεν ἐκεῖνος τὰ ἰατρεύματα, καὶ τοῖς πιστεύουσιν ἐδίδου λύτρωσιν αἰωνίου πυρός[3]). Καὶ εἰ θέλεις αὐτὸ τοῦτο

ὅτι οἱ Ἄραβες τρώγουσι τὰς ἀκρίδας ἑψητὰς καὶ ἐν ἅλατι ἠρτυμένας, καὶ ὀπτὰς δὲ πολλάκις ἐν κλιβάνῳ (**Beschreibung von Arabien s. 179**). Καὶ Εὐθύμιος δὲ ὁ Ζιγαβηνὸς (εἰς Ματθ. γ΄. 4.), ἱστορεῖ ἐκ μαρτυρίας ἄλλων, ὅτι πολλοὶ ἐν τοῖς μέρεσιν ἐκείνοις ἤσθιον τὰς ἀκρίδας ταριχευμένας. Ἀλλὰ πολλοὶ ἐκ τῶν ἱερῶν ἑρμηνευτῶν τῆς Γραφῆς τὰς ὑπὸ τοῦ Ἰωάννου ἐσθιομένας ἀκρίδας ἐκλαμβάνουσιν οὐχὶ ζωΰφια πτερωτὰ, ἀλλ᾽ ἀκρέμονας τῶν φυτῶν καὶ ἀκρόδρυα· οὕτως ὁ ἱερὸς Ἰσίδωρος ὁ Πηλουσιώτης (Ἐπιστ. 132. βιβλ. α΄.)· «Αἱ ἀκρίδες, αἷς Ἰωάννης ἐτρέφετο, οὐ ζῶά εἰσιν, ὥς τις οἴονται ἀμαθῶς, κανθάροις ἀπεικότα, μὴ γένοιτο! ἀλλ᾽ ἀκρέμονες βοτανῶν ἢ φυτῶν». Οὕτω καὶ Θεοφύλακτος (εἰς Ματθ. κεφ. β΄.), καὶ Νικηφόρος ὁ Κάλλιστος (Ἐκκλ. Ἱστορ. α΄, 24.), καὶ Παντολέων Διάκονος (Λόγ. εἰς τὰ Φῶτα), καὶ ἄλλοι. Τὰς διαφόρους ταύτας γνώμας περιλαβὼν ἐξέθηκεν Εὐθύμιος ὁ Ζιγαβηνὸς (Εἰς Ματθ. γ΄. 4.).

1) Οὕτως ἐκ τῶν Κωδ. **Roe** καὶ **Casaub.** Αἱ ἐκδόσεις «οὐκ ἐπροφήτευσεν».

2) Προσεθήκαμεν ἐκ τῶν Κωδ. **Roe** καὶ **Casaub.**, ὡς λίαν κατάλληλον, τὸ «τότε Ἱεροσολυμῖται».

3) Δύο εὑρίσκομεν γνώμας ἐν τοῖς Πατράσι περὶ τοῦ βαπτίσματος Ἰωάννου. Ἡ μὲν μία θέλει, ὅτι τὸ βάπτισμα Ἰωάννου οὐ σωματικοὺς μόνον ἀπέπλυνε ῥύπους καὶ εἰς μετάνοιαν

πεισθῆναι, ὅτι λύτρωσίς ἐστι τὸ βάπτισμα Ἰωάννου πυρὸς ἀπειλῆς, ἄκουε λέγοντος αὐτοῦ· «Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς»; Μὴ οὖν ἔσο λοιπὸν ἔχιδνα, ἀλλ' ἐχίδνης γέννημά ποτε γενόμενος, ἀπόδυσαι, φησὶ, τῆς πρώτης ἁμαρτητικῆς ζωῆς τὴν ὑπόστασιν· πᾶς γὰρ ὄφις εἰς στενὸν ἐνδύνας ἀποτίθεται τὸ γῆρας, καὶ τὴν παλαιότητα διὰ τῆς ἀποθλίψεως ἐκδυσάμενος, νεάζει λοιπὸν τῷ σώματι. Οὕτως εἴσελθε, φησὶ, καὶ σὺ διὰ τῆς στενῆς καὶ τεθλιμμένης θύρας, ἀποθλίψας ἑαυτὸν διὰ τῆς νηστείας, ἐκβίασαί σου τὴν ἀπώλειαν· ἀπόδυσαι τὸν παλαιὸν ἄνθρωπον

προὔτρεπεν, ἀλλὰ καὶ ἄφεσιν ἐδίδου ἁμαρτιῶν τοῖς βαπτιζομένοις. Ταύτην τὴν γνώμην ἔχουσιν ὁ ἡμέτερος Κύριλλος (ἐνταῦθα καὶ ἐν Κατηχ. Κ'. 6.), ὁ Μ. Βασίλειος (Λόγ. Β'. εἰς τὸ ἅγιον Βάπτισμα Τόμ. Β'. σελ. 898.), ὁ παρὰ τῷ Φωτίῳ Εὐλόγιος (Βιβλιοθ. 280). Ἡ δὲ ἑτέρα γνώμη θεωρεῖ τοῦ Ἰωάννου τὸ βάπτισμα ὡς κρεῖττον μὲν καὶ καθυπέρτερον τοῦ ἰουδαϊκοῦ, ἄμοιρον ὅμως καὶ γυμνὸν θείας δωρεᾶς τε καὶ χάριτος· ὅθεν οὐδ' ἀφέσεως ἁμαρτημάτων παρεκτικὸν ἐτύγχανε τοῖς βαπτιζομένοις, καί τοι ἄφεσιν ἁμαρτημάτων ἔφερε διὰ μετανοίας. Ταύτην τὴν δόξαν πρεσβεύει μάλιστα πάντων ὁ ἱερὸς Χρυσορρήμων, καὶ πολλαχοῦ ταύτην σαφῶς τε καὶ καθαρῶς ἐκτίθησι· «Πνεύματος γὰρ χάριν τοῦτο ἔχει τὸ βάπτισμα μόνον· τὸ δὲ Ἰωάννου ταύτης ἔρημον τῆς δωρεᾶς ἦν» (Τόμ. Ζ'. σελ. 189.)· καὶ ἀλλαχοῦ· «Κατὰ τοῦτο ὑψηλότερον ἦν τοῦ ἰουδαϊκοῦ, τοῦ δὲ ἡμετέρου ταπεινότερον, ἐπειδὴ μήτε Πνεῦμα ἅγιον ἐδίδου τὸ βάπτισμα Ἰωάννου, μήτε τὴν διὰ τῆς χάριτος παρεῖχε συγχώρησιν· μετανοεῖν γὰρ ἐκέλευεν, οὐκ ἀφιέναι κύριος ἦν» (Τόμ. Β'. σελ. 437.). Φησὶ δὲ καὶ ὁ Θεοφύλακτος (εἰς Ματθ. κεφ. γ'.)· «Ἄφεσιν ἁμαρτιῶν οὐκ εἶχε τὸ Ἰωάννου βάπτισμα, ἀλλὰ μόνην μετάνοιαν ἐκήρυττεν ὁ Ἰωάννης καὶ εἰς ἄφεσιν ἁμαρτιῶν ἔφερεν». Ἀλλ' εὐκόλως συμβιβάζονται αἱ δύο αὗται γνῶμαι, ἐὰν ἐννοήσωμεν, ὅτι τὸ βάπτισμα Ἰωάννου παρεῖχε μὲν ἁμαρτιῶν ἄφεσιν, πλὴν οὐχὶ ἐξ ἰδίας δυνάμεως, οὐδ' ἐκ χάριτος ἐνεργούσης ἐν τῷ ὕδατι, ἀλλὰ διὰ μετανοίας προερχομένης ἐκ τῆς προαιρέσεως τοῦ βαπτιζομένου· τὸ δὲ τοῦ Χριστοῦ Βάπτισμα ἐξ αὐτοῦ τοῦ βαπτίζεσθαι ἐδίδου τὴν χάριν καὶ ἄφεσιν, ὡς ἄριστα ἐξέθηκε τοῦτο ὁ Βόστρων Ἐπίσκοπος Τίτος (εἰς τὸ β'. κεφ. τοῦ Λουκ. ἐν τῇ Βιβλιοθ. τῶν Πατέρων Τόμ. Β'. σελ. 779.)· «Ἐκήρυσσε δὲ βάπτισμα τῆς μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν· τὸ μὲν γὰρ Χριστοῦ βάπτισμα τελείως ἔχει ἄφεσιν ἁμαρτιῶν ἐξ αὐτοῦ τοῦ

σὺν ταῖς πράξεσιν αὐτοῦ[1]), καὶ εἰπὲ τὸ ἐν Ἄσμασιν ἐκεῖνο· «Ἐξεδυσάμην τὸν χιτῶνά μου, πῶς ἐνδύσομαι αὐτόν»; Ἀλλ' ἴσως ἐστί τις ἐν ὑμῖν ὑποκριτής, ἀνθρωπάρεσκος, καὶ τὸ μὲν εὐλαβὲς ὑποκρινόμενος, μὴ ἀπὸ καρδίας δὲ πιστεύων, Σίμωνος ἔχων τοῦ μάγου τὴν ὑπόκρισιν, οὐχ ἵνα μεταλάβῃ τῆς χάριτος προσελθὼν, ἀλλ' ἵνα πολυπραγμονήσῃ τὸ διδόμενον· ἀκουέτω καὶ οὗτος παρὰ Ἰωάννου· «Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται· πᾶν οὖν δένδρον, μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται καὶ εἰς πῦρ βάλεται». Ἀδυσώπητος ὁ δικαστής, ἄφελε τὴν ὑπόκρισιν.

§. Η'. Τί οὖν δεῖ ποιεῖν; καὶ τίνες εἰσὶν οἱ καρποὶ τῆς μετανοίας[2]); Ὁ ἔχων δύο χιτῶνας μεταδότω τῷ μὴ ἔχοντι, (ἀξιόπιστος ἦν ὁ διδάσκων, ἐπειδὴ καὶ πρῶτος ἐπετέλει τὸ διδασκόμενον· οὐκ ἐδυσωπεῖτο λέγειν· οὐ γὰρ ἐπεῖχεν ἡ συνείδησις κωλύουσα τὴν γλῶσσαν), καὶ ὁ ἔχων βρώματα, ὁμοίως ποιείτω. Πνεύματος ἁγίου χάριτος ἀπολαῦσαι θέλεις, καὶ βρωμάτων αἰσθητῶν πένητας οὐκ ἀξιοῖς; Τὰ μεγάλα ζητεῖς, καὶ μικρῶν οὐ μεταδίδως; Κἂν τελώνης, κἂν πόρνος ἦς, ἔλπιζε τὴν σωτηρίαν· «οἱ τελῶναι καὶ αἱ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ Θεοῦ». Καὶ μάρτυς ὁ Παῦλος, λέγων·

βαπτίζεσθαι· τὸ δὲ Ἰωάννου, εἰ καὶ αὐτὸ μὲν εἶχεν ἄφεσιν ἁμαρτιῶν, διὰ μετανοίας δέ· ἀτελὲς γὰρ ἦν, εἰ καὶ τῶν ἰουδαϊκῶν βαπτισμάτων τελειότερον ὑπῆρχεν· ἐποίει γὰρ αὐτοὺς ἐπιτηδείους εἰς μετάνοιαν, καὶ δεκτικοὺς αὐτῆς γενέσθαι παρεσκεύαζε τοὺς βαπτιζομένους».

[1]) Τὴν ἀπόδυσιν ταύτην τοῦ παλαιοῦ ἀνθρώπου καὶ τὴν ἔνδυσιν τοῦ νέου τίθησιν ὡς ἐναργὲς γνώρισμα τοῦ ἐν τῷ θείῳ λουτρῷ ἀναγεννηθέντος ὁ ἱερὸς Γρηγόριος Νύσσης· οὐδὲν γὰρ ἐξωτερικὸν σημεῖον, οὐδὲ χαρακτήρ τις ἄλλος γνώριμον ποιεῖ τὸν βεβαπτισμένον· μόνη ἡ κατὰ Θεὸν ζωὴ σύμβολον ὁρατὸν τυγχάνει τῆς πνευματικῆς ἀναπλάσεως (ἴδ. Ἑρμ. τῶν Ἐπιστ. τοῦ Παύλ. ὑπὸ Νικόδ. Τόμ. Β'. σελ. 169.).

[2]) Καρποὺς τῆς μετανοίας λέγει ὁ Πατὴρ τὰ ἔργα τῆς ἀγάπης καὶ τῆς ἐλεημοσύνης· ὁ δὲ Μ. Βασίλειος ἐρωτηθεὶς, τίνες εἰσὶν οἱ ἄξιοι καρποὶ τῆς μετανοίας, ἀπεκρίνατο· «Τὰ ἀντικείμενα τῇ ἁμαρτίᾳ ἔργα δικαιοσύνης, ἅπερ ὁ μετανοῶν καρποφορεῖν ὀφείλει, ποιῶν τὸ εἰρημένον, ἐν παντὶ ἔργῳ ἀγαθῷ καρποφοροῦντες (Τόμ. Β'. σελ. 737.).

«Οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε οἱ καθεξῆς, βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι»· «Καὶ ταῦτά τινες ἦτε· ἀλλὰ ἀπελούσασθε, ἀλλὰ ἡγιάσθητε». Οὐχ εἶπε, «τινές ἐστε», ἀλλὰ ταῦτα «τινὲς ἦτε». Ἡ ἐν τῇ ἀγνοίᾳ ἁμαρτία συγχωρεῖται, ἡ δὲ ἐπίμονος κακία καταδικάζεται.

§. Θ΄. Ἔχεις καύχημα τοῦ βαπτίσματος αὐτὸν τὸν Υἱὸν τοῦ Θεοῦ τὸν Μονογενῆ· τί γάρ μοι λοιπόν ἐστι λέγειν περὶ ἀνθρώπου; μέγας Ἰωάννης, ἀλλὰ τί πρὸς τὸν Κύριον; μεγάλη[1]) ἡ φωνή, ἀλλὰ τί πρὸς τὸν Λόγον; κάλλιστος ὁ κῆρυξ, ἀλλὰ τί πρὸς τὸν βασιλέα; καλὸς ὁ βαπτίζων ἐν ὕδατι, ἀλλὰ τί πρὸς τὸν βαπτίζοντα ἐν Πνεύματι ἁγίῳ καὶ πυρί; Πνεύματι ἁγίῳ καὶ πυρὶ τοὺς Ἀποστόλους ἐβάπτισεν ὁ Σωτὴρ[2]), ὅτε «ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος, ὥσπερ φε-

[1]) Οὕτω κεῖται ἐν τοῖς Κώδ. Roe καὶ Casaub. Ἐν δὲ τοῖς ἐκδεδομένοις φέρεται «μεγαλόφωνος ἡ φωνή».

[2]) Καὶ ὅτι μὲν οἱ Ἀπόστολοι τῷ Πνεύματι τῷ ἁγίῳ ἐβαπτίσθησαν κατὰ τὴν τῆς Πεντηκοστῆς ἡμέραν, αὐτὴ μαρτυρεῖ ἡ ἁγία Γραφὴ λέγουσα· «ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας» (Πράξ. ά. 5.). Φησὶ δὲ ὁ ἱερὸς Κύριλλος καὶ ἐν τῇ ΙΖ΄. Κατηχήσει §. ή. «Δοχεῖον γέγονε τοῦ νοητοῦ ὕδατος ὁ οἶκος· οἱ μαθηταὶ ἔνδον ἐκαθέζοντο, καὶ ὁ οἶκος πᾶς ἐπλήσθη· ἐβαπτίσθησαν τοίνυν ἀνελλιπῶς κατὰ τὴν ἐπαγγελίαν». Ἀλλὰ ζητεῖται, εἰ ἔλαβον οἱ Ἀπόστολοι τὸ ἐν ὕδατι βάπτισμα. Ἅπτεται τοῦ ζητήματος τούτου ὁ Χρυσοῤῥήμων, καὶ συνάμα λύει αὐτὸ, λέγων, ὅτι οἱ Ἀπόστολοι ἦσαν ἤδη πρὶν ἐν τῷ τοῦ Ἰωάννου μόνον βαπτίσματι βεβαπτισμένοι· «ὧδε τοίνυν λύεται τὸ ζήτημα. Εὑρίσκομεν τοὺς Ἀποστόλους λαβόντας βάπτισμα πρὸ τοῦ πάθους τοῦ Χριστοῦ Ἰωάννου τοῦ Βαπτιστοῦ. Ὁ Σωτὴρ δὲ πρὸ τοῦ πάθους οὐ δίδωσι βάπτισμα ἄλλο, ἵνα μὴ λύσῃ τὸ Ἰωάννου κήρυγμα, καὶ δώσῃ ἀφορμὴν τοῖς ἀντιλέγουσιν Ἰουδαίοις, ὅτι πρὸς ὕβριν τοῦ Βαπτιστοῦ Ἰωάννου ἐπεισήγαγεν ἄλλο ἴδιον βάπτισμα, ἀλλ' ἐᾷ αὐτοὺς ἔχειν τὸν ἀῤῥαβῶνα τοῦ ὕδατος, τηρῶν αὐτοῖς τὴν χάριν τοῦ Πνεύματος. Διὰ τοῦτο ὡς μηδέπω λαβοῦσι Πνεῦμα λέγει, λάβετε Πνεῦμα ἅγιον, μετὰ τὴν ἀνάςασιν· καί φησιν, ἀπέλθετε εἰς Ἱεροσόλυμα καὶ ἀναμείνατε ἐκεῖ τὴν ἐπαγγελίαν τοῦ Πατρὸς, ἣν ἠκούσατέ μου, ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας· οὐκέτι ὕδατι· ἔλαβον γάρ· ἀλλὰ Πνεύματι ἁγίῳ» (Τόμ. Γ΄. σελ. 929.). Ταῦτα μὲν ὁ Χρυσόστομος· ἄλλη δέ τις γνώμη θέλει,

ρομένης πνοῆς βιαίας, καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον, οὗ ἦσαν καθήμενοι· καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός, καὶ ἐκάθισεν ἐφ' ἕνα ἕκαστον αὐτῶν, καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος ἁγίου».

§. Ι'. Εἴ τις μὴ λάβῃ τὸ βάπτισμα, σωτηρίαν οὐκ ἔχει· πλὴν μόνων μαρτύρων, οἳ καὶ χωρὶς τοῦ ὕδατος λαμβάνουσι τὴν βασιλείαν[1])· λυτρούμενος γὰρ τὴν Οἰκουμένην ὁ Σωτὴρ διὰ τοῦ Σταυροῦ,

---

ὅτι ἐβαπτίσθησαν οἱ Ἀπόστολοι καὶ ἐν τῷ Βαπτίσματι τοῦ Χριςοῦ, πλὴν οὕτως, ὥστε μόνον τὸν Πέτρον ἐβάπτισεν ὁ Χριστός· Πέτρος δὲ Ἀνδρέαν· Ἀνδρέας δὲ Ἰάκωβον καὶ Ἰωάννην· οὗτοι δὲ πάλιν τοὺς λοιπούς. Τὴν παράδοσιν ταύτην εὑρίσκεις ἐν τῷ νέῳ Παραδείσῳ, εἴτε Λειμωναρίῳ τοῦ Ἰωάννου Μόσχου, κειμένην οὕτω· «Τί οὖν; ἐπειδὴ οὐ γέγραπται περὶ τῶν Ἀποστόλων ὅτι ἐβαπτίσθησαν, οὐκ εἰσέρχονται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν; Πάλιν δὲ τούτοις ἄλλοι ἀντεφέροντο, λέγοντες, ναὶ, ἀληθῶς ἐβαπτίσθησαν, καθὼς Κλήμης ὁ Στρωματεὺς, ἐν τῷ πέμπτῳ Τόμῳ τῶν ὑποτυπώσεων μέμνηται· φησὶ γὰρ (τὸ ἀποστολικὸν ῥητὸν ἐξηγούμενος τὸ λέγον· εὐχαριστῶ ὅτι οὐδένα ὑμῶν ἐβάπτισα) ὁ Χριστὸς λέγεται Πέτρον μόνον βεβαπτικέναι· Πέτρος δὲ Ἀνδρέαν· Ἀνδρέας δὲ Ἰάκωβον καὶ Ἰωάννην, ἐκεῖνοι τοὺς λοιποὺς» (Λειμων. Μόσχου κεφ. 171). Ὅμοια τούτοις λέγει καὶ τὸ τεμάχιον ἐκεῖνο, ὅπερ ὁ Κοτελέριος ἐκ Κώδηκός τινος ἀποσπάσας ἐξέδωκε (Τόμ. Α'. σελ. 119.). Πολλὴν ἔχει ὁμοιότητα πρὸς τοῦτο ἕτερον τεμάχιον, ὑπὸ τὸ ὄνομα Θεοδωρήτου Ἐπισκόπου Τύρου, ἐκδεδομένον ἐν τῷ Πασχαλίῳ Χρονικῷ (Τόμ. Β'. σελ. 144. ἔκδ. Βόννης). Φησὶ δὲ καὶ Εὐθύμιος ὁ Ζιγαβηνός· «Γράφουσι δὲ καί τινες, ἐγγίζοντες τοῖς χρόνοις τῶν Ἀποστόλων, ὅτι ὁ μὲν Χριστὸς ἐβάπτισε τὸν Πέτρον καὶ τὴν Θεοτόκον· ὁ δὲ Πέτρος πάντας τοὺς Ἀποστόλους» (εἰς Ἰωάν. γ'. 5.). Περὶ τοῦ βαπτίσματος τῶν Ἀποστόλων βλέπε καὶ Τερτυλλιανὸν (de baptismo cap. 12.), Αὐγουστῖνον (Epist. 108.), καὶ Νικηφόρον Κάλλ. (Ἐκκλ. Ἱστορ. Β'. 3.)· ἐκ δὲ τῶν νεωτέρων Κοτελέριον (Τόμ. Α'. σελ. 119.).

[1]) Σταθερά ἐστιν αὕτη καὶ πανταχόθεν ἀνωμολογημένη καὶ ἀναντίῤῥητος γνώμη τῆς Ἐκκλησίας, ὅτι οἱ ἐπὶ τῷ ὀνόματι τοῦ Χριστοῦ σφαγιασθέντες μάρτυρες, οὗτοι, εἰ μὴ πρότερον ἦσαν βεβαπτισμένοι, ἐβαπτίσθησαν ἤδη ἐν τῷ ἰδίῳ αἵματι, οὐδ' ἐπιδέονται τοῦ ἐν ὕδατι βαπτίσματος. Τὸ διὰ μαρτυρίου καὶ αἵματος τοῦτο βάπτισμα πολὺ αἰδεσιμώτερον νομίζει ὁ Θεολόγος Γρηγόριος τῶν

καὶ τὴν πλευρὰν νυγείς, ἐξήγαγεν αἷμα καὶ ὕδωρ· ἵνα οἱ μὲν ἐν καιροῖς εἰρήνης ἐν ὕδατι βαπτισθῶσιν, οἱ δὲ ἐν καιροῖς διωγμῶν ἐν οἰκείοις αἵμασι βαπτισθῶσι· καὶ τὸ μαρτύριον γὰρ οἶδε βάπτισμα καλεῖν ὁ Σωτήρ, λέγων· «Δύνασθε πιεῖν τὸ ποτήριον, ὃ ἐγὼ πίνω, καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθῆναι»; Καὶ οἱ μὲν μάρτυρες ὁμολογοῦσι, θέατρον τῷ κόσμῳ γενόμενοι καὶ ἀγγέλοις καὶ ἀνθρώποις· σὺ δὲ μετ' ὀλίγον ὁμολογήσεις· ἀλλὰ οὔπω σοι περὶ τούτων ἀκούειν καιρός.

§. ΙΑ'. Ἡγίασε τὸ βάπτισμα ὁ Ἰησοῦς, βαπτισθεὶς αὐτός. Εἰ ὁ Υἱὸς τοῦ Θεοῦ ἐβαπτίσθη, τίς ἐςι βαπτίσματος καταφρονῶν εὐσεβής[1]); Ἐβαπτίσθη δέ, οὐχ ἵνα ἁμαρτιῶν λάβῃ συγχώρησιν (ἀναμάρτητος γὰρ ἦν), ἀλλὰ ἀναμάρτητος ὢν ἐβαπτίσθη, ἵνα χάριν θείαν καὶ ἀξίαν παράσχῃ τοῖς βαπτιζομένοις[2]). Ὥσπερ γάρ, ἐπειδὴ τὰ παιδία κεκοι-

---

ἄλλων βαπτισμάτων, διὰ τὸ ἀσφαλὲς καὶ ἀνεπίδεκτον δευτέρων ῥυπώσεων· «Οἶδα καὶ τέταρτον βάπτισμα, τὸ διὰ μαρτυρίου καὶ αἵματος, ὃ καὶ αὐτὸς Χριστὸς ἐβαπτίσατο, καὶ πολύ γε τῶν ἄλλων αἰδεσιμώτερον, ὅσῳ δευτέροις ῥύποις οὐ μολύνεται» (Λόγ. ΛΘ'.). Γνησιώτερον βάπτισμα ὀνομάζουσι τοῦτο καὶ αἱ τῶν Ἀποστόλων διαταγαὶ (Βιβλ. Ε'. κεφ. β'.) λέγουσαι· «Ὁ ἀξιωθεὶς μαρτυρίου χαιρέτω τὴν ἐν Κυρίῳ χαράν, ὡς τηλικούτου ἐπιτυχὼν στεφάνου, καὶ δι' ὁμολογίας ποιούμενος τὴν ἔξοδον τοῦ βίου· κἂν Κατηχούμενος ᾖ, ἄλυπος ἀπίτω· τὸ γὰρ πάθος τὸ ὑπὲρ Χριςοῦ ἔσται αὐτῷ γνησιώτερον βάπτισμα, ὅτι αὐτὸς μὲν πείρᾳ συναποθνήσκει τῷ Κυρίῳ, οἱ δὲ λοιποὶ τύπῳ». Μετ' ἐγκωμίων λαλοῦσι περὶ τοῦ βαπτίσματος τούτου καὶ Τερτυλλιανὸς (de Baptismo cap. 16.), καὶ Κυπριανὸς (Epist. 63.), καὶ Ὠριγένης (εἰς Ματθ. καὶ εἰς Ἰωάν.), καὶ Μ. Βασίλειος (περὶ τοῦ ἁγίου Πνεύμ. κεφ. ιέ.), καὶ Χρυσόστομος (Τόμ. Β'. σελ. 628.).

[1]) Ἐν τοῖς τρισὶ Κώδ. Coisl., Roe καὶ Casaub. γράφεται «τίς ἔτι βαπτίσματος καταφρονῶν εὐσεβεῖ»;

[2]) Ὅτι μὲν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐβαπτίσθη οὐχὶ καθαρσίων δεόμενος, οὐδ' ἵνα συγχώρησιν λάβῃ ἁμαρτημάτων, ὁ τὰς ἁμαρτίας αἴρων τοῦ κόσμου, τοῦτο καὶ αἱ Γραφαὶ μαρτυροῦσι, καὶ ἡ Ἐκκλησία κηρύσσει, καὶ οἱ Πατέρες διδάσκουσι, καὶ ὁ λόγος πείθει· ἀλλὰ ζητεῖται, τίς ἄρά γε ἦν ἡ αἰτία, δι' ἣν ἐλήλυθε πρὸς τὸ βάπτισμα ὁ Σωτὴρ ἡμῶν; Ὁ ἱερὸς Κύριλλος λύει τὸ ζήτημα ἐνταῦθα, διδάσκων ὅτι ὁ Κύριος ἐβα-

νώνηκεν αἵματος καὶ σαρκὸς, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα τῆς ἐνσάρκου παρουσίας αὐτοῦ κοινωνοὶ γενόμενοι, καὶ τῆς θείας αὐτοῦ χάριτος κοινωνοὶ γενώμεθα· οὕτως ἐβαπτίσθη Ἰησοῦς,

---

πτίσθη, ἵνα ἁγιάσῃ τὸ βάπτισμα καὶ «χάριν θείαν καὶ ἀξίαν παράσχῃ τοῖς βαπτιζομένοις». Τοῦτο λέγει καὶ Κατήχ. ΙΒ΄. §. 15. «Παρεγένετο Χριστὸς ἵνα βαπτισθῇ καὶ ἁγιάσῃ τὸ βάπτισμα». Ἐπειδὴ δηλονότι τὸ βάπτισμα Ἰωάννου ἄμοιρον ἦν καὶ ἀπεστερημένον θείας δωρεᾶς καὶ χάριτος, ἐβαπτίσθη ὁ Σωτὴρ ἡμῶν ἐν αὐτῷ, ἵνα, ἐπιφοιτήσαντος τοῦ ἁγίου Πνεύματος, νέα χάρις καὶ ἁγιασμὸς δοθῇ τῷ βαπτίσματι, ὧν ἐστερεῖτο πρότερον, καὶ ἵνα οἱ τοῦ λοιποῦ βαπτιζόμενοι μέτοχοι καὶ κοινωνοὶ τῆς ἀπὸ τῶν ναμάτων ἐκείνων ἀνατελλούσης θείας χάριτος γένωνται. Ταύτην τοῦ θείου Κυρίλλου τὴν γνώμην ἔχουσι καὶ Γρηγόριος ὁ Θαυματουργὸς (ἐν τῷ περὶ Πίστεως κεφ. 12.), καὶ Ὠριγένης (ἐν τῇ σειρᾷ εἰς τὸν Ἰωάν. κεφ. ά.), καὶ Δαμασκηνὸς (Ἔκθ. ὀρθ. πίστ. δ΄. 10.), καὶ Ἱλάριος (in Matth. II.), καὶ Ἀμβρόσιος (in Luc. III.), καὶ Ἱερώνυμος (adversus Luciferianos), καὶ Γρηγόρ. Παλαμᾶς (σελ. 87.), καὶ Χρυσόστομος (Τόμ. Η΄. σελ. 114.), ὃς καὶ λέγει· «Οὐκ ἄρα τοῦ βαπτίσματος ἐδεῖτο ὁ Χριστὸς, οὐκ ἐκείνου, οὐχ ἑτέρου τινός· ἀλλὰ μᾶλλον τὸ βάπτισμα ἔχρηζε τῆς δυνάμεως τοῦ Χριστοῦ. Τὸ γὰρ ἐλλεῖπον τοῦτο ἦν τὸ κεφάλαιον πάντων τῶν ἀγαθῶν, τὸ Πνεύματος ἀξιωθῆναι τὸν βαπτιζόμενον». Καὶ αὕτη μὲν ἐστὶν ἡ πρώτη καὶ ἀρχικὴ καὶ κυρία αἰτία τοῦ κυριακοῦ βαπτίσματος. Τὰ δ' ἱερὰ Εὐαγγέλια ὑποδεικνύουσι, καὶ ὁ θαυμάσιος Χρυσοῤῥήμων λαμπρῶς ἀναπτύσσει, καὶ ἄλλην αἰτίαν, τὴν ἑξῆς. Ὁ Χριστὸς ἐβαπτίσθη, ἵνα πληρώσῃ τὸν νόμον· «Πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην» (Ματθ. γ΄. 15.)· ἐπὶ τούτου τοῦ Εὐαγγελικοῦ ῥητοῦ φησὶν ὁ Χρυσοῤῥήμων· «Τί ποτέ ἐστι πληρῶσαι πᾶσαν δικαιοσύνην; Δικαιοσύνη λέγεται τῶν ἐντολῶν πασῶν ἡ πλήρωσις· ὥσπερ ὅταν λέγῃ· Ἦσαν ἀμφότεροι δίκαιοι πορευόμενοι ἐν ταῖς ἐντολαῖς τοῦ Κυρίου ἄμεμπτοι. Ἐπεὶ οὖν ἤδει πληρῶσαι τὴν δικαιοσύνην ταύτην τοὺς ἀνθρώπους ἅπαντας, οὐδεὶς δὲ αὐτὴν ἀπήρτισεν, οὐδὲ ἐπλήρωσεν, ἐλθὼν ὁ Χριστὸς πληροῖ τὴν δικαιοσύνην ταύτην» (Τόμ. Β΄. σελ. 437.). Εἶπε δὲ καὶ ὁ Δαμασκηνός· «βαπτίζεται, ἵνα πληρώσῃ τὸν νόμον» (Ἔκθ. ὀρθ. πίστ. δ΄. 10.). Καὶ τὰς δύο ταύτας αἰτίας συνενῶν ὁ ἱερὸς Ἐπιφάνιος λέγει· «Ἐλθὼν εἰς τὸν Ἰορδάνην, βαπτισθεὶς ὑπὸ Ἰωάννου, οὐκ ἐπιδεόμενος λουτροῦ, διὰ δὲ τὸ ἀκόλουθον τῆς ἐν νόμῳ ἐνανθρωπήσεως, μὴ ταράσσων τὸ δίκαιον, ὅπως πληρωθῇ, ὡς αὐτὸς ἔφη, πᾶσα δικαιοσύνη, ἵνα δείξῃ ὅτι ἀληθινὴν σάρκα ἐν-

ἵνα καὶ διὰ τούτου πάλιν ἡμεῖς τῇ κοινωνίᾳ λάβωμεν μετὰ τῆς σωτηρίας τὴν ἀξίαν. Ὁ δράκων ἦν ἐν τοῖς ὕδασι κατὰ τὸν Ἰώβ, ὁ δεχόμενος τὸν Ἰορδάνην ἐν τῷ στόματι αὐτοῦ[1]). Ἐπεὶ οὖν ἔδει συντρίψαι τὰς κεφαλὰς τοῦ δράκοντος, καταβὰς ἐν τοῖς ὕδασιν ἔδησε τὸν ἰσχυρὸν, ἵνα ἐξουσίαν λάβωμεν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων. Οὐ μικρὸν ἦν τὸ θηρίον, ἀλλὰ φοβερόν. Πᾶσα ναῦς ἁλιευτικὴ βύρσαν μίαν οὐρᾶς αὐτοῦ ἐνεγκεῖν οὐκ ἠδύνατο· ἔμπροσθεν αὐτοῦ ἔτρεχεν ἡ ἀπώλεια, λυμαινομένη τοὺς ἀπαντῶντας· προσέδραμεν ἡ ζωὴ, ἵνα λοιπὸν ὁ θάνατος φιμωθῇ, ἵνα οἱ σωθέντες ἅπαντες εἴπωμεν· «Ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη, τὸ νῖκος»[2]); διὰ τοῦ βαπτίσματος λύεται τοῦ θανάτου τὸ κέντρον[3]).

εδύσατο, ἀληθινὴν ἐνανθρώπησιν, κατερχόμενος εἰς τὰ ὕδατα, διδοὺς ἤ περ λαμβάνων, παρεχόμενος ἢ ἐπιδεόμενος, φωτίζων αὐτὰ, ἐνδυναμῶν αὐτὰ, εἰς τύπον τῶν μελλόντων ἐν αὐτῷ τελειοῦσθαι, ὅπως οἱ αὐτῷ πεπιστευκότες ἐν ἀληθείᾳ, ὡς ἔχοντες τὴν πίστιν τῆς ἀληθείας, μάθωσιν, ὅτι ἀληθινῶς ἐνηνθρώπησεν, ἀληθινῶς ἐβαπτίσθη· καὶ οὕτω διὰ τῆς αὐτοῦ συγκαταθέσεως καὶ αὐτοὶ ἐρχόμενοι, λάβωσι τῆς αὐτοῦ καταβάσεως τὴν δύναμιν, καὶ φωτισθῶσιν ἀπὸ τῆς αὐτοῦ φωταγωγίας» (ἐν τῇ Ἀνακεφαλαιώσει, Τόμ. Β΄. σελ. 153). Ὁ δὲ θεῖος Δαμασκηνὸς ἑπτὰ ἀριθμεῖ, δι' ἃ ὁ Κύριος ἡμῶν ἐβαπτίσθη· «Βαπτίζεται δὲ οὐχὶ ὡς αὐτὸς χρήζων καθάρσεως, ἀλλὰ τὴν ἐμὴν οἰκειούμενος κάθαρσιν, ἵνα συντρίψῃ τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος, ἵνα κλύσῃ τὴν ἁμαρτίαν καὶ πάντα τὸν παλαιὸν Ἀδὰμ ἐνθάψῃ τῷ ὕδατι, ἵνα ἁγιάσῃ τὸν βαπτιστὴν, ἵνα πληρώσῃ τὸν νόμον, ἵνα τὸ τῆς Τριάδος ἀποκαλύψῃ μυστήριον, ἵνα τύπος καὶ ὑπογραμμὸς ἡμῖν πρὸς τὸ βαπτίζεσθαι γένηται» (Ἔκθ. Ὀρθ. πίστ. πβ΄.).

[1]) Ἰὼβ μ΄. 18.—Τὸ θεῖον κείμενον τῆς Γραφῆς ἔχει οὕτω· «Πέποιθεν ὅτι προσκρούσει ὁ Ἰορδάνης εἰς τὸ στόμα αὐτοῦ· ἐν τῷ ὀφθαλμῷ αὐτοῦ δέξεται αὐτόν».

[2]) Τὸ ῥητὸν τοῦτο, κείμενον ἐνταῦθα, ὅπως καὶ ἐν τῷ Ἀποστόλῳ, ἐκφέρει ὁ Κύριλλος καὶ ἐν Κατηχ. ΙΔ΄. §. 19, ἀλλὰ μικρὸν παρηλλαγμένον, οὕτω· «Ποῦ σου, θάνατε, τὸ νῖκος, ποῦ σου, ᾅδη, τὸ κέντρον»;

[3]) Κέντρον τοῦ θανάτου ἐστὶν ἡ ἁμαρτία (Α΄. Κορινθ. ιέ. 56.), ἡ δίκην ἑρπετοῦ ἰοβόλου κεντοῦσα καὶ πλήττουσα. Ἐπειδὴ δὲ τὸ ἅγιον Βάπτισμα αἴρει τὴν ἁμαρτίαν, καὶ πᾶν αὐτῆς ἴχνος ἐξαφανίζει, δῆλον ὅτι οὐδὲ κέντρον ἔτι ἐναπολείπεται θανάτου, ὃς ἀντὶ πικροῦ καὶ θλιβεροῦ

§. ΙΒ΄. Κατέρχῃ μὲν εἰς τὸ ὕδωρ φορῶν[1]) τὰς ἁμαρτίας· ἀλλ' ἡ τῆς χάριτος ἐπίκλησις, σφραγίσασά σου[2]) τὴν ψυχὴν, οὐ συγχωρεῖ λοιπὸν ὑπὸ τοῦ φοβεροῦ καταποθῆναι δράκοντος. Νεκρὸς ἐν ἁμαρτίαις καταβὰς, ἀναβαίνεις ζωοποιηθεὶς ἐν δικαιοσύνῃ[3]). Εἰ γὰρ σύμφυτος ἐγένου τῷ ὁμοιώματι τοῦ θανάτου τοῦ Σωτῆρος, καὶ τῆς ἀναστάσεως καταξιωθήσῃ. Ὥσπερ γὰρ Ἰησοῦς τὰς οἰκουμενικὰς ἁμαρτίας ἀναλαβὼν ἀπέθανεν, ἵνα θανατώσας τὴν ἁμαρτίαν ἀναστῇ ἐν δικαιοσύνῃ[4]), οὕτω καὶ σὺ, καταβὰς εἰς τὸ ὕδωρ, καὶ τρόπον τινὰ ἐν τοῖς ὕδασι ταφεὶς[5]), ὥσπερ ἐν τῇ πέτρᾳ, ἐγείρῃ πάλιν ἐν καινότητι ζωῆς περιπατῶν.

γίνεται γλυκὺς καὶ ἀναπαυτικὸς καὶ πολλῆς πρόξενος εὐφροσύνης, ὡς παραπέμπων ἐπὶ τὴν μακαρίαν ἐκείνην καὶ διηνεκῆ καὶ ἀθάνατον καὶ πέρας οὐκ ἔχουσαν ζωήν. Ὅθεν εἶπε καὶ ὁ Χρυσόστομος· «Οὐκέτι θάνατος λέγεται, ἀλλὰ κοίμησις καὶ ὕπνος· πρὸ μὲν γὰρ τῆς Χριστοῦ παρουσίας καὶ τῆς τοῦ σταυροῦ οἰκονομίας καὶ αὐτὸ τοῦ θανάτου τὸ ὄνομα φοβερὸν ἐτύγχανεν· ἐπεὶ δὲ Χριστὸς ὁ Θεὸς ἡμῶν θυσία προσηνέχθη καὶ τὰ τῆς ἀναστάσεως προεχώρησε, περιῆρε τὰς προσηγορίας αὐτὰς ὁ φιλάνθρωπος Δεσπότης, καὶ καινὴν καὶ ξένην πολιτείαν εἰς τὸν βίον εἰσήγαγε τὸν ἡμέτερον· ἀντὶ γὰρ θανάτου λοιπὸν κοίμησις καὶ ὕπνος λέγεται ἡ ἐντεῦθεν μετάστασις» (Τόμ. Γ΄. σελ. 905.).

[1]) Ἀντὶ «φορῶν», οἱ Κώδ. Roe καὶ Casaub. ἔχουσιν «ἔτι φέρων».

[2]) Τὸ «σου» προσεθήκαμεν ἐκ τῶν Κωδήκων Roe καὶ Casaub.

[3]) Ὅμοια καὶ τὰ ἐν τῇ Ἐπιστολῇ τοῦ θείου Βαρνάβα κείμενα (§. 11.)· «Ἡμεῖς μὲν καταβαίνομεν εἰς τὸ ὕδωρ γέμοντες ἁμαρτιῶν καὶ ῥύπου, καὶ ἀναβαίνομεν καρποφοροῦντες ἐν τῇ καρδίᾳ τὸν φόβον, καὶ τὴν ἐλπίδα εἰς τὸν Ἰησοῦν ἔχοντες ἐν τῷ πνεύματι».

[4]) Οὕτω κεῖται ἡ φράσις αὕτη ἐν τοῖς Κώδηξι Roe καὶ Casaub. Αἱ ἐκδόσεις ἔχουσιν· «ἀναστήσει σε ἐν δικαιοσύνῃ».

[5]) Τοῦθ' ὅπερ λέγει ἐνταῦθα ὁ Κύριλλος «τρόπον τινὰ ἐν τοῖς ὕδασι ταφεὶς», ὁ Μ. Βασίλειος εἶπεν «οἱονεὶ ἐνθάπτεται τῷ ὕδατι τῶν βαπτιζομένων τὰ σώματα» (Περὶ τοῦ ἁγίου Πνεύματος κεφ. ιε.). Σημείωσαι, ὅτι δύο σκοποὶ πρόκεινται ἐν τῷ ἁγίῳ Βαπτίσματι, καὶ δύο τύποι καὶ εἰκόνες ἐν αὐτῷ παρίστανται. Ὁ πρῶτος σκοπός ἐστιν ἡ νέκρωσις καὶ κατάργησις τοῦ σώματος τῆς ἁμαρτίας· ὡς τύπος δὲ καὶ εἰκὼν τοῦ θανάτου τούτου εἴληπται τὸ ὕδωρ, ἐν ᾧ καταβαίνοντες ἐνθαπτόμεθα· δεύτερος σκοπὸς τοῦ βαπτίσματός ἐστιν ἡ ζωοποίησις καὶ ἡ

§. ΙΓʹ. Εἶθ' ὅταν τῆς χάριτος καταξιωθῇς, τότε σοι πρὸς τὰς ἀντικειμένας δυνάμεις παλαίειν δίδωσι τὴν ἐξουσίαν. Ὥσπερ γὰρ μετὰ τὸ βάπτισμα τεσσαράκοντα ἡμέρας ἐπειράζετο· οὐχ ὅτι καὶ πρὸ τούτου νικᾷν οὐκ ἠδύνατο, ἀλλ' ὅτι πάντα τάξει καὶ ἀκολουθίᾳ πράττειν ἐβούλετο· οὕτω καὶ σὺ, πρὸ τοῦ βαπτίσματος τοῖς ἀντικειμένοις παλαίειν μὴ τολμήσας[1]), λαβὼν δὲ τὴν χάριν καὶ λοιπὸν θαρσῶν, τοῖς τῆς δικαιοσύνης ὅπλοις ἀγωνίζου τότε, καὶ εἰ θέλεις εὐαγγελίζου[2]).

§. ΙΔʹ. Ἰησοῦς Χριστὸς Θεοῦ Υἱὸς ἦν, ἀλλ' οὐ πρὸ τοῦ βαπτίσματος εὐηγγελίσατο[3]). Εἰ ὁ Δεσπότης αὐτὸς μετήρχετο κατὰ τάξιν

ἐν ἁγιασμῷ ἀνακαίνισις· τὴν ζωοποιὸν δὲ ταύτην δύναμιν ἐνίησι τὸ Πνεῦμα, τὸ ἐκ τῆς νεκρότητος ἐξεγεῖρον, καὶ τὸν καινὸν ἄνθρωπον κτίζον. Φησὶ δὲ καὶ ὁ Χρυσόστομος· «Καθάπερ ἔν τινι τάφῳ τῷ ὕδατι καταδυόντων ἡμῶν τὰς κεφαλὰς, ὁ παλαιὸς ἄνθρωπος θάπτεται, καὶ καταδὺς κάτω κρύπτεται ὅλος καθάπαξ· εἶτα, ἀνανευόντων ἡμῶν, ὁ καινὸς ἄνεισι πάλιν» (Ὁμιλ. ΚΕʹ. εἰς Ἰωάν.).

[1]) Ἐν τοῖς Κώδ. Roe καὶ Casaub. «μὴ τολμήσῃς».

[2]) Ἡ γνησία ἀρετὴ καὶ τὸ ἀληθὲς κατὰ τῶν παθῶν κράτος ἐνεργεῖται καὶ δείκνυται ἐν μόνῳ τῷ βεβαπτισμένῳ, τῷ Πνεύματος ἁγίου μετέχοντι, καὶ ὑπὸ χάριτος θείας κραταιωθέντι· πρὸ τοῦ θείου ὅμως Βαπτίσματος δύσοιστοι καὶ ἀκατάβλητοι ἀποβαίνουσιν αἱ τῶν πειρασμῶν προσβολαὶ, ἀπούσης τῆς πνευματικῆς εὐρωστίας. Τοῦτο σαφέστερον ἐδήλωσεν ὁ Πατὴρ ἐν Κατηχ. ΙΖʹ. §. 36, καὶ Κατήχ. ΚΑʹ. §. 4. Τὴν ἔννοιαν ταύτην τοῦ ἡμετέρου Κυρίλλου τορώτατα ἐκφράζει καὶ ὁ Ἀλεξανδρείας Κύριλλος (Σύνοδ. Συλλ. Τόμ. Αʹ. σελ. 427). Εἰς τὸ αὐτὸ νόημα φέρουσι καὶ τὰ τοῦ Θεολόγου Γρηγορίου (Λόγ. Μʹ.)· «Ἐάν σοι προσβάλῃ μετὰ τὸ βάπτισμα ὁ τοῦ φωτὸς διώκτης καὶ πειραστὴς (προσβαλεῖ δὲ, καὶ γὰρ καὶ τῷ Λόγῳ καὶ Θεῷ μου προσέβαλε διὰ τὸ κάλυμμα, τῷ κρυπτῷ φωτὶ διὰ τὸ φαινόμενον), ἔχεις, ᾧ νικήσεις· μὴ φοβηθῇς τὸν ἀγῶνα· προβαλοῦ τὸ ὕδωρ, προβαλοῦ τὸ πνεῦμα, ἐν ᾧ πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβεσθήσεται».

[3]) Οὔτε εὐηγγελίσατο, οὔτε ἐθαυματούργησεν ὁ Σωτὴρ ἡμῶν πρὸ τοῦ βαπτίσματος· ὁ δὲ θεῖος Χρυσόστομος δίδωσι καὶ τὸν λόγον, διατί πρὸ τοῦ βαπτίσματος ὁ Χριστὸς οὐκ ἤρξατο εὐαγγελίζεσθαι καὶ θαυματουργεῖν· «Ἀλλὰ γὰρ οὐδὲν ἐποίησε, παῖς ὤν, ἀλλ' ἓν τοῦτο μόνον ἐμαρτύρησεν ὁ Λουκᾶς, ὅτι ἐκαθέζετο δωδεκαέτης ὢν τῶν διδασκάλων ἀκροώμενος, καὶ διὰ τῆς ἐρωτήσεως ἐδόκει θαυμαστὸς

τὸν καιρὸν, ἆρά γε οἱ δοῦλοι τολμᾶν ἀτάκτως ὀφείλομεν; Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν, ὅτε κατῆλθεν ἐπ' αὐτὸν τὸ Πνεῦμα τὸ ἅγιον σωματικῷ εἴδει ὡσεὶ περιστερὰ, οὐχ ἵνα Ἰησοῦς τοῦτο ἴδῃ πρῶτος[1]· (ᾔδει γὰρ καὶ πρὸ τοῦ σωματικῶς ἐλθεῖν)· ἀλλ' ἵνα θεωρήσῃ ὁ βαπτίζων Ἰωάννης· «Ἐγὼ γὰρ, φησὶν, οὐκ ᾔδειν αὐτόν· ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν· ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον, καὶ μένον ἐπ' αὐτὸν, ἐκεῖνός ἐστιν»[2]). Ἐὰν

εἶναι. Καὶ ἄλλως δὲ εἰκότως καὶ κατὰ λόγον οὐκ ἤρξατο τῶν σημείων ἐκ πρώτης ἡλικίας εὐθέως· ἐνόμισαν γὰρ ἂν φαντασίαν εἶναι τὸ πρᾶγμα. Εἰ γὰρ ἐν ἡλικίᾳ γενομένου πολλοὶ τοῦτο ὑπώπτευσαν, πολλῷ μᾶλλον ἐὰν μειράκιον ὢν κομιδῇ ἐθαυματούργει, καὶ θᾶττον δὲ καὶ πρὸ τοῦ προσήκοντος καιροῦ ἐπὶ τὸν Σταυρὸν ὥρμησαν ἂν, τῇ βασκανίᾳ τηκόμενοι» (Τόμ. Η'. σελ. 141.).

[1]) Ὀρθῶς παρατηρεῖ ὁ Τ., ὅτι τὸ «πρῶτος» ἐνταῦθα κεῖται ἀντὶ τοῦ «πρῶτον» ἢ «πρώτως».

[2]) Ἡ ἐν εἴδει περιστερᾶς κάθοδος τοῦ παναγίου Πνεύματος ἐν καιρῷ τοῦ σωτηρίου Βαπτίσματος ἐγένετο οὐ πρὸς ἁγιασμὸν τοῦ Χριστοῦ, ἀλλὰ α'.) πρὸς δεῖξιν καὶ φανέρωσιν αὐτοῦ· β'.) πρὸς ἁγιασμὸν ἡμῶν. Τὸ πρῶτον διδάσκει ὁ Χρυσοῦς τὴν γλῶτταν διδάσκαλος· «Ἵνα μή τις νομίσῃ ὅτι ἐν χρείᾳ καθειστήκει τοῦ Πνεύματος, καθάπερ ἡμεῖς, ἄκουσον, πῶς καὶ ταύτην ἀναιρεῖ τὴν ὑποψίαν, δεικνὺς, ὅτι ἡ τοῦ Πνεύματος κάθοδος ὑπὲρ τοῦ κηρῦξαι τὸν Χριςὸν μόνον ἐγένετο . . . . Ὁρᾷς, ὅτι τοῦτο ἔργον τοῦ Πνεύματος ἦν τὸ δεῖξαι τὸν Χριςόν; (Τόμ. Η'. σελ. 113.) τὸ δεύτερον ὁ Μέγας Ἀθανάσιος· (Τόμ. Α'. σελ. 171.)· «Ἡ εἰς αὐτὸν (τὸν Χριστὸν) ἐν τῷ Ἰορδάνῃ τοῦ Πνεύματος γενομένη κάθοδος εἰς ἡμᾶς ἦν γινομένη, διὰ τὸ φορεῖν αὐτὸν σῶμα, καὶ οὐκ ἐπὶ βελτιώσει γέγονε τοῦ Λόγου, ἀλλ' εἰς ἡμῶν πάλιν ἁγιασμὸν, ἵνα τοῦ χρίσματος αὐτοῦ μεταλάβωμεν, καὶ περὶ ἡμῶν λεχθῇ· οὐκ οἴδατε, ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ ἐν ὑμῖν οἰκεῖ; Τοῦ γὰρ Κυρίου ὡς ἀνθρώπου λουομένου εἰς τὸν Ἰορδάνην, ἡμεῖς ἦμεν οἱ ἐν αὐτῷ καὶ παρ' αὐτοῦ λουόμενοι· καὶ δεχομένου δὲ αὐτοῦ τὸ Πνεῦμα, ἡμεῖς ἐσμεν οἱ παρ' αὐτοῦ γινόμενοι τούτου δεκτικοί». Λέγει δὲ καὶ ὁ ἱερὸς Ἐπιφάνιος (ἐν τῷ Ἀγκυρωτῷ σελ. 121.)· «Τὸ δὲ ἅγιον Πνεῦμα ἐν εἴδει περιστερᾶς κατέβαινεν ἐπ' αὐτὸν, εἰς τὰ ὕδατα κατεληλυθότα, ἵνα καθαρὰ αὐτὰ ἀποδείξῃ, ἕνεκεν τῶν μελλόντων εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματας βαπτίζεσθαι». Ὁ ἱερὸς Χρυσορρήμων λύει καὶ τὴν ἐκ τοῦ παρατεθειμένου Εὐαγγελικοῦ ῥη-

οὖν[1]) καὶ αὐτὸς ἔχῃς ἀνυπόκριτον εὐλάβειαν, κατέρχεται καὶ ἐπὶ σὲ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ φωνή σοι πατρικὴ ἄνωθεν ἐπηχεῖ, οὐχ, «οὗτός ἐστιν ὁ Υἱός μου», ἀλλ' «οὗτος νῦν γέγονεν υἱός μου»· ἐπ' ἐκείνου γὰρ μόνου τὸ «ἐστιν», ἐπειδὴ «ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος». Ἐπ' ἐκείνου τὸ «ἐστιν», ἐπειδὴ πάντοτέ ἐστιν Υἱὸς Θεοῦ· ἐπὶ δὲ σοῦ τὸ «νῦν γέγονεν», ἐπειδὴ οὐ κατὰ φύσιν ἔχεις, ἀλλὰ κατὰ θέσιν τὴν υἱοθεσίαν λαμβάνεις· ἐκεῖνος ἀϊδίως ἐστὶ, σὺ δὲ ἐκ προκοπῆς λαμβάνεις τὴν χάριν.

§. ΙΕ'. Οὐκοῦν ἑτοίμασον τῆς ψυχῆς τὸ ἄγγος, ἵνα υἱὸς γένῃ Θεοῦ, καὶ «κληρονόμος μὲν Θεοῦ, συγκληρονόμος δὲ Χριστοῦ»· εἴπερ ἑτοιμάζεις σεαυτὸν[2]), ἵνα καὶ λάβῃς· εἴπερ ἐκ πίστεως προσέρχῃ, ἵνα πιστοποιηθῇς· εἰ ἀποτίθεσαι τὸν παλαιὸν ἄνθρωπον ἐκ προαιρέσεως· πάντα γὰρ, ὅσα σοι πέπρακται, συγχωρηθήσεται, κἂν πορνεία, κἂν μοιχεία, κἂν ἄλλο τι τῶν τοιούτων ἀκολασίας εἶδός ἐστι[3]). Τί μεῖζον τοῦ σταυρῶσαι Χριστόν; καὶ τούτου καθάρσιόν ἐστι τὸ βάπτισμα· τοῖς γὰρ προσελθοῦσι τρισχιλίοις, τοῖς σταυρώσασι τὸν Κύριον, πυνθανομένοις καὶ λέγουσι[4])· «Τί ποιήσομεν, ἄν-

---

τοῦ προκύπτουσαν ἀπορίαν· εἰ μὴ ᾔδει δηλαδὴ τὸν Χριστὸν ὁ Ἰωάννης, πῶς πρὸ τοῦ βαπτίσματος διεκώλυεν αὐτὸν, λέγων· «Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι»; ἀποκρίνεται ὁ Πατὴρ, ὅτι ἐγνώριζε μὲν τὸν Χριστὸν ὁ Ἰωάννης, ἀλλ' ἐγνώρισεν αὐτὸν τότε ἐγγὺς τοῦ βαπτίσματος, καὶ οὐ πρὸ πολλοῦ χρόνου· «ὥςε, ὅταν λέγῃ, οὐκ ᾔδειν αὐτὸν, τὸν ἔμπροσθεν λέγει χρόνον, οὐ τὸν ἐγγὺς τοῦ βαπτίσματος» (Τόμ. Η'. σελ. 114—115).

[1]) Τὸ «οὖν» προσεθήκαμεν ἐκ τῶν Κωδ. Roe καὶ Casaub.

[2]) Οὕτω κεῖται ἐν τοῖς Κώδηξι Roe καὶ Casaub. ἐν δὲ τοῖς ἐκδεδομένοις «ἑαυτόν».

[3]) Συνῳδὰ τῷ Κυρίλλῳ εἶπε καὶ ὁ Χρυσόστομος (Ὁμιλ. Α'. εἰς τὰς Πράξεις)· «Σκόπει δέ· ἔσχε τις ἁμαρτήματα χαλεπὰ, ἢ φονεύσας, ἢ μοιχεύσας, ἢ ἕτερόν τι χαλεπώτερον ἐργασάμενος, ἀφέθη διὰ τοῦ λουτροῦ ταῦτα· οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν ἁμάρτημα καὶ ἀσέβημα, ὅπερ οὐκ εἴκει καὶ παραχωρεῖ τῇ δωρεᾷ· θεία γάρ ἐστιν ἡ χάρις».

[4]) Αἱ πρὸ τοῦ Τ. ἐκδόσεις ἔχουσι τὴν περίοδον ταύτην οὕτω· «Τοῖς γὰρ προσελθοῦσι τῷ Κυρίῳ πυνθανομένοις καὶ λέγουσι». Οἱ δὲ Κώδ. Roe, Casaub. καὶ Coisl. ἔχουσι οὕτω· «Τοῖς γὰρ προσελθοῦσι τρισχιλίοις ἔλεγεν ὁ Πέτρος τοῖς σταυρώσασι τὸν Κύριον

δρες ἀδελφοί»; μέγα γὰρ τὸ τραῦμα· ἐπέστησας ἡμᾶς, ὦ Πέτρε, τῷ ἡμετέρῳ πτώματι, εἰπών· «Τὸν ἀρχηγὸν τῆς ζωῆς ἀπεκτείνατε»· ποία ἐστὶν ἔμπλαστρος τηλικούτου τραύματος; ποῖον καθάρσιον τηλικούτου ῥύπου; τίς ἡ σωτηρία τῆς τοιαύτης ἀπωλείας; «Μετανοήσατε, φησί, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ Κυρίου ἡμῶν[1]) εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος». Ὢ ἀνεκδιήγητος τοῦ Θεοῦ φιλανθρωπία! Τὸ σωθῆναι οὐκ ἐλπίζουσι, καὶ Πνεύματος ἁγίου καταξιοῦνται. Βλέπεις τοῦ βαπτίσματος τὴν δύναμιν; Εἴ τις ὑμῶν λόγοις βλασφήμοις ἐσταύρωσε τὸν Χριστόν· εἴ τις ὑμῶν κατὰ ἄγνοιαν ἐνώπιον ἀνθρώπων ἠρνήσατο· εἴ τις διὰ πονηρῶν ἔργων βλασφημηθῆναι τὸ δόγμα παρεσκεύασεν, εὔελπις ἔστω μετανοῶν· πάρεστι γὰρ καὶ νῦν ἡ αὐτὴ χάρις.

§. ΙϚ΄. «Θάρσει, Ἱερουσαλήμ, περιελεῖ Κύριος πάντα τὰ ἀδικήματά σου· ἐκπλυνεῖ Κύριος τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων αὐτοῦ ἐν πνεύματι κρίσεως καὶ πνεύματι καύσεως. Ῥαντιεῖ ἐφ' ὑμᾶς ὕδωρ καθαρόν, καὶ καθαρισθήσεσθε ἀπὸ πάσης ἁμαρτίας ὑμῶν». Χορεύουσι[2]) περὶ ὑμῶν Ἄγγελοι, καὶ ἐροῦσι· «Τίς αὕτη ἡ ἀναβαίνουσα λελευκανθισμένη, ἐπιστηριζομένη ἐπὶ τὸν ἀδελφιδὸν αὐτῆς»; ἡ γὰρ πρότερον δούλη ψυχή, νῦν ἀδελφιδοῦν αὐτὸν τὸν Δεσπότην ἐπεγράψατο, ὃς τὴν ἀνυπόκριτον ἀποδεχόμενος προαίρεσιν, ἐπιφω-

---

πυνθανομένοις καὶ λέγουσι». Ἡμεῖς ἀπεδεξάμεθα μὲν τὴν τῶν Κωδήκων τούτων γραφήν, ἐξωβελίσαμεν δ' ἐκ ταύτης μόνον τὸ «ἔλεγεν ὁ Πέτρος», ὅπερ ἴσως ἔξωθεν παρεισφρῆσαν ἐτάραξε τὴν τοῦ λόγου συνθήκην.

[1]) Τὸ «ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ βαπτίζεσθαι οὐ σημαίνει, ὅτι μόνου τοῦ ὀνόματος τοῦ Χριστοῦ ἐγίνετο ἐπίκλησις ἐν τῷ βαπτίσματι, ἀλλ' ὅτι ἡ τῆς παλιγγενεσίας μυσταγωγία ἐπετελεῖτο κατὰ τὸν νόμον αὐτοῦ τοῦ Χριστοῦ, ὡς αὐτὸς δηλαδὴ παρέδωκε καὶ ἐθέσπισε. Τὴν ἀποστολικὴν ταύτην φράσιν· «ἐν τῷ ὀνόματι Χριστοῦ βαπτίζεσθαι», καὶ «εἰς Χριστὸν βαπτίζεσθαι», ἀνέπτυξαν σοφώτατα ὁ Μ. Βασίλειος Περὶ τοῦ ἁγ. Πνεύματος κεφ. ιβ΄.), καὶ ὁ ἱερὸς Φώτιος (Ἀμφιλοχ. Ζήτημ. ΜΒ΄.). Ὅρα καὶ τὴν ὑπὸ Νικοδήμου ἐκδοθεῖσαν Ἑρμηνείαν εἰς τὰς Ἐπιστ. τοῦ Παύλου (Τόμ. Α΄. σελ. 6.).

[2]) Ἀμφότεροι οἱ ἐκδόται, Μ.

νήσει· «Ἰδοὺ εἶ καλὴ ἡ πλησίον μου, ἰδοὺ εἶ καλή· ὀδόντες σου ὡς ἀγέλαι τῶν κεχαρμένων» διὰ τὴν εὐσυνείδητον ὁμολογίαν[1]· «αἱ πᾶσαι διδυμεύουσαι» διὰ τὴν διπλῆν χάριν, λέγω δὲ τὴν ἐξ ὕδατος καὶ Πνεύματος τελουμένην, ἢ τὴν διὰ τῆς Παλαιᾶς καὶ Καινῆς Διαθήκης καταγγελλομένην. Καὶ γένοιτο πάντας ὑμᾶς τὸν δρόμον τῆς νηστείας τελέσαντας, μνημονεύοντας τῶν λεγομένων, καρποφοροῦντας ἐν ἔργοις ἀγαθοῖς, καὶ ἀμώμους[2]) τῷ νοητῷ νυμφίῳ παραστάντας, τυχεῖν τῆς ἀφέσεως τῶν ἁμαρτιῶν ὑπὸ τοῦ Θεοῦ· ᾧ ἡ δόξα σὺν Υἱῷ καὶ ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.

καὶ Τ. παρεσημειώσαντο γράψαντες· Forte lege «καὶ χορεύσουσι». Τῷ ὄντι δὲ ὁ μέλλων χρόνος κατάλληλος, ἵνα συνάδῃ οὕτω καὶ πρὸς τὸ κατωτέρω «ἐροῦσι».

1) Μετὰ τὴν λέξιν «ὁμολογίαν», αἱ ἐκδόσεις ἔχουσι «καὶ ἑξῆς», ὅπερ ἡμεῖς παρελίπομεν ἐκ τῆς αὐθεντίας τῶν Κωδήκων Roe καὶ Casaub.

2) Οὕτως ἐθήκαμεν ἐκ τῶν Κωδ. Roe καὶ Casaub. ἀντὶ τοῦ ἐν ταῖς ἐκδόσεσιν «ἀμώμως».

ΚΑΤΗΧΗΣΙΣ Δ′.

ΦΩΤΙΖΟΜΕΝΩΝ

Ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα περὶ τῶν δέκα δογμάτων[1]). Καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Κολοσσαεῖς· «Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου» καὶ τὰ ἑξῆς.

§. Α′. Μιμεῖται τὴν ἀρετὴν ἡ κακία[2]), καὶ τὸ ζιζάνιον βιάζεται σῖτος νομισθῆναι, σχήματι μὲν πρὸς τὸν σῖτον ἐξομοιούμενον, ἐκ δὲ τῆς γεύσεως ὑπὸ τῶν διακριτικῶν ἐξελεγχόμενον[3]). Καὶ ὁ Διά-

---

[1]) Κώδηκές τινες ἔχουσι «περὶ τῶν ἕνδεκα δογμάτων»· ἀλλ' ἡ γραφὴ «δέκα» φαίνεται ὀρθοτέρα, ἐπικυρουμένη καὶ ὑπὸ τοῦ Θεοδωρήτου.

[2]) Πολλάκις ἀπατᾷ ἡ κακία, τὸ σχῆμα τῆς ἀρετῆς ὑποδυομένη· ὅθεν εἶπε καὶ ὁ ὅσιος Δωρόθεος· «Οὔτε μία κακία, οὔτε οὐδεμία αἵρεσις, οὔτε αὐτὸς ὁ Διάβολος δύναται ἀπατῆσαί τινα, εἰ μὴ διὰ τοῦ σχηματίζεσθαι τὴν ἀρετὴν, καθὼς ὁ Ἀπόστολος λέγει, ὅτι αὐτὸς ὁ Διάβολος μετασχηματίζεται εἰς Ἄγγελον φωτὸς» (Διδασκ. Ι′.). Λέγει δὲ καὶ ὁ ἱερὸς Φώτιος (Ἐπιστ. ΡΠΣΤ′.)· «Ἡ κακία (καὶ μηδέν σοι δόξῃ παράδοξον· ἡ γὰρ τῶν ἐν βίῳ πεῖρα σαφὴς τῶν τοιούτων διδάσκαλος), ἂν μὴ τῆς ἀρετῆς ὑπέλθῃ τὸ σχῆμα, τάχιστα διόλλυται». Ὅμοια περὶ τοῦ ψεύδους εἶπε καὶ ὁ Ἱερώνυμος (Τόμ. Δ′. σελ. 827.).

[3]) Ζιζάνια ὀνομάζει ὁ Μ. Βασίλειος τοὺς αἱρετικοὺς, τοὺς τὰ διδάγματα τοῦ Κυρίου παραχαράσσοντας, καὶ καταμιγνῦντας ἑαυτοὺς τῷ ὑγιαίνοντι σώματι τῆς Ἐκκλησίας, ἵνα ἐκ τοῦ ἀφανοῦς βλάπτωσι (Τόμ. Α′. σελ. 61.).

βολος μετασχηματίζεται εἰς Ἄγγελον φωτὸς, οὐχ ἵνα ἐπανέλθῃ ὅπου καὶ ἦν· (ὥσπερ γὰρ ἄκμων, ἀνήλατον τὴν καρδίαν κτησάμενος, ἀμετανόητον λοιπὸν ἔχει τὴν προαίρεσιν[1]))· ἀλλ' ἵνα τοὺς ἰσάγγελον βίον πολιτευομένους ἀβλεψίας σκότει καὶ ἀπιστίας λοιμώδει περιβάλῃ καταστάσει. Πολλοὶ λύκοι περιάγουσιν ἐν ἐνδύμασι προβάτων[2]),

---

[1]) Κατὰ τῆς τοῦ Ὠριγένους κακοδοξίας χρήσιμος ἡ περίοδος αὕτη τοῦ θείου Κυρίλλου. Μετ' ἄλλων στρεβλῶν διδαγμάτων ἐδίδασκε καὶ τοῦτο ὁ Ὠριγένης, ὅτι οἱ δαίμονες, μετανοήσαντές ποτε, ἐπανελεύσονται εἰς τὸ ἀρχαῖον ἀξίωμα, ἀφ' οὗ ἐξέπεσον, καὶ ἀποκατασταθήσονται εἰς ἣν ἀπώλεσαν δόξαν. Ὅρα Φώτ. Ἐπιστ. Ι'. «Καὶ τοῖς πονηροῖς δαίμοσι τὸ ἀρχαῖον ἀξίωμα ἐχαρίζοντο, ἐπαναδραμεῖν αὐτοὺς εἰς τὴν ἄνωθεν δόξαν, ἐξ ἧς ἐξέπεσον, ἀναπλάττοντες». Βλ. καὶ Λεόντιον περὶ Αἱρέσεων 10. Ἀλλ' ἡ διδασκαλία τῆς Ἐκκλησίας μετὰ κύρους δογματικοῦ ἀποφαίνεται, ὅτι οὐδεὶς τόπος μετανοίας τοῖς δαίμοσι καταλέλειπται. Τοῦτο ἀνακηρύττουσι μετὰ τοῦ θείου Κυρίλλου καὶ τῆς Ε'. Οἰκουμενικῆς Συνόδου καὶ πολλοὶ τῆς Ἐκκλησίας Διδάσκαλοι, οἷοι ὁ Μ. Βασίλειος (παρὰ τῷ Δαμασκηνῷ ἐν ταῖς Ἐκλογαῖς 28.), ὁ Ἱερώνυμος (Epist. V. 4. ad Pammach.), ὁ Αὐγουστῖνος (de Civit. D. L. XXI. cap. 17.), ὁ Δαμασκηνὸς (ἔκδ. Ὀρθ. πίστ. β', 32.)· «Ἐκεῖνος γὰρ (ὁ Διάβολος) διὰ τὸ ἄφθαρτον μετὰ τὴν ἐκ προαιρέσεως ἔκπτωσιν τὴν ἐν κακῷ ἀμεταμέλητον ἔσχε καὶ ἄτρεπτον παγιότητα» καὶ ἀλλαχοῦ (β', 4.)· «Χρὴ δὲ γινώσκειν, ὅτι, ὅπερ ἐστὶ τοῖς ἀνθρώποις ὁ θάνατος, τοῦτο τοῖς Ἀγγέλοις ἡ ἔκπτωσις· μετὰ γὰρ τὴν ἔκπτωσιν οὐκ ἔστιν αὐτοῖς μετάνοια, ὥσπερ οὐδὲ τοῖς ἀνθρώποις μετὰ τὸν θάνατον». Σημείωσαι, ὅτι ἐν τοῖς συγγράμμασι τοῦ θεσπεσίου Γρηγορίου Νύσσης, οἷον ἐν τῷ Κατηχητικῷ, κεφ. 26, εὕρηνταί τινα πρὸς τὴν τοῦ Ὠριγένους κακοδοξίαν ἀποκλίνοντα, καὶ ταύτην ὑποστηρίζοντα. Ἀλλ' ὁ ἱερὸς Γερμανὸς, παρὰ τῷ Φωτίῳ (Βιβλιοθ. 233.), ἀπέδειξεν ἤδη, ὅτι ἅπασαι αἱ περικοπαὶ ἐκεῖναι, αἱ τὴν κακοφροσύνην τοῦ Ὠριγένους ἀπόζουσαι, εἰσὶ νόθοι καὶ παρέγγραπτοι, καὶ ὑπὸ τῶν αἱρετικῶν εἰς τὰ τοῦ μεγάλου Πατρὸς δολίως εἰσφορηθεῖσαι.

[2]) Λύκους, ἐν ἐνδύμασι προβάτων περιάγοντας, καλεῖ ὁ μακάριος Κύριλλος τοὺς δολίους ἐκείνους αἱρετικοὺς, οἵ τινες ἐν προσχήματι ὀρθοδοξίας ῥήματά τινα ἐκ τῶν θείων Γραφῶν προάγοντες, καὶ ταῦτα παρερμηνεύοντες, ἐξαπατῶσι τοὺς ἁπλοῦς καὶ ἀκάκους. «Λύκους κωδίοις ἠμφιεσμένους» καλεῖ τοὺς αἱρετικοὺς καὶ ὁ Θεοφόρος Ἰγνάτιος (ἐπιστ. πρὸς Φιλαδελ.)· Λύκους βαρεῖς ὀνομάζει

προβάτων μὲν ἐνδύματα κεκτημένοι, οὐ μὴν καὶ ὄνυχας καὶ ὀδόντας· ἀλλὰ τὴν ἥμερον περικείμενοι δορὰν, καὶ τῷ σχήματι τοὺς ἀκάκους ἀπατῶντες, τὸν φθοροποιὸν τῆς ἀσεβείας ἐκ τῶν ὀδόντων προσχέουσιν ἰόν. Χρεία τοίνυν θείας ἡμῖν χάριτος, καὶ νηφαλίου διανοίας, καὶ βλεπόντων ὀφθαλμῶν, ἵνα μὴ, ζιζάνιον ὡς σῖτον φαγόντες, ἐξ ἀγνοίας βλαβῶμεν[1])· μήτε τὸν λύκον πρόβατον ὑπολαβόντες, θηρευθῶμεν·

αὐτοὺς καὶ ὁ Μ. Βασίλειος (ἐπιστ. 27.)· «Λύκοι βαρεῖς ἐν ἐπιφανείᾳ προβάτων τὸ δολερὸν ὑποκρύπτοντες, πανταχοῦ τῆς Οἰκουμένης τὸ Χριστοῦ ποίμνιον διασπῶσι». Οἱ αἱρετικοὶ οὗτοι, οἱ μὴ φανερῶς τὰ κακόδοξα ἐξεμοῦντες, εἰσὶ μᾶλλον δυσφύλακτοι, κατὰ τὸν αὐτὸν Μ. Βασίλειον, καὶ πολλῷ χαλεπώτεροι τῶν φανερῶν καὶ κεκηρυγμένων αἱρετικῶν, τῶν ἐν πάσῃ παῤῥησίᾳ θρασυστομούντων· «Τὸ μὲν οὖν ἰταμὸν καὶ ἀναίσχυντον τῆς αἱρέσεως τῶν Ἀρειανῶν, φανερῶς ἀποῤῥαγὲν τοῦ σώματος τῆς Ἐκκλησίας, μένει ἐπὶ τῆς ἰδίας πλάνης, καὶ ὀλίγα ἡμᾶς λυμαίνεται διὰ τὸ πᾶσι πρόδηλον αὐτῶν τὴν ἀσέβειαν εἶναι. Οἱ δὲ τὴν δορὰν τοῦ προβάτου περιβεβλημένοι, καὶ τὴν ἐπιφάνειαν ἥμερον προβαλλόμενοι καὶ πραεῖαν, ἔνδοθεν δὲ σπαράσσοντες ἀφειδῶς τὰ τοῦ Χριστοῦ ποίμνια, καὶ διὰ τὸ ἐξ ἡμῶν ὡρμῆσθαι, εὐκόλως ἐμβάλλοντες βλάβην τοῖς ἁπλουστέροις, οὗτοί εἰσιν οἱ χαλεποὶ καὶ δυσφύλακτοι» (Ἐπιστ. 263). Οὐ δυνάμεθα σιγῇ παραδραμεῖν καὶ τὰ περὶ τῶν τοιούτων αἱρετικῶν ὑπὸ τοῦ Θεολόγου Γρηγορίου εὐγραφεῖ καλάμῳ γραφέντα· «Καὶ οὐχὶ τοῦτό πω δεινὸν, καί περ ὂν δεινὸν, εἰ τὴν ἑαυτῶν κακοδοξίαν ἄνθρωποι ταῖς ἀκεραιοτέραις ψυχαῖς διὰ τῶν κακουργοτέρων ἐναποτίθενται, ἀλλ' ὅτι καὶ ἡμῶν καταψεύδονται, ὡς ὁμοδόξων καὶ ὁμοφρόνων, τῷ χαλκῷ τὸ δέλεαρ περιβάλλοντες, καὶ διὰ τοῦ προσχήματος τούτου τὸ ἑαυτῶν θέλημα κακῶς ἐκπληροῦντες, καὶ τὴν ἁπλότητα ἡμῶν, ἐξ ἧς ἀδελφικῶς αὐτοὺς ἑωρῶμεν καὶ οὐκ ἀλλοτρίως, κακίας ἐφόδιον ποιησάμενοι» (ἐπιστ. ΡΑ'. Τόμ. Β'. σελ. 84.). «Λύκους ἐν προβάτου δορᾷ προβάτων φθορὰν κατεργαζομένους», καλεῖ τοὺς αἱρετικοὺς καὶ ὁ θεοφόρος Ἰγνάτιος (ἐπιστ. πρὸς Ἥρωνα διάκονον)· «Λύκους ἁρπακτῆρας» (lupos rapaces) ἀποκαλεῖ τοὺς αἱρετικοὺς καὶ ὁ Τερτυλλιανὸς (de praescript. advers. haeret.)· «Λύκον ἅρπαγα, ἐνδυόμενον προβάτου κώδιον» ἀποκαλεῖ τὸν αἱρετικὸν Τατιανὸν ὁ Ἐπιφάνιος (σελ. 392.).

[1]) Φησὶ δὲ καὶ ὁ θεῖος Γρηγόριος Νύσσης (Τόμ. Α'. σελ. 792)· «Πολλῆς ἡμῖν χρεία τῆς ἐπιστήμης, ὥστε ἡμῖν διακρίνειν ἐν τοῖς τοιούτοις ἐδωδίμοις τὸ τρόφιμόν τε καὶ δηλητή-

μήτε Ἄγγελον ἀγαθοποιὸν τὸν ὀλεθροποιὸν Διάβολον ὑποπτεύσαντες, καταποθῶμεν· περιέρχεται γὰρ «ὡς λέων ὠρυόμενος, ζητῶν, τίνα καταπίῃ», κατὰ τὴν Γραφήν[1]). Διὰ τοῦτο ἡ Ἐκκλησία νουθετεῖ, διὰ τοῦτο τὰ παρόντα διδασκαλεῖα, διὰ τοῦτο τὰ ἀναγνώσματα γίνονται.

§. Β΄. Ὁ γὰρ τῆς θεοσεβείας τρόπος ἐκ δύο τούτων συνέστηκε, δογμάτων εὐσεβῶν καὶ πράξεων ἀγαθῶν[2])· καὶ οὔτε τὰ δόγματα

ριον, ὡς ἂν μὴ τὸ δοκοῦν ὑπὸ τῆς ψυχῆς ἐν τροφῆς μέρει παραλαμβανόμενον, θάνατον ἡμῖν καὶ διαφθορὰν ἀντὶ τῆς ζωῆς ἐνεργήσειεν».

[1]) Τὴν ἐκ τοῦ ἀντιδίκου ἡμῶν Διαβόλου ἀδιάλειπτον ταύτην καταδρομὴν ἐκδηλῶν καὶ ὁ θεῖος Κύριλλος Ἀλεξανδρείας, καὶ πρὸς ἐγρήγορσιν παραινῶν, λέγει· «Χρὴ γὰρ ἡμᾶς ἀϋπνεῖν, ὅτι ὁ ἀντίδικος ἡμῶν Διάβολος ὡς λέων περιέρχεται, ζητῶν, τίνα καταπίῃ· ὅταν τοίνυν ἄϋπνοί τε καὶ ἐγρηγορότες εὑρισκώμεθα, παραθεῖ τὸ θηρίον· εἰ δὲ νυστάζοντας ἴδῃ καὶ κατημεληκότας, ἅρπαγμα ποιεῖται, καὶ ἀῤῥώστους ἀποτελεῖ, τουτέστιν ἠσθενηκότας καὶ ἀδρανῶς ἔχοντας πρὸς τὸ δύνασθαι κατορθοῦν ἀρετὴν» (Ἑρμην. εἰς τὸν Μαλαχίαν, κεφ. 1.).

[2]) Τὰ μαθήματα τῆς εὐσεβείας ἢ δογματικά εἰσιν ἢ ἠθικά· ἡ δὲ διαίρεσις αὕτη τῆς Εὐαγγελικῆς διδασκαλίας εἰς δογματικὴν καὶ ἠθικήν ἐστιν ἀρχαιοτάτη καὶ ἐν αὐταῖς στηρίζεται ταῖς ἁγίαις Γραφαῖς (Ματθ. κή, 19, 20. Α΄. Τιμοθ. ά, 19. Τιτ. γ΄. 8). Ταύτην ἔχουσι καὶ ἅπαντες οἱ Πατέρες. Βλέπε Γρηγόριον Νύσσης (ἐπιστ. 24. Τόμ. Γ΄. ἐκδ. Migne), Κύριλλον Ἀλεξανδρείας (κατὰ Ἰουλ. Βιβλ. ή.). Ἐν δὲ τῇ πρώτῃ ἑορταστικῇ Ὁμιλίᾳ ὁ αὐτὸς τῆς Ἀλεξανδρείας φωστὴρ ἑρμηνεύων τό· «ποίησον σεαυτῷ δύο σάλπιγγας» (Ἀριθ. Ι΄. 1.), λέγει· «Δύο γὰρ εἶναι κελεύει τὰς σάλπιγγας, ὅτι διπλοῦς τίς ἐστι τῆς Ἐκκλησίας ὁ λόγος· εἷς μέν, ἐπὶ τὴν ὀρθὴν τῶν θείων δογμάτων κατάληψιν τοὺς ἀγνοοῦντας ἔτι καλῶν· ἕτερος δὲ, τὸ μὴ δεῖν τοῖς ἀτόποις τῶν ἔργων ἐμφύρεσθαι συμβουλεύων. Ἀργυρᾶς δὲ τὰς σάλπιγγας εἶναι προστάττει· λαμπρὸς γὰρ καὶ ἀκηλίδωτος ἐπ' ἀμφοτέρων ὁ λόγος, καὶ τῆς ἐν τοῖς δόγμασι πλάνης ἀποφοιτῶν, καὶ τῶν πρακτέων τὴν αἵρεσιν εἰσηγούμενος». Βλ. Χρυσόστομον πολλαχοῦ, Ἰσίδωρον Πηλουσιώτην (ἐπιστ. 403, Βιβλ. Γ΄.). Σημείωσαι δὲ, ὅτι οἱ ἱεροὶ Πατέρες καί τοι διέκρινον καὶ διήρουν τὰ δύο ταῦτα μέρη τῆς ἀληθοῦς εὐσεβείας, τὴν δογματικὴν δηλονότι καὶ ἠθικὴν, οὐδέποτε ὅμως ἐπραγματεύσαντο ταῦτα οὕτω κεχωρισμένως ἀπ' ἀλλήλων, ὅπως τὴν σήμερον, ἀλλ' ἐδίδασκον ἀμφότερα ἀναμὶξ, κιρνῶντες ἑκάστοτε τὰ ἠθικὰ διδάγ-

χωρὶς ἔργων ἀγαθῶν εὐπρόσδεκτα τῷ Θεῷ, οὔτε τὰ μὴ μετ' εὐσεβῶν δογμάτων ἔργα τελούμενα προσδέχεται ὁ Θεός[1]). Τί γὰρ ὄφελος, εἰδέναι μὲν τὰ περὶ Θεοῦ δόγματα καλῶς, πορνεύειν δὲ[2]) αἰσχρῶς; τί δ' αὖ πάλιν ὄφελος σωφρονεῖν μὲν καλῶς, καὶ βλασφημεῖν δὲ ἀσεβῶς; Μέγιστον τοίνυν κτῆμά ἐστι τὸ τῶν δογμάτων μάθημα, καὶ χρεία νηφαλίου ψυχῆς· ἐπειδὴ πολλοί εἰσιν οἱ συλαγωγοῦντες διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης. Καὶ οἱ μὲν Ἕλληνες διὰ τῆς εὐγλωττίας κατασύρουσι· «μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης»· οἱ δὲ ἐκ περιτομῆς, διὰ τῶν θείων Γραφῶν, ἃς παρεξηγοῦνται κακῶς, τοὺς προσερχομένους ἀπατῶσιν, ἐκ παιδίου μελετῶντες ἕως γήρως, καὶ ἐν ἀμαθίᾳ καταγηρῶντες. Αἱρετικῶν δὲ παῖδες διὰ τῆς χρηστολογίας καὶ εὐλογίας[3]) ἀπατῶσι τὰς καρδίας τῶν ἀκά-

---

ματα μετὰ τῶν δογματικῶν, ὅπως δηλονότι καὶ οἱ θεῖοι Ἀπόστολοι.

[1]) Ἄριστα καὶ τοῖς τοῦ ἱεροῦ Κυρίλλου παραπλήσιά εἰσι τὰ τοῦ Οὐρανοφάντορος (Τόμ. Γ'. σελ. 630.)· «Οὔτε πολιτείας ἀκρίβεια καθ' ἑαυτὴν, μὴ διὰ τῆς εἰς τὸν Θεὸν πίστεως πεφωτισμένη, ἐστὶν ὠφέλιμος, οὔτε ὀρθὴ ὁμολογία, ἀγαθῶν ἔργων ἄμοιρος οὖσα, παραστῆσαι ἡμᾶς δυνήσεται τῷ Κυρίῳ· ἀλλὰ δεῖ ἀμφότερα συνεῖναι, ἵνα ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος, καὶ μὴ κατὰ τὸ ἐλλεῖπον χωλαίνῃ ἡμῶν ἡ ζωή». Ὅμοια καὶ τὰ τοῦ ἱεροῦ Γρηγορίου τοῦ Παλαμᾶ· «Καὶ ἡ πίστις χωρὶς τῶν ἔργων νεκρὰ καὶ ἀσύστατος, καὶ τὰ ἔργα χωρὶς τῆς πίστεως μάταια καὶ ἀνόνητα» (Ὁμιλ. Η'.). Οὐ πολὺ τούτων ἀποδέουσι τὰ τοῦ ἱεροῦ Φωτίου (ἐπιστ. ά.)· «Δεῖ τὰς ἀρετὰς τῇ πίςει παραπεπηγέναι, καὶ δι' ἀμφοῖν τὸν σπουδαῖον καταρτίζεσθαι· καὶ γὰρ δογμάτων μὲν εὐθύτης πολιτείας προβάλλεται κοσμιότητα, πράξεων δὲ καθαρότης τῆς πίστεως ἀπαγγέλλει θειότητα· ὧν ἑκάτερον χωρὶς τοῦ ἑτέρου ῥᾷον εἴωθεν ὑποῤῥεῖν καὶ παρασύρεσθαι, μὴ ἀνεχόμενον κατὰ μόνας ψυχαῖς ἀνθρώπων ἐγκατοικίζεσθαι». Βλ. καὶ Χρυσόστομον (Τόμ. Δ'. σελ. 758. Τόμ. Ζ'. σελ. 721. Τόμ. Η'. σελ. 36.), Κύριλλον Ἀλεξανδρείας (εἰς τὸ ἅγιον Σύμβολον ἐν τοῖς Πρακτ. τῆς ἐν Ἐφέσῳ Συνόδ.), Ἰγνάτιον (ἐν τῇ πρὸς Ἐφεσ. ἐπιστολῇ), Γρηγ. Ναζ. (Λόγ, κή.), Θεόδωρον ἐπίσκοπον Ἐδέσσης (ἐν τῇ φιλοκαλίᾳ σελ. 265), Δαμασκηνὸν (Ὀρθ. πίστ. δ', 11.), Θεοφύλακτον (εἰς Γαλ. έ, 6.).

[2]) Ἐγράψαμεν «πορνεύειν δὲ» ἐκ τῶν Κωδ. Roe καὶ Casaub., ἀντὶ τοῦ «καὶ πορνεύειν», ὡς καὶ κατωτέρω «βλασφημεῖν δὲ» ἀντὶ τοῦ «καὶ βλασφημεῖν».

[3]) Ταύτην ἐθήκαμεν τὴν λέξιν,

χων, ὥσπερ μέλιτι τῇ τοῦ Χριστοῦ προσηγορίᾳ τὰ τῶν δυσσεβῶν δογμάτων ἰοβόλα συγκαλύπτοντες[1]). Περὶ ὧν ἁπάντων ἅμα λέγει ὁ Κύριος[2])· «Βλέπετε μή τις ὑμᾶς πλανήσῃ»· διὰ τοῦτο καὶ ἡ τῆς πίστεως διδασκαλία, καὶ εἰς αὐτὴν ἐξηγήσεις γίνονται.

§. Γ'. Πρὸ δὲ τῆς εἰς τὴν πίστιν παραδόσεως καλῶς ἔχειν μοι δοκεῖ νῦν ἀνακεφαλαιώσει συντόμῳ χρήσασθαι τῶν ἀναγκαίων δογμάτων, ἵνα μὴ τὸ πλῆθος τῶν λεχθησομένων καὶ τὸ μεταξὺ διάστημα τῶν ἡμερῶν τῆς ἁγίας Τεσσαρακοστῆς ἁπάσης λήθην ἐμποιήσῃ τῶν ἐν ὑμῖν ἀφελεστέρων τῇ διανοίᾳ· ἀλλ' ἵνα νῦν κεφαλαιωδῶς ὑποσπείραντες, μὴ ἐπιλαθώμεθα τῶν αὐτῶν πλατυτέρως γεωργουμένων ὕστερον. Ἀνασχέσθωσαν δὲ τῶν συμπαρόντων οἱ τελειότεροι τὴν ἕξιν, καὶ τὰ αἰσθητήρια ἤδη γεγυμνασμένα ἔχοντες πρὸς διάκρισιν καλοῦ τε[3]) καὶ κακοῦ, νηπιωδεστέρων ἀκούοντες καὶ τῆς γαλακτώδους εἰσαγωγῆς· ἵνα ἅμα καὶ οἱ τῆς κατηχήσεως χρείαν ἔχοντες ὠφεληθῶσι, καὶ οἱ τὴν γνῶσιν ἔχοντες περὶ ὧν προγινώσκουσιν ἤδη τὴν μνήμην ἀναζωπυρηθῶσι.

κειμένην ἐν τοῖς τρισὶ Κώδηξι Roe, Casaub καὶ Ottob. Ταύτην τὴν λέξιν ἔχει καὶ τὸ ἱερὸν κείμενον τοῦ Παύλου (Ῥωμ. ις'. 18.), πρὸς ὃ ἀπέβλεψεν ὁ Κύριλλος. Αἱ ἐκδόσεις ἔχουσιν «εὐγλωττίας»· ἀλλὰ τὴν εὐγλωττίαν ἔθηκεν ὁ Κύριλλος ἀνωτέρω ἐπὶ τῶν Ἑλλήνων.

[1]) Τοὺς Αἱρετικούς, οὐχὶ χριστιανούς, ἀλλὰ χριστεμπόρους ἀποκαλεῖ ὁ θεοφόρος Ἰγνάτιος ἐν τῇ πρὸς Τραλλησίους ἐπιστολῇ αὐτοῦ· «Ματαιολόγους καὶ φρεναπάτας, οὐ χριστιανούς, ἀλλὰ χριστεμπόρους, ἀπάτῃ περιφέροντας τὸ ὄνομα Χριστοῦ, καὶ καπηλεύοντας τὸν λόγον τοῦ Εὐαγγελίου, καὶ τὸν ἰὸν προσπλέκοντας τῆς πλάνης τῇ γλυκείᾳ προσηγορίᾳ, ὥσπερ οἰνομέλιτι κώνειον κεραννῦντες, ἵνα ὁ πίνων, τῇ γλυκυτάτῃ κλαπεὶς ποιότητι τὴν γευστικὴν αἴσθησιν, ἀφυλάκτως τῷ θανάτῳ περιπαρῇ». Περὶ τῆς δηλητηριώδους ταύτης χρηστολογίας καὶ ἀπάτης τῶν Αἱρετικῶν ὅρα τὸν θεσπέσιον Γρηγόριον Νύσσης (κατὰ Εὐνομ. Λόγος ΙΒ'.), καὶ Ἀθανάσιον (Τόμ. Α'. σελ. 139.), καὶ Ἰουστινιανοῦ Ὁμολογίαν πίστεως (σελ. 208.).

[2]) Οὕτως ἐνάρθρως κεῖται ἡ λέξις ἐν τοῖς Κώδηξι Roe καὶ Casaub. Ἐν ταῖς ἐκδόσεσιν ἀνάρθρως.

[3]) Οὕτως ἔχουσιν οἱ Κώδ. Roe καὶ Casaub. καὶ τὸ ἱερὸν κείμενον. Αἱ ἐκδόσεις «ἀγαθοῦ τε».

Περὶ Θεοῦ.

§. Δ'. Πρῶτον τοίνυν ὑμῶν τῇ ψυχῇ τεθεμελιούσθω δόγμα τὸ περὶ Θεοῦ· ὅτι ὁ Θεὸς εἷς ἐστι [1]), μόνος ἀγέννητος, ἄναρχος, ἄτρεπτος, ἀναλλοίωτος, οὐχ ὑφ' ἑτέρου γεγεννημένος, οὐχ ἕτερον ἔχων τῆς ζωῆς διάδοχον· καὶ οὔτε ἐν χρόνῳ τοῦ ζῆν ἀρξάμενος, οὔτε ποτὲ τελευτῶν· καὶ ὅτι αὐτός ἐστιν ἀγαθὸς καὶ δίκαιος· ἵνα, ἐάν ποτε ἀκούσῃς λέγοντος αἱρετικοῦ, ἄλλον εἶναι τὸν δίκαιον, καὶ ἄλλον εἶναι τὸν ἀγαθόν, εὐθὺς ὑπομνησθεὶς, γνῷς τὸ τῆς αἱρέσεως ἰοβόλον [2])· ἐτόλ-

---

[1]) Θαυμασίως ὁ θεῖος Κύριλλος ὡς πρώτιστον καὶ θεμελιῶδες δίδαγμα τῆς χριστιανικῆς εὐσεβείας τίθησι τὸ περὶ τοῦ ἑνιαίου Θεοῦ μάθημα, καὶ ἀπ' αὐτοῦ ἄρχεται τῆς πρὸς τοὺς κατηχουμένους στοιχειώδους δογματικῆς αὐτοῦ. Τὴν αὐτὴν μέθοδον διδάσκει καὶ ὁ ὁμώνυμος αὐτοῦ φωστὴρ τῆς 'Αλεξανδρείας· «Πίστις δὲ αὕτη κατηχουμένων ἡ πρώτη, τὸ τῆς πολυθέου δόξης ἀπαλλάττεσθαί φημι, καὶ τὸν ἀληθῶς ἕνα τε καὶ φύσει παραδέχεσθαι Θεὸν» (περὶ τῆς ἐν Πνεύματι καὶ ἀληθινῆς λατρείας Λόγ. Γ'.). Τὸ εἰς ἕνα Θεὸν πιστεύειν πρῶτον γνώρισμα τῆς ἀληθοῦς θεοσεβείας τίθησι καὶ ὁ ἱερὸς 'Ιουστῖνος ἐν τῷ Παραινετικῷ· «Πιστεύειν ἕνα μόνον Θεὸν, πρῶτον τῆς ἀληθοῦς θεοσεβείας γνώρισμα». Ἔφη δὲ καὶ ὁ Ἑρμᾶς ἐν τῷ Ποιμένι (β', 1.)· «Πρῶτον πάντων πίστευσον, ὅτι εἷς ἐστιν ὁ Θεὸς, ὁ τὰ πάντα κτίσας καὶ καταρτίσας, καὶ ποιήσας ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα». Περὶ τοῦ ἑνιαίου τοῦ Θεοῦ βλ. 'Αθηναγόραν (ἐν τῇ Πρεσβείᾳ περὶ Χριστιανῶν), Μ. 'Αθανάσιον (κατὰ Ἑλλήνων Τόμ. Α'. σελ. 32), Τερτυλλιανὸν (adversus Marcionem libr. I. cap. 5.), Γρηγόριον Νύσσης (ἐν τῷ Προλόγῳ τοῦ Κατηχητικοῦ), Δαμασκηνὸν (Ὀρθοδ. πίστ. ά. 5.).

[2]) Τῆς ἀσεβείας ταύτης διδάσκαλοι πονηροὶ ἀνεδείχθησαν μάλιστα οἱ δύο αἱρεσιάρχαι, ὁ Κέρδων καὶ ὁ Μαρκίων· καὶ ὁ μὲν Κέρδων ἔλεγεν· «Ἄλλον εἶναι Θεὸν τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν 'Ιησοῦ Χριστοῦ, ἄγνωστον τοῖς Προφήταις· ἄλλον δὲ τοῦ παντὸς ποιητὴν, καὶ τοῦ νόμου τοῦ Μωσαϊκοῦ νομοθέτην· καὶ τὸν μὲν εἶναι δίκαιον, τὸν δὲ ἀγαθὸν» (Θεοδώρητ. Αἱρετικ. κακομυθ. βιβλ. ά. κεφ· 24). Ὁ δὲ Μαρκίων· «Τέτταρας ἀγεννήτους οὐσίας τῷ λόγῳ διέπλασε· καὶ τὸν μὲν ἐκάλεσεν ἀγαθόν τε καὶ ἄγνωστον, ὃν καὶ πατέρα προσηγόρευσε τοῦ Κυρίου· τὸν δὲ δημιουργόν τε καὶ δίκαιον, ὃν καὶ πονηρὸν ὠνόμαζε».

μησαν γάρ τινες[1]) ἀσεβῶς τὸν ἕνα Θεὸν διαχωρίσαι τῷ λόγῳ· καί τινες εἶπον ἄλλον μὲν τὸν τῆς ψυχῆς δημιουργὸν καὶ δεσπότην, ἄλλον δὲ τὸν τῶν σωμάτων[2]), ἀνοήτως ἅμα καὶ δυσσεβῶς διδάσκοντες· πῶς γὰρ δύο κυρίων εἷς δοῦλος γίνεται ἄνθρωπος, τοῦ Κυρίου λέγοντος ἐν Εὐαγγελίοις· «Οὐδεὶς δύναται δυσὶ Κυρίοις δουλεύειν»; Εἷς οὖν ἐστι Θεὸς μόνος, ὁ καὶ ψυχῶν καὶ σωμάτων ποιητής· εἷς ἐστιν ὁ δημιουργὸς οὐρανοῦ καὶ γῆς, Ἀγγέλων τε καὶ Ἀρχαγγέλων ποιητής· ὁ πολλῶν μὲν δημιουργός, ἑνὸς δὲ μόνου Πατὴρ πρὸ αἰώνων· ἑνὸς μόνου τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ ἐποίησε τὰ[3]) πάντα, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα.

§. Ε΄. Οὗτος ὁ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οὐ περιγέγραπται ἔν τινι τόπῳ[4]), οὐδέ ἐστι μικρότερος οὐρανοῦ· ἀλλ' ἔργα

(Θεοδώρητ. αὐτόθι). Περὶ τοῦ Μαρκίωνος λέγει καὶ ὁ Κύριλλος ἀλλαχοῦ (Κατήχ. ΣΤ΄. §. 16.)· «Ὁ γὰρ θεοὺς διαφόρους ἀναγορεύσας, ἄλλον τὸν ἀγαθὸν, καὶ ἄλλον τὸν δίκαιον, ἀντιφθέγγεται τῷ Υἱῷ, λέγοντι κτλ». Περὶ τῶν Μαρκιωνιτῶν βλ. καὶ Ὠριγέν. (εἰς τὴν Ἔξοδ. Τόμ. Α΄. σελ. 17.), καὶ Κλήμ. Ἀλεξάνδρ. (Τόμ. Α΄. σελ. 325.), καὶ Τερτυλλ. (contra Marcionem. lib. I. cap. 6.). Εἶπε δὲ καὶ ὁ Χρυσόστομος, ὅτι ὁ Μαρκίων ἐδίδασκεν, «ὅτι ὁ Θεὸς, ὁ πάντα συστησάμενος, οὐκ ἔστιν ἀγαθὸς, οὐδὲ πατὴρ τοῦ ἀγαθοῦ Χριστοῦ, ἀλλ' ἕτερός τις δίκαιος» (Ὁμιλ. ΣΤ΄. εἰς τὴν πρὸς Φιλιπ.).

[1]) Ὁ «γὰρ» λείπει ἐκ τοῦ Κώδ. Α.

[2]) Τὴν αἱρετικὴν ταύτην δόξαν, τὴν ἄλλον πλάττουσαν ψυχῆς δημιουργὸν, καὶ ἄλλον σωμάτων, ἐπρέσβευον μάλιστα οἱ Μανιχαῖοι, ὡς γίνεται δῆλον ἐκ τοῦ Ἐπιφανίου (Αἱρεσ. 66. Τόμ. Α΄. σελ. 625.)· ὅτι δὲ καὶ οἱ Ὀφῖται ἐνόσουν τὴν πλάνην ταύτην, γίνεται ὁμοίως φανερὸν ἐκ τοῦ Ἐπιφανίου (Τόμ. Α΄. σελ. 271.).

[3]) Τὸ ἄρθρον «τὰ» προσεθήκαμεν ἐκ τοῦ Κώδ. Α. ἔχουσι δὲ τοῦτο καὶ οἱ Κώδ. Roe καὶ Casaub.

[4]) Περὶ τοῦ ἀπεριγράπτου τοῦ Θεοῦ διδάσκει ὁ Κύριλλος καὶ ἐν τῇ ἕκτῃ Κατηχήσει (§. 8.). Βλ. καὶ Κλήμ. Ἀλεξάνδρ. (Στρωματ. 6.), Γρηγόρ. Νύσσης (ἐν τῷ Κατηχητικῷ κεφ. 25.), Χρυσόστ. (Ὁμιλ. ΛΗ΄. εἰς τὰς Πράξεις), Κύριλλον Ἀλεξ. (εἰς Ἰωάν. σελ. 76.), Δαμασκ. (Ἔκδοσ. Ὀρθοδ. πίστ. ά. 14.). Τὸ ἀπερίγραπτον τοῦ Θεοῦ διδάσκει ἐνταῦθα ὁ Κύριλλος κατά τε τῶν Ἑλλήνων, τῶν πολλοὺς θεοὺς παραδεχομένων, καὶ τῶν δυσσεβῶν Μανιχαίων, τῶν δύο θεοὺς τιθέντων, καὶ τούτους ἐν ἰδίοις

τῶν δακτύλων αὐτοῦ εἰσιν οἱ οὐρανοί, καὶ ἡ γῆ πᾶσα ἐν τῇ δρακὶ αὐτοῦ κατέχεται· οὗτος ἐν πᾶσίν ἐστι, καὶ πάντων ἐκτός[1]). Μὴ νομίσῃς αὐτοῦ τὸν ἥλιον φωτεινότερον ἢ ἴσον εἶναι[2])· ὁ γὰρ τὸν ἥλιον κατασκευάσας πρότερον, ὀφείλει πολὺ[3]) μᾶλλον ἀσυγκρίτως εἶναι μείζων καὶ φωτεινότερος. Προγνώστης ἐστὶ τῶν μελλόντων, καὶ πάντων δυνατώτερος· εἰδὼς ἅπαντα καὶ ποιῶν ὡς βούλεται· οὐχ ὑποκείμενος πραγμάτων ἀκολουθίαις, οὐδὲ γενέσει, οὐδὲ τύχῃ, ἢ εἱμαρμένῃ[4])· ἐν πᾶσι τέλειος, καὶ πᾶσαν ἀρετῆς ἰδέαν ἐν ἴσῳ κεκτημένος· οὔτε μειούμενος, οὔτε αὔξων, ἀλλ᾽ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ

τόποις περιγραφόντων, οὓς καὶ ἐξελέγχει ἐν τῇ ΣΤ΄. Κατηχήσει §. 13.

[1]) Ὁμοίαις φράσεσιν εἰώθασι γεραίρειν καὶ οἱ λοιποὶ θεῖοι Πατέρες τὴν ἀπερίγραπτον θείαν μεγαλωσύνην· οἷον «ἐν τῷ παντὶ καὶ ὑπὲρ τὸ πᾶν»· «τὰ πάντα πληροῦν, καὶ ὑπὲρ τὰ πάντα εἶναι». Οἷον δὲ καὶ ὅσον τυγχάνει τὸ ὕψος τοῦ ἱεροῦ θεωρήματος τούτου, κατέδειξεν ἄριστα καὶ σοφώτατα ὁ ἐν ἁγίοις Φώτιος ἐν τοῖς Ἀμφιλοχίοις, ἐν οἷς τὸ οέ. Ζήτημα τήνδε τὴν ἐπιγραφὴν φέρει· «πῶς λέγεται τὸ θεῖον εἶναι ἐν τῷ παντί»; ἔνθα πρὸς τοῖς ἄλλοις φησὶν ὁ Πατήρ· «Ὥσπερ δέ ἐστι τὸ θεῖον σοφόν τε ἅμα καὶ ὑπέρσοφον, Θεός τε ἰσχυρὸς καὶ ὑπέρθεος, κυρίως τε οὐσία καὶ ὑπερούσιον, καὶ αὐτάγαθον δὲ ὁμοίως καὶ ὑπεράγαθον, οὕτως ὑπάρχειν λέγεται κἀν τῷ παντὶ καὶ ὑπὲρ τὸ πᾶν· ἐπὶ μόνης γὰρ τῆς ἀῤῥήτου καὶ πολυωνύμου καὶ ὑπερφυοῦς φύσεως ὁ καταφατικὸς τῶν ὀνομάτων τύπος σύνδρομον ἴσχει τὴν σημασίαν τοῖς διὰ τῶν ἀποφατικῶν ἢ στερητικῶν φωνῶν σχηματισμοῖς, δηλοῦσι τὸ βούλημα».

[2]) Τὴν ἄνοιαν τῶν Μανιχαίων ἐξελέγχει ὁ Πατὴρ καὶ ἐνταῦθα, τῶν δυσσεβῶς τοὺς φωστῆρας θεοποιούντων καὶ τὸν αἰσθητὸν τοῦτον ἥλιον Χριστὸν νομιζόντων. Ὅρα Κατήχ. ΙΕ΄. §. 3. καὶ τὰς ἐκεῖ σημειώσεις. Κατωτέρω δὲ, τύχης καὶ εἱμαρμένης ὑπέρτερον τὸν Θεὸν λέγων, αἰνίττεται τοὺς Στωϊκοὺς καὶ τοὺς Φαρισαίους, τοὺς ἐξ εἱμαρμένης ἀναρτῶντας τὰ πράγματα, οὓς ἀμφοτέρους ἀποῤῥαπίζει ὁ ἱερὸς Ἐπιφάνιος· τοὺς μὲν πρώτους ἐν Τόμ. Α΄. σελ. 13. τοὺς δὲ δευτέρους ἐν Τόμ. Α΄. σελ. 35.

[3]) Οὕτως οἱ Κώδηκες· A., R., C. καὶ ὁ Κύριλλος ἀλλαχοῦ. Ἐν τοῖς ἐκδεδομένοις «πολλῷ».

[4]) Οὕτως ὁ Κώδηξ A. Ἐν ταῖς ἐκδόσεσιν «οὐθ᾽ εἱμαρμένη».

ὡσαύτως ἔχων[1])· ἡτοιμακὼς κόλασιν τοῖς ἁμαρτωλοῖς καὶ στέφανον[2]) τοῖς δικαίοις.

§. ς'. Ἐπεὶ οὖν ἐπλανήθησαν ἀπὸ τοῦ ἑνὸς Θεοῦ διαφόρως πολλοί· καὶ οἱ μὲν ἥλιον ἐθεοποίησαν[3]), ἵνα, δύνοντος τοῦ[4]) ἡλίου, κατὰ

---

[1]) Ἡ φράσις «ἀεὶ κατὰ . . . ἔχειν», τὸ ἐν πᾶσιν ἄτρεπτον καὶ ἀναλλοίωτον τοῦ Θεοῦ ἐμφαντικώτατα παριστῶσα, εὕρηται κειμένη καὶ παρ' ἄλλοις Πατράσιν· οἷον Γρηγ. Νύσσ. (Τόμ. Γ'. σελ. 172. ἔκδοσ. νέα). «Ἀεὶ καὶ ὡσαύτως ἔχει» εἶπε καὶ Ἀθαν. (σελ. 179) περὶ τοῦ ἀτρέπτου τοῦ θείου Λόγου.

[2]) Ἐν τοῖς Κώδ. Α., Roe καὶ Casaub. κεῖται «στεφάνους».

[3]) Τὸν ἥλιον ἐθεοποίησαν ά.) οἱ Φοίνικες, παρ' οἷς ὁ ἥλιος ἐκαλεῖτο Βάαλ· «Τοῦτον γὰρ (τὸν ἥλιον), φησί, Θεὸν ἐνόμιζον μόνον οὐρανοῦ κύριον, Βααλσάμην καλοῦντες, ὅ ἐστι παρὰ Φοίνιξι, κύριος οὐρανοῦ» Εὐσέβ. (Εὐαγγελ. Προπαρ. Βιβλ. Α'. σελ. 22.)· β'.) οἱ Αἰγύπτιοι· «Φοίνικας καὶ Αἰγυπτίους πρώτους ἁπάντων κατέχει λόγος ἥλιον καὶ σελήνην καὶ ἀστέρας θεοὺς ἀποφῆναι, μόνους τε εἶναι τῆς τῶν ὅλων γενέσεώς τε καὶ φθορᾶς αἰτίους»· Εὐσέβ. (Εὐαγγελ. Προπαρ. Βιβλ. Α'. σελ. 12.)· γ'.) οἱ Χαλδαῖοι καὶ Ἀσσύριοι, παρ' οἷς ὁ ἥλιος ἐκαλεῖτο Βὴλ (Selden. de Diis Syris p. 197.)· δ'.) οἱ Πέρσαι (Ἡροδ. ά. 131. Σωζόμεν. Ἐκκλ. Ἱστορ. β'. 9.)· ἐντεῦθεν καὶ οἱ Μανιχαῖοι παραλαβόντες ἐθεοποίουν τοὺς φωστῆρας Κατήχ. ΙΕ'. §. 3. Ἀρμενόπουλος (περὶ αἱρέσεων)· «Σελήνην καὶ ἀστέρας προσκυνεῖν οἷα θεοὺς ἐπιτρέπουσι»· έ.) οἱ Ἀμμωνῖται, παρ' οἷς ἡ λατρεία τοῦ Μολὸχ, ὅν τινες ἐκλαμβάνουσιν ὡς τὸν ἥλιον· ς'.) οἱ Μωαβῖται, παρ' οἷς ἡ λατρεία τοῦ Βεελφεγὼρ, τουτέστι τοῦ Βάαλ τοῦ καλουμένου καὶ ἰδίῳ ὀνόματι Φεγὼρ, ἢ τοῦ Βαὰλ τοῦ λατρευομένου ἐπὶ τοῦ ὄρους Φεγώρ· ζ'.) οἱ Ναβαθαῖοι, ἔθνος ἀραβικόν· «Ἥλιον τιμῶσιν (οἱ Ναβαθαῖοι), ἐπὶ τοῦ δώματος ἱδρυσάμενοι βωμὸν, σπένδοντες ἐν αὐτῷ καθ' ἡμέραν καὶ λιβανωτίζοντες» Στράβων (ις'. 784)· ή.) οἱ Παίονες, ἔθνος θρακικὸν, παρ' οἷς τὸ ἄγαλμα τοῦ ἡλίου ἦν στρογγύλος τις δίσκος ἐπὶ μακροῦ δόρατος. Μάξιμ. Τύρ. (ή. 8. σελ. 87.)· βλ. Ἱστ. Μακεδ. σελ. 76. Ἐπειδὴ δὲ ὑπὸ τὸ ὄνομα τοῦ Βάαλ ἐνοεῖτο καὶ ἐλατρεύετο παρὰ τοῖς ἀσιατικοῖς ἔθνεσιν ὁ ἥλιος, τοῦτον δὲ τὸν Βάαλ ἐλάτρευσαν πολλάκις καὶ οἱ Ἰσραηλῖται (Κριτ. β'. 11. 13. γ'. 7. ς'. 25. Β'. Παραλειπ. κή. 2. Δ'. Βασιλ. κά. 3.), ἄρα καὶ οἱ Ἰσραηλῖται περιέπεσον εἰς τὴν τοῦ ἡλίου λατρείαν· θ'.) μετὰ τῶν ἄλλων θεῶν αὐτῶν ἐλάτρευον οἱ Ἕλληνες καὶ τὸν ἥλιον, καθὼς καὶ τὴν σελήνην.

[4]) Παρεθήκαμεν τὸ «τοῦ» ἐκ τῶν Κωδήκων Α., Roe καὶ Casaub.

τὸν τῆς νυκτὸς καιρὸν ἄθεοι μένωσιν· οἱ δὲ σελήνην[1]), ἵνα ἐν ἡμέρᾳ Θεὸν μὴ ἔχωσι· οἱ δὲ τὰ λοιπὰ μέρη τοῦ κόσμου[2])· οἱ δὲ τὰς τέχνας· οἱ δὲ τὰς τροφάς[3])· οἱ δὲ τὰς ἡδονάς[4])· καὶ οἱ μὲν γυναικομανεῖς, γυμνῆς γυναικὸς εἴδωλον ἐν ὑψηλῷ στήσαντες, Ἀφροδίτην τε προσαγορεύσαντες[5]), προσεκύνησαν διὰ τοῦ φαινομένου τὸ πάθος· οἱ δὲ τοῦ χρυσοῦ τὸ λαμπρὸν ἐκπλαγέντες, αὐτόν τε καὶ τὰς λοιπὰς ὕλας ἐθεοποίησαν· ἐὰν δέ τις τὸν περὶ μοναρχίας τοῦ Θεοῦ λόγον

---

[1]) Τὴν σελήνην ἐθεοποίουν τὰ πλεῖστα ἐκ τῶν ἐθνῶν ἐκείνων, ἅπερ ἦσαν παραδεδομένα τῇ ἀστρολατρείᾳ· πρβ. Δευτερον. δ'. 19. ιζ'. 3. Ἀλλὰ καὶ ἡ φοινικικὴ θεότης Ἀςάρτη ὑπὸ πολλῶν ἐκλαμβάνεται ὡς σελήνη· «Ἀστάρτην ἐγὼ δοκέω Σεληναίην ἔμμεναι»· Λουκιανὸς (περὶ τῆς Συρίης Θεοῦ). Παρ' ἄλλοις ἡ Ἀστάρτη λαμβάνεται ὡς Ἀφροδίτη· Cicero (de nat. Deor. III. 23.), Εὐσέβιος (Εὐαγγελ. Προπαρ. ά, 10.).

[2]) Οἷον τὸν ἀέρα ὑπὸ τὸ ὄνομα τῆς Ἥρας, τὴν γῆν ὑπὸ τὸ ὄνομα τῆς Δήμητρος, τὴν θάλασσαν ὑπὸ τὸ τοῦ Ποσειδῶνος, τὸν ἄνεμον ὑπὸ τὸ τοῦ Αἰόλου, τὸ πῦρ ὑπὸ τὸ τοῦ Ἡφαίςου Κατήχ. ς'. §. 10. Παρατεθείσθωσαν ἐνταῦθα καὶ τὰ τοῦ Θεολόγου Γρηγορίου, οὐ πολὺ διαφέροντα ἐκείνων τοῦ ἱεροῦ Κυρίλλου· «Ἐντεῦθεν οἱ μὲν ἥλιον, οἱ δὲ σελήνην, οἱ δὲ ἀστέρων πλῆθος, οἱ δὲ οὐρανὸν αὐτὸν ἅμα τούτοις, οἷς καὶ τὸ πᾶν ἄγειν δεδώκασι κατὰ τὸ ποιὸν ἢ ποσὸν τῆς κινήσεως· οἱ δὲ τὰ στοιχεῖα, γῆν, ὕδωρ, ἀέρα, πῦρ, διὰ τὸ χρειῶδες, ὧν ἄνευ οὐδὲ συστῆναι δυνατὸν τὸν ἀνθρώπινον βίον· οἱ δὲ ὅ,τι τύχοιεν ἕκαστος τῶν ὁρατῶν ἐσεβάσθησαν, ὧν ἑώρων τὰ κάλλιστα θεοὺς προστησάμενοι» (Λόγ. ΚΗ'.).

[3]) Τὸ «οἱ δὲ τὰς τροφὰς» ἐλλείπει ἐκ τοῦ Κώδ. Α.

[4]) Τὰς μὲν τέχνας ἐθεοποίησαν ὑπὸ τὸ ὄνομα τῶν ἐφευρετῶν· οἷον τὴν ἰατρικὴν διὰ τὸν Ἀσκληπιόν, τὴν μουσικὴν διὰ τὰς Μούσας καὶ τὸν Ἀπόλλωνα, τὴν γεωργίαν διὰ τὴν Δήμητρα, τὸν πόλεμον διὰ τὸν Ἄρην κτλ., τὰς δὲ τροφὰς ὁμοίως διὰ τοὺς ἐπ' αὐτῶν ἐφορεύοντας θεούς· οἷον τὸν οἶνον διὰ τὸν Βάκχον, τὸν σῖτον διὰ τὴν Δήμητρα. Ἀλλὰ καὶ ταῖς ἡδοναῖς ἀνήγειραν βωμοὺς καὶ ναούς· οἷον τῷ ἔρωτι, ταῖς χάρισι, τῇ τύχῃ. Τὸν δὲ χρυσὸν καὶ ἄργυρον ἐθεοποίησαν ὑπὸ τὸ ὄνομα τοῦ Πλούτου· ὁμοίως προσεκύνουν καὶ τὰς ἄλλας ὕλας, οἷον ἐλέφαντα, λίθους κτλ. ἐν τοῖς εἴδεσι καὶ τοῖς τύποις τῶν ἀγαλμάτων. Ὅρα Κλήμεντα Ἀλεξ. Προτρεπτ. §. 56· «Καλὸς ὁ Πάριος λίθος, ἀλλ' οὐδέπω Ποσειδῶν· καλὸς ὁ ἐλέφας, ἀλλ' οὐδέπω Ὀλύμπιος κτλ.

[5]) Καὶ αὗται αἱ δύο λέξεις ἐλλείπουσιν ἐκ τοῦ Κώδ. Α.

προθεμελιώσῃ τῇ καρδίᾳ[1]), καὶ πεισθῇ τούτῳ[2]), πᾶσαν ὁμοῦ τῶν κακῶν τῆς εἰδωλολατρείας καὶ τῆς τῶν αἱρετικῶν πλάνης ἐκκόπτει τὴν φθοράν[3]). Τοῦτο μὲν οὖν σοι πρῶτον δόγμα τῆς εὐσεβείας ἐν τῇ ψυχῇ προθεμελίωσον διὰ τῆς πίστεως.

Περὶ Χριστοῦ.

§. Ζ'. Πίστευε δὲ καὶ εἰς τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν ἕνα καὶ μόνον, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν ἐκ τοῦ Θεοῦ Θεὸν γεννηθέντα, τὸν ἐκ ζωῆς ζωὴν γεννηθέντα[4]), τὸν ὅμοιον[5]) κατὰ πάντα τῷ γεννήσαντι, τὸν οὐκ ἐν χρόνοις τὸ εἶναι κτησάμενον, ἀλλὰ πρὸ πάντων

---

[1]) Οἱ Κώδ. Α., R. καὶ Casaub. ἔχουσι «διανοίᾳ».

[2]) Ὁ Κώδ. Α. μετὰ τὸ, «πεισθῇ», ἔχει στίξιν· ἀντὶ δὲ «τούτῳ» ἔχει, «τοῦτο», ὅπερ συνάπτει μετὰ τῶν ἑπομένων οὕτω· «Τοῦτο πᾶσαν ὁμοῦ κτλ.».

[3]) Ἐθήκαμεν «φθοράν», ἐξ αὐθεντίας πέντε Κωδήκων Α., Coisl., Roe., Casaub. καὶ Ottob. Ἐν ταῖς ἐκδόσεσι κεῖται «φοράν», οὐδὲ τοῦτο ἀκατάλληλον.

[4]) Ἔλειπον αἱ λέξεις αὗται ἐν ταῖς ἀρχαίαις ἐκδόσεσιν, ἀλλ' ὁ Μιλέσιος, καλῶς ποιήσας, ἔθηκεν αὐτὰς ἐν τῷ κειμένῳ ἐκ τῶν Κωδ. Roe καὶ Casaub. Τὴν αὐτὴν ἔκφρασιν ἔχει ὁ Κύριλλος καὶ ἐν Κατηχ. ΙΑ'. §. 4, 18. ἔχουσι δ' αὐτὴν καὶ ἄλλοι Πατέρες· οἷον Κύριλ. Ἀλεξ. εἰς Ἰωάν. κεφ. ά. Γρηγ. Νύσσης κατὰ Εὐνομ. ά. Ἐπιφάνιος ἐν τῷ Ἀγκυρωτῷ, Τόμ. Β'. σελ. 75.

[5]) Ἐν τῷ Ἀρχιεπισκοπικῷ Κώδηκι κεῖται «ὁμοούσιον»· ὁμοίως καὶ ἐν ἄλλοις δύο Κώδηξιν, ὧν γίνεται μνεία παρὰ τῷ Τουτέῳ· καὶ πάντως ἂν προειλόμεθα τὴν γραφὴν ταύτην, εἰ μὴ εἴχομεν τρεῖς ἰσχυροὺς λόγους ἡμᾶς ἀνακόπτοντας· ά.) εἰ ἀληθῶς ἡ γνησία γραφὴ ἦν «ὁμοούσιος», ὡς ἐν τοῖς ἀνωτέρω Κώδηξιν εὕρηται, πρὸς τί παράκειται τὸ «κατὰ πάντα»; Τοῦτο, ὡς ὀρθῶς παρατηρεῖ καὶ ὁ Τουτέος, πρὸς μὲν τὸ «ὅμοιον» λίαν προσφυῶς συνάπτεται καὶ καταλλήλως κεῖται, πάντῃ ὅμως περιττὸν καὶ ἀνάρμοστον φαίνεται πρὸς τὸ «ὁμοούσιον», ἐξ οὐδενὸς δὲ Κώδηκος ἐλλείπει τοῦτο τὸ «κατὰ πάντα». Ὅθεν φαίνεται, ὅτι ἡ γραφὴ «ὁμοούσιος» εἰσήχθη ἐν τοῖς Κώδηξιν ἐκείνοις ἐκ διορθώσεως· β'.) ἡ αὐθεντία πολλῶν καὶ ἀρχαίων Κωδήκων· γ'.) ἄλλα παράλληλα χωρία τοῦ ἱεροῦ Κυρίλλου· οἷον Κατήχ. ΙΑ'. §. 4. «Υἱὸς τοῦ Πατρὸς, ἐν πᾶσιν ὅμοιος τῷ γεγεννηκότι», καὶ §. 18. «ὅμοιος ἐν πᾶσιν ὁ Υἱὸς τῷ γεγεννηκότι», καὶ §.

τῶν αἰώνων ἀϊδίως καὶ ἀκαταλήπτως ἐκ τοῦ Πατρὸς γεγεννημένον[1])· τὴν σοφίαν τοῦ Θεοῦ καὶ τὴν δύναμιν καὶ τὴν δικαιοσύνην τὴν ἐνυπόστατον· τὸν ἐν δεξιᾷ τοῦ Πατρὸς πρὸ πάντων τῶν αἰώνων καθεζόμενον· οὐ γάρ, ὥς τινες ἐνόμισαν, μετὰ τὸ πάθος στεφανωθεὶς ὥσπερ ὑπὸ τοῦ Θεοῦ, διὰ τὴν ὑπομονὴν ἔλαβε τὸν ἐν δεξιᾷ θρόνον· ἀλλ' ἀφ' οὗ πέρ ἐστιν, (ἔστι δὲ γεννηθεὶς ἀεὶ), ἔχει τὸ βασιλικὸν ἀξίωμα, συγκαθεζόμενος τῷ Πατρὶ[2]), Θεὸς ὢν καὶ σοφία καὶ δύναμις, καθὼς εἴ-

9. «Θεὸς ἀληθινὸς ὢν ὁ Πατὴρ, ὅμοιον ἑαυτῷ ἐγέννα τὸν Υἱὸν Θεὸν ἀληθινόν». Ἐκ τούτων γίνεται δῆλον ὅτι ἡ γνησία γραφή ἐστιν «ὅμοιον». Ἡ φράσις «ὅμοιος κατὰ πάντα», οὐ μόνον τῷ ἱερῷ Κυρίλλῳ, ἀλλὰ καὶ ἄλλοις ὀρθοδόξοις Πατράσιν ἀνύποπτος ἐδόκει, καθ' οὓς χρόνους ἐδιδάσκοντο αἱ Κατηχήσεις ἐν Ἱεροσολύμοις. Ἀληθὲς μὲν, ὅτι ἡ λέξις «ὅμοιος» ἦν τὸ γνώρισμα καὶ τὸ σύμβολον τῆς αἱρέσεως τοῦ Μακεδονίου καὶ τῶν ἄλλων ἡμιαρειανῶν, ἀλλ' οὔτε ὁ Κύριλλος, οὔτε ἡ Ἐκκλησία τῶν Ἱεροσολύμων εἶχε κοινόν τι μετὰ τοῦ Μακεδονίου κατὰ τούτους τοὺς χρόνους. Ἔπειτα καλῶς σημειωτέον, ὅτι ὁ Κύριλλος οὐδέποτε λέγει τὸν Υἱὸν ἁπλῶς ὅμοιον τῷ Πατρὶ, ἀλλ' «ὅμοιον κατὰ πάντα»· ὅπερ εὐσεβῶς ἐννοούμενον ἰσοδύναμον καταντᾷ τῷ ὁμοουσίῳ.

[1]) Σαφῶς ἐκδιδάσκει καὶ ὀρθοδόξως διατρανοῖ ἐνταῦθα ὁ θεῖος Κύριλλος τὰ περὶ τῆς ἀχρόνου, ἀϊδίου καὶ ἀνερμηνεύτου γεννήσεως τοῦ Υἱοῦ, ταῖς τοῦ Ἀρείου βλασφημίαις ἀντιταττόμενος, τοῦ σύνθημα τῆς ἑαυτοῦ κακοδοξίας ποιήσαντος τὸ «ἦν ποτε, ὅτε οὐκ ἦν ὁ Υἱός». Τὴν αὐτὴν δὲ διδασκαλίαν θεηγόρως ἀναπτύσσει ὁ Κύριλλος καὶ ἐν τῇ ἑβδόμῃ Κατήχ. (§. 4.)· «ἵνα ἅμα τῷ νοεῖν Πατέρα, νοήσωμεν καὶ τὸν Υἱόν· Υἱοῦ γὰρ καὶ Πατρὸς οὐδέν ἐστι μεταξὺ τῶν ὄντων»· καὶ §. 5. «Οὐ χρόνοις τὸ Πατὴρ εἶναι κτησάμενος, ἀλλ' ἀεὶ Πατὴρ τοῦ Μονογενοῦς τυγχάνων· οὐ γὰρ, ἄπαις ὢν πρὸ τούτου, Πατὴρ γέγονεν ὕστερον μεταβουλευσάμενος, ἀλλὰ πρὸ πάσης ὑποστάσεως καὶ πρὸ πάσης αἰσθήσεως, πρὸ χρόνων τε καὶ πρὸ πάντων τῶν αἰώνων τὸ πατρικὸν ἀξίωμα ἔχει ὁ Θεός»· καὶ ἐν τῇ ἑνδεκάτῃ Κατηχ. (§. 7.)· «χρεία τοῖς σώμασι γεννωμένοις χρόνον μεσιτεύειν· μεσίτης δὲ τῆς ἐκ Πατρὸς Υἱοῦ γεννήσεως χρόνος οὐκ ἔςι». Ὅρα τὴν σημ. εἰς Κατήχ. Ζ'. §. 5. Λέγει δὲ καὶ ὁ Ἐπιφάνιος (ἐν τῷ Ἀγκυρ. σελ. 10.)· «Ἐν Θεῷ γὰρ οὐ χρόνος, οὐ καιρὸς, οὐ στιγμὴ χρόνου, οὐκ ἄτομον ὥρας, οὐ ῥιπὴ ὀφθαλμοῦ, οὐ διανοίας μετέωρον ἐνδέχεται· ἀλλ' ὅσον δ' ἀναβῇ σου ἡ διάνοια Υἱὸν καταλαμβάνειν καὶ πιστεύειν, νόει ἅμα καὶ Πατέρα».

[2]) Οἱ Αἱρετικοὶ, ὡς Παῦλος ὁ Σαμοσατεὺς καὶ οἱ τοῦτον ἐν πολλοῖς μι-

προθεμελιώσῃ τῇ καρδίᾳ[1]), καὶ πεισθῇ τούτῳ[2]), πᾶσαν ὁμοῦ τῶν κακῶν τῆς εἰδωλολατρείας καὶ τῆς τῶν αἱρετικῶν πλάνης ἐκκόπτει τὴν φθοράν[3]). Τοῦτο μὲν οὖν σοι πρῶτον δόγμα τῆς εὐσεβείας ἐν τῇ ψυχῇ προθεμελίωσον διὰ τῆς πίστεως.

Περὶ Χριστοῦ.

§. Ζ'. Πίστευε δὲ καὶ εἰς τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν ἕνα καὶ μόνον, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν ἐκ τοῦ Θεοῦ Θεὸν γεννηθέντα, τὸν ἐκ ζωῆς ζωὴν γεννηθέντα[4]), τὸν ὅμοιον[5]) κατὰ πάντα τῷ γεννήσαντι, τὸν οὐκ ἐν χρόνοις τὸ εἶναι κτησάμενον, ἀλλὰ πρὸ πάντων

---

[1]) Οἱ Κώδ. Α., R. καὶ Casaub. ἔχουσι «διανοίᾳ».

[2]) Ὁ Κώδ. Α. μετὰ τὸ, «πεισθῇ», ἔχει στίξιν· ἀντὶ δὲ «τούτῳ» ἔχει, «τοῦτο», ὅπερ συνάπτει μετὰ τῶν ἑπομένων οὕτω· «Τοῦτο πᾶσαν ὁμοῦ κτλ.».

[3]) Ἐθήκαμεν «φθορὰν», ἐξ αὐθεντίας πέντε Κωδήκων Α., Coisl., Roe., Casaub. καὶ Ottob. Ἐν ταῖς ἐκδόσεσι κεῖται «φορὰν», οὐδὲ τοῦτο ἀκατάλληλον.

[4]) Ἔλειπον αἱ λέξεις αὗται ἐν ταῖς ἀρχαίαις ἐκδόσεσιν, ἀλλ' ὁ Μιλέσιος, καλῶς ποιήσας, ἔθηκεν αὐτὰς ἐν τῷ κειμένῳ ἐκ τῶν Κωδ. Roe καὶ Casaub. Τὴν αὐτὴν ἔκφρασιν ἔχει ὁ Κύριλλος καὶ ἐν Κατηχ. ΙΑ'. §. 4, 18. ἔχουσι δ' αὐτὴν καὶ ἄλλοι Πατέρες· οἷον Κύριλ. Ἀλεξ. εἰς Ἰωάν. κεφ. ά. Γρηγ. Νύσσης κατὰ Εὐνομ. ά. Ἐπιφάνιος ἐν τῷ Ἀγκυρωτῷ, Τόμ. Β'. σελ. 75.

[5]) Ἐν τῷ Ἀρχιεπισκοπικῷ Κώδηκι κεῖται «ὁμοούσιον»· ὁμοίως καὶ ἐν ἄλλοις δύο Κώδηξιν, ὧν γίνεται μνεία παρὰ τῷ Τουτέῳ· καὶ πάντως ἂν προειλόμεθα τὴν γραφὴν ταύτην, εἰ μὴ εἴχομεν τρεῖς ἰσχυροὺς λόγους ἡμᾶς ἀνακόπτοντας· ά.) εἰ ἀληθῶς ἡ γνησία γραφὴ ἦν «ὁμοούσιος;», ὡς ἐν τοῖς ἀνωτέρω Κώδηξιν εὕρηται, πρὸς τί παράκειται τὸ «κατὰ πάντα»; Τοῦτο, ὡς ὀρθῶς παρατηρεῖ καὶ ὁ Τουτέος, πρὸς μὲν τὸ «ὅμοιον» λίαν προσφυῶς συνάπτεται καὶ καταλλήλως κεῖται, πάντῃ ὅμως περιττὸν καὶ ἀνάρμοστον φαίνεται πρὸς τὸ «ὁμοούσιον», ἐξ οὐδενὸς δὲ Κώδηκος ἐλλείπει τοῦτο τὸ «κατὰ πάντα». Ὅθεν φαίνεται, ὅτι ἡ γραφὴ «ὁμοούσιος» εἰσήχθη ἐν τοῖς Κώδηξιν ἐκείνοις ἐκ διορθώσεως· β'.) ἡ αὐθεντία πολλῶν καὶ ἀρχαίων Κωδήκων· γ'.) ἄλλα παράλληλα χωρία τοῦ ἱεροῦ Κυρίλλου· οἷον Κατήχ. ΙΑ'. §. 4. «Υἱὸς τοῦ Πατρὸς, ἐν πᾶσιν ὅμοιος τῷ γεγεννηκότι», καὶ §. 18. «ὅμοιος ἐν πᾶσιν ὁ Υἱὸς τῷ γεγεννηκότι», καὶ §.

τῶν αἰώνων ἀϊδίως καὶ ἀκαταλήπτως ἐκ τοῦ Πατρὸς γεγεννημένον [1])· τὴν σοφίαν τοῦ Θεοῦ καὶ τὴν δύναμιν καὶ τὴν δικαιοσύνην τὴν ἐνυπόστατον· τὸν ἐν δεξιᾷ τοῦ Πατρὸς πρὸ πάντων τῶν αἰώνων καθεζόμενον· οὐ γάρ, ὥς τινες ἐνόμισαν, μετὰ τὸ πάθος στεφανωθεὶς ὥσπερ ὑπὸ τοῦ Θεοῦ, διὰ τὴν ὑπομονὴν ἔλαβε τὸν ἐν δεξιᾷ θρόνον· ἀλλ' ἀφ' οὗ πέρ ἐστιν, (ἔστι δὲ γεννηθεὶς ἀεὶ), ἔχει τὸ βασιλικὸν ἀξίωμα, συγκαθεζόμενος τῷ Πατρὶ [2]), Θεὸς ὢν καὶ σοφία καὶ δύναμις, καθὼς εἴ-

---

9. «Θεὸς ἀληθινὸς ὢν ὁ Πατὴρ, ὅμοιον ἑαυτῷ ἐγέννα τὸν Υἱὸν Θεὸν ἀληθινόν». Ἐκ τούτων γίνεται δῆλον ὅτι ἡ γνησία γραφή ἐστιν «ὅμοιον». Ἡ φράσις «ὅμοιος κατὰ πάντα», οὐ μόνον τῷ ἱερῷ Κυρίλλῳ, ἀλλὰ καὶ ἄλλοις ὀρθοδόξοις Πατράσιν ἀνύποπτος ἐδόκει, καθ' οὓς χρόνους ἐδιδάσκοντο αἱ Κατηχήσεις ἐν Ἱεροσολύμοις. Ἀληθὲς μὲν, ὅτι ἡ λέξις «ὅμοιος» ἦν τὸ γνώρισμα καὶ τὸ σύμβολον τῆς αἱρέσεως τοῦ Μακεδονίου καὶ τῶν ἄλλων ἡμιαρειανῶν, ἀλλ' οὔτε ὁ Κύριλλος, οὔτε ἡ Ἐκκλησία τῶν Ἱεροσολύμων εἶχε κοινόν τι μετὰ τοῦ Μακεδονίου κατὰ τούτους τοὺς χρόνους. Ἔπειτα καλῶς σημειωτέον, ὅτι ὁ Κύριλλος οὐδέποτε λέγει τὸν Υἱὸν ἁπλῶς ὅμοιον τῷ Πατρὶ, ἀλλ' «ὅμοιον κατὰ πάντα»· ὅπερ εὐσεβῶς ἐννοούμενον ἰσοδύναμον καταντᾷ τῷ ὁμοουσίῳ.

[1]) Σαφῶς ἐκδιδάσκει καὶ ὀρθοδόξως διατρανοῖ ἐνταῦθα ὁ θεῖος Κύριλλος τὰ περὶ τῆς ἀχρόνου, ἀϊδίου καὶ ἀνερμηνεύτου γεννήσεως τοῦ Υἱοῦ, ταῖς τοῦ Ἀρείου βλασφημίαις ἀντιταττόμενος, τοῦ σύνθημα τῆς ἑαυτοῦ κακοδοξίας ποιήσαντος τὸ «ἦν ποτε, ὅτε οὐκ ἦν ὁ Υἱός». Τὴν αὐτὴν δὲ διδασκαλίαν θεηγόρως ἀναπτύσσει ὁ Κύριλλος καὶ ἐν τῇ ἑβδόμῃ Κατήχ. (§. 4.)· «ἵνα ἅμα τῷ νοεῖν Πατέρα, νοήσωμεν καὶ τὸν Υἱόν· Υἱοῦ γὰρ καὶ Πατρὸς οὐδέν ἐστι μεταξὺ τῶν ὄντων» · καὶ §. 5. «Οὐ χρόνοις τὸ Πατὴρ εἶναι κτησάμενος, ἀλλ' ἀεὶ Πατὴρ τοῦ Μονογενοῦς τυγχάνων· οὐ γὰρ, ἄπαις ὢν πρὸ τούτου, Πατὴρ γέγονεν ὕστερον μεταβουλευσάμενος, ἀλλὰ πρὸ πάσης ὑποστάσεως καὶ πρὸ πάσης αἰσθήσεως, πρὸ χρόνων τε καὶ πρὸ πάντων τῶν αἰώνων τὸ πατρικὸν ἀξίωμα ἔχει ὁ Θεός»· καὶ ἐν τῇ ἑνδεκάτῃ Κατηχ. (§. 7.)· «χρεία τοῖς σώμασι γεννωμένοις χρόνον μεσιτεύειν· μεσίτης δὲ τῆς ἐκ Πατρὸς Υἱοῦ γεννήσεως χρόνος οὐκ ἔςι». Ὅρα τὴν σημ. εἰς Κατήχ. Ζ΄. §. 5. Λέγει δὲ καὶ ὁ Ἐπιφάνιος (ἐν τῷ Ἀγκυρ. σελ. 10.)· «Ἐν Θεῷ γὰρ οὐ χρόνος, οὐ καιρὸς, οὐ στιγμὴ χρόνου, οὐκ ἄτομον ὥρας, οὐ ῥιπὴ ὀφθαλμοῦ, οὐ διανοίας μετέωρον ἐνδέχεται· ἀλλ' ὅσον δ' ἀναβῇ σου ἡ διάνοια Υἱὸν καταλαμβάνειν καὶ πιστεύειν, νόει ἅμα καὶ Πατέρα».

[2]) Οἱ Αἱρετικοὶ, ὡς Παῦλος ὁ Σαμοσατεὺς καὶ οἱ τοῦτον ἐν πολλοῖς μι-

ρηται· τῷ Πατρὶ συμβασιλεύων, καὶ πάντων διὰ τὸν Πατέρα δημιουργός· ἀλλ᾽ ἀνελλιπὴς[1]) εἰς θεότητος ἀξίαν[2]), καὶ γινώσκων τὸν γεγεννηκότα, καθὼς γινώσκεται ὑπὸ τοῦ γεγεννηκότος[3]). Καὶ ἵνα συντόμως εἴπωμεν, τοῦ ἐν Εὐαγγελίοις γεγραμμένου μέμνησο, ὅτι «Οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν, εἰ μὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱός».

§. Η΄. Καὶ μήτε ἀπαλλοτριώσῃς τοῦ Πατρὸς τὸν Υἱὸν, μήτε συναλοιφὴν ἐργασάμενος, υἱοπατορίαν πιστεύσῃς[4])· ἀλλὰ πίστευε, ὅτι

μούμενοι Ἀρειανοὶ, ἔλεγον, ὅτι ὁ Χριστὸς ὑπερυψώθη καὶ ἐν δεξιᾷ τοῦ Θεοῦ ἐκάθισε πρῶτον ἤδη μετὰ τὸ πάθος, μὴ καθεζόμενος πρότερον, ἀλλ᾽ ἐκ χάριτος καὶ προκοπῆς καὶ ὡς μισθὸν τῆς ὑπομονῆς λαβὼν τὴν δόξαν ταύτην μετὰ τὴν ἐνανθρώπησιν. Βλ. Ἀθανάσ. (κατὰ Ἀρειαν. Λόγ. Δ΄. Τόμ. Α΄. σελ. 288. καὶ Τόμ. Α΄. σελ. 691.). Τὴν δυσσέβειαν ταύτην ἐντόνως ἐξελέγχει ὁ Κύριλλος οὐ μόνον ἐνταῦθα, ἀλλὰ καὶ ἐν τῇ ΙΑ΄. Κατηχ. §. 17, καὶ ἐν τῇ ΙΔ΄. Κατηχ. §. 27 καὶ 29. Τὸ περὶ τῆς ἐν δεξιᾷ καθέδρας τοῦ Χριστοῦ δόγμα τῆς Ἐκκλησίας ἐστὶ τοῦτο, ὅτι ἀεὶ μὲν καὶ πρὸ πάντων τῶν αἰώνων ἦν ὁ Υἱὸς συγκαθήμενος τῷ Πατρὶ, ὡς ὁμοούσιος αὐτῷ καὶ ὁμότιμος τὴν ἀξίαν καὶ ὡς Κύριος καὶ Δεσπότης πάντων· ἐνανθρωπήσας δ᾽ ἐπ᾽ ἐσχάτων τῶν χρόνων, ἐκάθισε καὶ μετὰ τοῦ σώματος ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, προσλαβὼν ὡς ἄνθρωπος δόξαν, ἣν εἶχε καὶ πρότερον ὡς Θεός· «Τὸ, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, ἀνθρωπίνως εἴρηται· Ὕψιστος γὰρ ὢν, ἐταπείνωσεν ἑαυτὸν, καὶ Θεὸς ὢν, ἐνηνθρώπησεν· οὐ ταπεινὸς ὢν ὑψώθη, οὐδὲ ἄνθρωπος ὢν Θεὸς ἐγένετο· ἀλλ᾽ ὡς μὲν Θεὸς, Δεσπότης ἦν τῶν ὅλων ἀεὶ, ὡς δὲ ἄνθρωπος, προσέλαβε δόξαν, ἥν περ εἶχεν ὡς Θεός»· Θεοδώρητ. (εἰς τὸ Α΄. Κεφ. τῆς πρὸς Ἑβρ.). Ὅρα καὶ τὸν θεῖον Δαμασκηνὸν (ἐκδ. Ὀρθ. πίστ. δ΄. 2).

[1]) Ἐν τῷ Κώδ. Α. παραλείπεται ὁ «ἀλλά»· ἐν δὲ τοῖς Κώδηξι Roe καὶ Casaüb. ἀντὶ τοῦ «ἀλλὰ» γέγραπται «καί».

[2]) «Ἀνελλιπὴς εἰς θεότητος ἀξίαν», τουτέστι τέλειος Θεός· λέγει δὲ ταῦτα ὁ Κύριλλος κατὰ τῶν Ἀρειανῶν, οἵτινες μόνον τὸν Πατέρα ὡμολόγουν φύσει τέλειον Θεὸν ἀληθινὸν, τὸν δὲ Υἱὸν εἰσποιήσει μόνον καὶ χάριτι καὶ ἐκ προκοπῆς Θεὸν, οὐχὶ δὲ καὶ φύσει. Τούτους ἀνασκευάζει ὁ Πατὴρ καὶ ἐν Κατηχ. ΙΑ΄. 4. 9. 14.

[3]) Τὸ «καθὼς γινώσκεται ὑπὸ τοῦ γεγεννηκότος» ἐλλείπει ἐκ τοῦ Κώδ. Α., καθὼς καὶ ἐκ τῶν Κωδ. Roe καὶ Casaub.

[4]) Ἀπαλλοτριοῦσι μὲν τοῦ Πατρὸς

ἑνὸς Θεοῦ μονογενὴς εἷς ἐστιν Υἱὸς, ὁ πρὸ πάντων τῶν αἰώνων Θεὸς Λόγος· λόγος οὐ προφορικὸς, εἰς ἀέρα διαχεόμενος, οὔτε λόγοις ἀνυποστάτοις ἐξομοιούμενος [1]), ἀλλὰ λόγος Υἱὸς λογικῶν ποιητὴς, λό-

τὸν Υἱὸν οἱ περὶ τὸν Ἄρειον, συναλοιφὴν δὲ ἐργάζονται οἱ περὶ τὸν Σαβέλλιον. Ταῦτα πλατύτερον διδάσκει ὁ Πατὴρ καὶ ἐν ἄλλοις· οἷον ἐν τῇ δεκάτῃ ἕκτῃ Κατηχήσει (§. 4.) λέγων· «Οὔτε χωρίζομεν τὴν ἁγίαν Τριάδα, ὥς τινες, οὔτε συναλοιφὴν, ὡς Σαβέλλιος, ἐργαζόμεθα»· καὶ ἐν τῇ ἑνδεκάτῃ Κατηχήσει (§. 17.)· «Μήτε λέγωμέν ποτε τὸ, ἦν ὅτε οὐκ ἦν ὁ Υἱὸς, μήτε υἱοπατορίαν καταδεξώμεθα»· καὶ ἐν τῇ δεκάτῃ πέμπτῃ Κατηχ. (§. 10.)· «Ἀπέστησαν οἱ ἄνθρωποι τῆς ὀρθῆς πίστεως, καὶ οἱ μὲν υἱοπατορίαν καταγγέλλουσιν, οἱ δὲ τὸν Χριστὸν ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παρενεχθέντα λέγειν τολμῶσι».

[1]) Ὅρα καὶ Κατήχ. ΙΑ΄. §. 10. Παραπλήσια τῷ ἱερῷ Κυρίλλῳ φθέγγεται καὶ ὁ μακάριος Θεοδώρητος (Θεραπευτ. Β΄.)· «Λόγος οὐκ εἰς ἀέρα χεόμενος, ἀλλ' ἐνούσιος λόγος». Ἵνα μὴ, ἐκ τῆς ὁμωνυμίας πλανηθέντες, νομίσωμεν, ὅτι τοιοῦτός ἐστιν ὁ τοῦ Θεοῦ Λόγος, οἷος καὶ ὁ ἡμέτερος, ὁ ἐκ τοῦ στόματος ἡμῶν προερχόμενος καὶ εἰς ἀέρα διαχεόμενος, καὶ μηδεμίαν ἐν ἑαυτῷ ὑφεστῶσαν οὐσίαν καὶ ὑπόστασιν ἔχων, ὡς Παῦλος ὁ Σαμοσατεὺς καὶ Φωτεινὸς ἐφλυάρουν (Ἐπιφαν. ἐν τῇ ἀνακεφαλ. Φιλάστριος Haeres. 64.), συχνάκις καὶ πολλαχοῦ ἐκδιδάσκουσι καὶ ἀνακηρύττουσιν οἱ Πατέρες τὸ ὑφεστὼς τοῦτο καὶ ὑποστατικὸν καὶ ἐνούσιον τοῦ Θεοῦ Λόγου. Ἐν αὐτοῖς σχεδὸν ἤδη τοῖς ἀποστολικοῖς χρόνοις ἔγραψεν ὁ Θεοφόρος Ἰγνάτιος (ἐπιστ. πρὸς Τραλλησίους)· «ὅς ἐστιν αὐτοῦ λόγος, οὐ ῥητὸς, ἀλλ' οὐσιώδης· οὐ γάρ ἐστι λαλιᾶς ἐνάρθρου φώνημα, ἀλλ' ἐνεργείας θεϊκῆς οὐσία γεννητή». Μάλιστα δὲ πάντων ὁ Μ. Ἀθανάσιος ἐν τοῖς κατὰ τῶν Ἀρειανῶν αὐτοῦ σκάμμασιν ὑψηλῶς καὶ θεηγόρως καὶ ὡς οὐδεὶς ἄλλος ἀνέπτυξε καὶ ἐξέθηκε τὴν πολλὴν καὶ οὐσιώδη διαφορὰν τοῦ ἡμετέρου ἀνθρωπίνου λόγου πρὸς τὸν Λόγον τοῦ Θεοῦ· «Λόγον δὲ οὐ προφορικὸν, οὐκ ἐνδιάθετον, οὐκ ἀπόῤῥοιαν τοῦ τελείου, οὐ τμῆσιν τῆς ἀπαθοῦς φύσεως, οὔτε προβολὴν, ἀλλ' Υἱὸν αὐτοτελῆ ζῶντά τε καὶ ἐνεργοῦντα, τὴν ἀληθινὴν εἰκόνα τοῦ Πατρὸς, ἰσότιμον καὶ ἰσόδοξον». Ἔφη δὲ καὶ ὁ Μ. Βασίλειος (Τόμ. Α΄. σελ. 423.)· «Οὐ προφορικὸς Λόγος ἐν τῷ Θεῷ, ἀλλὰ ζῶν καὶ ὑφεστηκὼς, καὶ τῶν ὅλων δραστήριος». Πρόσθες καὶ τοῦ θείου Χρυσοστόμου (Τόμ. Α΄. σελ. 23)· «Ἵνα μὴ λόγον αὐτὸν ἁπλῶς νομίσῃ τις εἶναι προφορικὸν ἢ ἐνδιάθετον, τῇ τοῦ ἄρθρου προσθήκῃ, καθάπερ ἔφθην εἰπὼν, καὶ διὰ τῆς δευτέρας ταύτης τοῦτο ἀνεῖλε ῥήσεως· οὐ γὰρ εἶπεν, ἐν Θεῷ ἦν, ἀλλὰ πρὸς τὸν Θεὸν

γος ἀκούων τοῦ Πατρὸς καὶ λαλῶν ὁ αὐτός[1]). Καὶ περὶ μὲν τούτων κατὰ καιρὸν, εἰ ὁ Θεὸς παράσχοι, πλατύτερον ἡμῖν[2]) ῥηθήσεται· οὐ γὰρ ἐπιλανθανόμεθα τῆς προτάσεως, ὅτι κεφαλαιώδεις εἰσαγωγὰς πίστεως νῦν ποιούμεθα.

Περὶ τῆς ἐκ Παρθένου γεννήσεως.

§. Θ΄. Πίστευε δὲ, ὅτι οὗτος ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ διὰ τὰς ἁμαρτίας ἡμῶν ἐξ οὐρανῶν κατῆλθεν ἐπὶ τῆς γῆς, τὴν ὁμοιοπαθῆ ταύτην ἡμῖν ἀναλαβὼν ἀνθρωπότητα, καὶ γεννηθεὶς ἐξ ἁγίας Παρθένου καὶ ἁγίου Πνεύματος, οὐ δοκήσει καὶ φαντασίᾳ τῆς ἐνανθρωπήσεως γενομένης[3]), ἀλλὰ τῇ ἀληθείᾳ· οὐδὲ ὥσπερ διὰ σωλῆνος διελθὼν τῆς Παρθένου[4]), ἀλλὰ σαρκωθεὶς ἐξ αὐτῆς ἀληθῶς· φαγὼν

ἣν, τὴν καθ' ὑπόστασιν αὐτοῦ ἀϊδιότητα ἐμφαίνων». Βλ. καὶ Γρηγ. Νύσσ. ἐν τῷ Κατηχητικῷ, Πανοπλ. Δογμ. φυλ. ά. Σημείωσαι, ὅτι ἐνδιάθετον καὶ προφορικὸν ἐκάλεσε τὸν Λόγον Θεόφιλος ὁ Ἀντιοχείας (πρὸς Αὐτόλυκ. βιβλ. β΄.)· ἐνδιάθετον λόγον ἀναφέρει καὶ Εἰρηναῖος (β΄. 12)· ἀλλ' αἱ πρώην ἀνύποπτοι καὶ ἀθῶαι αὗται λέξεις, ἐπειδὴ κατεχρήσαντο ταύταις οἱ αἱρετικοὶ, ἀπεῤῥίφθησαν ὕστερον ὑπὸ τῆς Ἐκκλησίας· ὅθεν λέγει καὶ ὁ Ἀρμενόπουλος, κατὰ τῶν αἱρετικῶν γράφων· « Ὁ τοῦ Θεοῦ λόγος οὔτε προφορικός ἐστιν, οὔτε ἐνδιάθετος· οὗτοι γὰρ τῶν καθ' ἡμᾶς τε καὶ φυσικῶν· ἀλλ' ὑπὲρ φύσιν ὢν, οὐχ ὑποβάλλεται τοῖς κάτω τεχνολογήμασι.

[1]) Προσεθήκαμεν τὸ ἄρθρον «ὁ» ἐκ τοῦ Κώδ. Α.

[2]) Ἐν τῷ Κώδ. Α. κεῖται «ὑμῖν».

[3]) Τὴν κακοδοξίαν τῶν Δοκητῶν στηλιτεύει ἐνταῦθα ὁ Πατὴρ, τῶν δοκήσει καὶ φαντασίᾳ τὴν ἐνανθρώπησιν γεγονέναι λεγόντων. Ἡ αἵρεσις αὕτη ἐστὶν ἀρχαία, ἀπ' αὐτῶν ἤδη τῶν ἀποστολικῶν χρόνων ἀναφυεῖσα (Α΄. Ἰωάν. δ΄, 2) καὶ ὑπὸ τοῦ Θεοφόρου Ἰγνατίου, ἐν τῇ πρὸς Σμυρναίους ἐπιστολῇ, ἐξελεγχθεῖσα. Τοιοῦτοι αἱρετικοὶ, τὴν ἐνανθρώπησιν τοῦ Χριστοῦ φάντασμα λέγοντες καὶ τὴν ἐκ Παρθένου γέννησιν ἀπαρνούμενοι, ἦσαν Σίμων, Σατουρνῖνος, Μένανδρος, Βασιλείδας, Κέρδων, Μαρκίων καὶ οἱ Μανιχαῖοι. Βλ. Κυριλ. (Κατηχ. ΣΤ΄. §. 14.), Εἰρην. (ά, 24.), Ἐπιφάν. (Αἱρεσ. 23 καὶ Αἱρεσ. 24. καὶ Αἱρεσ. 41.), Τερτυλλιανὸν (de carne Christi c. 1.), Ἀθαν. (Τόμ. Α΄, σελ. 457.), Θεοδώρητ. (Διάλ. ά.), Λεόντιον Βυζάντ. (περὶ Αἱρεσ. Πράξ. γ΄).

[4]) Τὴν κακοφροσύνην τῶν λεγόντων, ὅτι ὁ Χριστὸς διῆλθε διὰ τῆς

ὡς ἡμεῖς ἀληθῶς, καὶ πιὼν ὡς ἡμεῖς ἀληθῶς, καὶ γαλακτοτροφηθεὶς ἀληθῶς [1]· εἰ γὰρ φάντασμα ἦν ἡ ἐνανθρώπησις, φάντασμα καὶ ἡ σωτηρία. Διπλοῦς ἦν ὁ Χριστός, ἄνθρωπος μὲν τὸ φαινόμενον, Θεὸς δὲ τὸ μὴ φαινόμενον [2]· ἐσθίων μὲν ὡς ἄνθρωπος ἀληθῶς ὡς ἡμεῖς [3])·

Παρθένου ὡς διὰ σωλῆνος, ἐκτίθησιν ἐν ὀλίγοις ὁ ἱερὸς Θεοδώρητος οὕτω· «Σίμων μὲν γὰρ καὶ Μένανδρος, Κέρδων καὶ Μαρκίων παντάπασιν ἀρνοῦνται τὴν ἐνανθρώπησιν, καὶ τὴν ἐκ Παρθένου γέννησιν μυθολογίαν ἀποκαλοῦσι. Βαλεντῖνος δὲ καὶ Βασιλείδης καὶ Βαρδησάνης καὶ Ἀρμόνιος καὶ οἱ τῆς τούτων συμμορίας δέχονται μὲν τῆς Παρθένου τὴν κύησιν καὶ τὸν τόκον, οὐδὲν δὲ τὸν Θεὸν Λόγον ἐκ τῆς Παρθένου προσειληφέναι φασὶν, ἀλλὰ πάροδόν τινα δι' αὐτῆς ὥσπερ διὰ σωλῆνος ποιήσασθαι, ἐπιφανῆναι δὲ τοῖς ἀνθρώποις φαντασίᾳ χρησάμενον» (Ἐπιστ. 145, Τόμ. Γ'. σελ. 1023.). Παρ' αὐτῷ δὲ τῷ Θεοδωρήτῳ (Διάλ. Α'. σελ. 35.) κεῖνται κατ' ἔκτασιν οἱ λόγοι τοῦ Εἰρηναίου, δι' ὧν ὁ θεῖος οὗτος τῶν Λουγδούνων ποιμὴν κατὰ κράτος ἀνασκευάζει τοὺς μηδὲν ἐκ τῆς Παρθένου εἰληφέναι τὸν Θεὸν Λόγον ληροῦντας· «Τί γὰρ καὶ εἰς αὐτὴν κατῄει, εἰ μηδὲν ἔμελλε λήψεσθαι παρ' αὐτῆς; ἔτι τε, εἰ μηδὲν εἰλήφει παρὰ τῆς Μαρίας, οὐκ ἂν τὰς ἀπὸ γῆς εἰλημμένας προσίετο τροφὰς, δι' ὧν τὸ ἀπὸ γῆς ληφθὲν τρέφεται σῶμα» κτλ. Περὶ τῆς ὡς διὰ σωλῆνος παρόδου ὅρα ἰδίως Γρηγόρ. Θεολόγον (Τόμ. Β'. σελ. 85.).

[1]) Τὰς λέξεις «καὶ γαλακτοτροφηθεὶς ἀληθῶς» παρεθήκαμεν ἐκ τοῦ Κώδ. Δ., εὕρηνται δὲ αἱ λέξεις καὶ ἐν τῷ Θεοδωρήτῳ, καὶ ἐν τῷ Ὀττοβονιανῷ Κώδηκι, οὗ μέμνηται ὁ Τ., ἀλλ' ἡ θέσις τῶν λέξεων διαφέρει· ἡμεῖς ἐκδεδώκαμεν καθ' ἣν τάξιν εὕρομεν αὐτὰς κειμένας ἐν τῷ Κώδ. Α. Ἐκ τοῦ Μ. ἐλλείπουσι παντελῶς αἱ λέξεις. — Παραπλήσια τῷ ἱερῷ Κυρίλλῳ ἔγραψε πρότερον ὁ Θεοφόρος Ἰγνάτιος ἐν τῇ πρὸς Τραλλησίους Ἐπιστολῇ αὐτοῦ· «Ἀληθῶς τοίνυν ἐγέννησε Μαρία σῶμα, Θεὸν ἔνοικον ἔχον· καὶ ἀληθῶς ἐγεννήθη ὁ Θεὸς Λόγος ἐκ τῆς Παρθένου, σῶμα ὁμοιοπαθὲς ἡμῖν ἠμφιεσμένος· ἀληθῶς γέγονεν ἐν μήτρᾳ ὁ πάντας ἀνθρώπους ἐν μήτρᾳ διαπλάττων, καὶ ἐποίησεν ἑαυτῷ σῶμα ἐκ τῶν τῆς Παρθένου αἱμάτων, πλὴν ὅσον ἄνευ ὁμιλίας ἀνδρός· ἐκυοφορήθη, ὡς καὶ ἡμεῖς, καὶ ἀληθῶς ἐγαλακτοτροφήθη, καὶ τροφῆς κοινῆς καὶ ποτοῦ μετέσχεν, ὡς καὶ ἡμεῖς».

[2]) Ἀντὶ τοῦ, «τὸ μὴ φαινόμενον», ἐν τῷ Κώδ. Α. κεῖται «τὸ νοούμενον», καθὰ καὶ Γρηγ. Ναζ. εἶπε μετὰ τῆς αὐτῆς ἐννοίας, «ἄν τις τὸ φαινόμενον χωρίσῃ τοῦ νοουμένου» (Λόγ. 30. σελ. 551.).

[3]) Ἐν τῷ Κώδ. Α. «καὶ ὡς ἡμεῖς».

εἶχε γὰρ τῆς σαρκὸς τὸ ὁμοιοπαθὲς ὡς ἡμεῖς· τρέφων δὲ ἐκ πέντε ἄρτων τοὺς πεντακισχιλίους ὡς Θεός· ἀποθνήσκων μὲν ὡς ἄνθρωπος ἀληθῶς, νεκρὸν δὲ τετραήμερον[1]) ἐγείρων ὡς Θεός· καθεύδων εἰς τὸ πλοῖον ἀληθῶς ὡς ἄνθρωπος, καὶ περιπατῶν ἐπὶ τῶν ὑδάτων ὡς Θεός[2]).

---

[1]) Οὕτω γεγράφαμεν τὴν λέξιν ἄνευ ἄρθρου ἐκ τοῦ Κώδ. Α., ἐν ᾧ αἱ ἄχρι τοῦδε ἐκδόσεις ἔχουσι περιττῶς κείμενον τὸ ἄρθρον «τόν».

[2]) Τὴν περικοπὴν ταύτην τοῦ θείου Κυρίλλου τρεῖς ἀναφέρουσι παλαιοὶ συγγραφεῖς· ά.) Λεόντιος ὁ Βυζάντιος (Βιβλ. Α΄. κατὰ Νεστορ. καὶ Εὐτυχ.) ἀπὸ τοῦ «διπλοῦς ἦν» ἕως τοῦ «ἐσθίων»· β΄.) Γελάσιος (βιβλ. κατὰ Νεστορ. καὶ Εὐτυχ.) ἀπὸ τοῦ «διπλοῦς ἦν» ἕως τοῦ «τρέφων»· ἀναφέρει δὲ ταῦτα, ἐκ παραδρομῆς πάντως, ὑπὸ τὸ ὄνομα Γρηγορίου τοῦ Ναζιανζηνοῦ· γ΄.) Θεοδώρητος, ὅστις οὐ τὴν περικοπὴν μόνον ταύτην, ἀλλ' ὅλον ἀντέγραψε καὶ ἐξέθηκε τὸν παράγραφον ὑπὸ τὸ ὄνομα τοῦ ἱεροῦ Κυρίλλου, ἀπὸ τοῦ «πίστευε δὲ» ἕως τοῦ «Θεὸς» (Θεοδώρητ. Τόμ. Δ΄. σελ. 106.). Σημείωσαι ὅτι νεώτεροί τινες θεολόγοι τῆς προτεσταντικῆς μερίδος λίαν ἀτόπως καὶ παραδόξως ἐκ τῆς περικοπῆς ταύτης συνεπέραναν, ὅτι ὁ ἱερὸς Κύριλλος σάρκα μόνον καὶ θεότητα ἐν τῷ Χριστῷ ὡμολόγει καὶ ἀπεδέχετο, οὐχὶ δὲ καὶ ψυχὴν λογικήν! Περιέπεσον δὲ εἰς τὴν ἄνοιαν ταύτην οἱ ἄνδρες ἐκεῖνοι ἐκ τούτου, ὅτι ὁ Κύριλλος λέγει «φαινόμενον» καὶ «μὴ φαινόμενον»· καὶ φαινόμενον μέν ἐστιν ἡ σάρξ, μὴ φαινόμενον δὲ ἡ θεότης. Ἐπειδὴ δὲ οὐδὲν λέγει περὶ ψυχῆς, ἀοράτου καὶ ταύτης οὔσης, ἄρα ἡ ψυχὴ οὐκ ἀνῆκεν οὐδὲ περιελαμβάνετο ἐν τῇ προσληφθείσῃ ἀνθρωπότητι! **Muenscher's Lehrbuch der christlichen Dogmengeschichte von Daniel von Coelln. I, s. 269. Cassel 1832.** Ἀλλ' οἱ σοφοὶ οὐ συνῆκαν, ὅτι ὁ Κύριλλος ἄνθρωπον καλεῖ οὐ τὴν ἄψυχον, ἀλλὰ τὴν μετὰ τῆς ψυχῆς ἀχωρίστως καὶ φυσικῶς ἡνωμένην σάρκα· οὐδὲ λέγεταί ποτε ἄνθρωπος τέλειος ἡ ἄψυχος σάρξ. «Ἄνθρωπος, λέγει ὁ ἱερὸς Μεθόδιος, λέγεται κατὰ φύσιν ἀληθέστατα οὔτε ψυχὴ χωρὶς σώματος, οὔτε αὖ πάλιν σῶμα χωρὶς ψυχῆς· ἀλλὰ τὸ ἐκ συστάσεως ψυχῆς καὶ σώματος εἰς μίαν τὴν τοῦ καλοῦ μορφὴν συντεθέν»· παρὰ τῷ Ἐπιφανίῳ (Αἱρ. 64. κεφ. 17.). Καὶ ἀλλαχοῦ δὲ ὁ Κύριλλος ἄνθρωπον λέγων ἐννοεῖ τὸ σύνολον, τὸ ἐκ ψυχῆς καὶ σώματος συνιστάμενον, οὐχὶ δὲ τὸ σῶμα μόνον. Κατήχ. Γ΄. §. 4. Κατήχ. Δ΄. §. 18. Κατήχ. ΙΒ΄. §. 5. Ὁμοίαις χρῶνται φράσεσι καὶ ἅπαντες οἱ τῆς Ἐκκλησίας Πατέρες. Ἀλλὰ πλείονα περὶ τούτου λέγειν μάταιον ὅλως καὶ περιττόν.—Σημειωτέον ἐν-

Περὶ τοῦ Σταυροῦ.

§. Ι΄. Οὗτος ἐσταυρώθη ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν ἀληθῶς [1])· κἂν γὰρ ἀρνήσασθαι βουληθῇς, ὁ τόπος ἐλέγχει σε φαινόμενος, ὁ μακάριος οὗτος Γολγοθᾶς, ἐν ᾧ νῦν διὰ τὸν ἐν αὐτῷ σταυρωθέντα συγκεκροτήμεθα· καὶ τοῦ ξύλου τοῦ Σταυροῦ πᾶσα λοιπὸν ἡ Οἰκουμένη

ταῦθα, ὅτι ἄριστα καὶ σαφέστατα ἀναπτύσσει ὁ θεῖος Κύριλλος τὸ περὶ τῆς διπλῆς ἐν τῷ Χριστῷ φύσεως καὶ διπλῆς ἐνεργείας ἱερὸν δόγμα τῆς Ἐκκλησίας, ὅπερ καθαρώτατα ἐξέθηκεν ὕστερον καὶ ὁ θεσπέσιος τῆς Ῥώμης ἐπίσκοπος Λέων ἐν τῇ θαυμασίᾳ αὐτοῦ ἐπιςολῇ πρὸς τὸν ἐν ἁγίοις Φλαυϊνόν· «Τὸ μὲν γὰρ πεινῆν, λέγει, καὶ διψῆν, καὶ κοπιᾶν, καὶ ὑπνοῦν, ὁμολογουμένως ἐστὶν ἀνθρώπου· ἀλλὰ τὸ πέντε ἄρτοις πεντακισχιλίους κορέσαι, καὶ χαρίσασθαι τῇ Σαμαρείτιδι ὕδωρ ζῶν, ὅθεν ἀρυσαμένη αὐτῇ ὑπῆρχε τὸ μηκέτι διψῆν, καὶ ἐπὶ νώτων θαλάσσης περιπατεῖν, τῶν ποδῶν οὐ βαπτιζομένων, καὶ τὸ τὰς τῶν ὑδάτων οἰδήσεις ἐπιτιμωμένου τοῦ κλύδωνος κατευνάζειν, ἐστὶν ἀναμφιβόλως Θεοῦ». Θαυμάσια ὄντως εἰσὶ καὶ ὅσα ὁ αὐτὸς Πατὴρ περὶ τῆς αὐτῆς ὑποθέσεως ἀλλαχοῦ ἔγραψε (βλ. τὰς σημ. εἰς Γρηγ. Ναζιανζ. Τόμ. Α΄. σελ. 536). Ταύτας τὰς τοῦ ἑνὸς Σωτῆρος θείας καὶ ἀνθρωπίνους ἐνεργείας εὐγλώττως ἀπέδειξε καὶ ὁ ἐν ἁγίοις Ἱππόλυτος (παρὰ Θεοδωρήτ. Διάλ. Β΄. σελ. 88.). Βλ. καὶ Μ. Ἀθανάσ. (Τόμ. Α΄. σελ. 274), Θεοδώρητ. (Διάλ. Α΄. σελ. 28. Τόμ. Δ΄.), Πρόκλον (Ἐπιστ. πρὸς Ἀρμενίους) καὶ Γρηγόρ. Ναζ. (Τόμ. Α΄. σελ. 537.).

[1]) Ἀληθινὴν γεγονέναι τὴν σταύρωσιν τοῦ Χριστοῦ διδάσκει ὁ Κύριλλος οὐ μόνον ἐνταῦθα, ἀλλὰ καὶ ἐν τῇ ΙΓ΄. Κατηχ. §. 4. ἔνθα λέγει· «Ἔπαθεν οὖν ὁ Ἰησοῦς κατὰ ἀλήθειαν ὑπὲρ πάντων ἀνθρώπων· οὐ γὰρ δόκησις ὁ σταυρὸς, ἐπεὶ δόκησις καὶ ἡ λύτρωσις· οὐ φαντασιώδης ὁ θάνατος, ἐπεὶ καὶ μυθώδης ἡ σωτηρία... Τὸ μὲν οὖν πάθος ἀληθές· ἀληθῶς γὰρ ἐσταυρώθη, καὶ οὐκ ἐπαισχυνόμεθα»· καὶ §. 37. «Μίσησον τοὺς λέγοντας, ὅτι κατὰ φαντασίαν ἐσταυρώθη· εἰ γὰρ κατὰ φαντασίαν ἐσταυρώθη, ἐκ σταυροῦ δὲ ἡ σωτηρία, καὶ ἡ σωτηρία φαντασία». Λέγει δὲ ταῦτα ὁ Πατὴρ ἐναντίον τῶν Αἱρετικῶν Γνωστικῶν, τῶν τὴν ἐνανθρώπησιν τοῦ Σωτῆρος, εἶτα δὲ καὶ τὴν σταύρωσιν ἀφρόνως ἀπαρνουμένων, καὶ μετὰ τῶν φαντασμάτων αὐτὴν ταττόντων. Εἷς μάλιστα ἐξ αὐτῶν, ὁ Βασιλείδης, πολὺ τῶν ἄλλων προέχει ἐπὶ τῷ γελοίῳ λήρῳ, ὅτι ἐςαυρώθη οὐχὶ ὁ Χριστὸς, ἀλλὰ Σίμων ὁ Κυρηναῖος, ὃν ὁ Ἰησοῦς, τὸν σταυρὸν βαστάζοντα, μετεμόρφωσεν εἰς τὴν ἑαυτοῦ μορφὴν,

κατὰ μέρος ἐπληρώθη[1]). Ἐσταυρώθη δὲ οὐχ ὑπὲρ ἰδίων ἁμαρτιῶν, ἀλλ' ἵνα ἡμεῖς τῶν οἰκείων ἁμαρτιῶν ἐλευθερωθῶμεν· καὶ κατεφρονήθη μὲν ὑπὸ τῶν ἀνθρώπων τότε, καὶ ἐῤῥαπίσθη ὡς ἄνθρωπος, ἐγνωρίσθη δὲ ὑπὸ τῆς κτίσεως ὡς Θεός[2])· ὁ γὰρ ἥλιος, δεσπότην ἀτιμαζόμενον ὁρῶν[3]), ἐξελίμπανε τρέμων, οὐ φέρων τὴν θέαν.

Περὶ τῆς Ταφῆς.

§. ΙΑ'. Ἐν μνήματι πέτρας ἐτέθη ἀληθῶς ὡς ἄνθρωπος, ἀλλὰ πέτραι διεῤῥάγησαν τῷ φόβῳ δι' αὐτόν· κατῆλθεν εἰς τὰ καταχθόνια, ἵνα κἀκεῖθεν λυτρώσηται τοὺς δικαίους. Ἐβούλου γὰρ, εἰπέ μοι, τοὺς μὲν ζῶντας ἀπολαῦσαι τῆς χάριτος, καὶ ταῦτα τῶν πλείστων οὐχ ὁσίων ὄντων, τοὺς δὲ ἀπὸ Ἀδὰμ[4]) πολυχρονίως ἀποκεκλει-

---

αὐτὸς δὲ ἔλαβε τὴν ἐκείνου. Ὅθεν, ἐν ᾧ οἱ Ἰουδαῖοι ἐσταύρουν τὸν Σίμωνα, ὁ Ἰησοῦς ὑπὸ τὴν μορφὴν τοῦ Σίμωνος ἱστάμενος κατέναντι τοῦ σταυροῦ ἐγέλα· Εἰρην. (ά. 24), Ἐπιφ. (Τόμ. Α'. σελ. 70). Ὅτι δὲ ὁμοίαν νόσον ἐνόσουν καὶ οἱ Μανιχαῖοι, γίνεται φανερὸν ἐκ τοῦ Λεοντίου (περὶ Αἱρέσ. Πράξ. Γ'.)· «Οὐχ ὁμολογοῦσιν ἀληθῆ γενέσθαι τὴν ἐνανθρώπησιν τοῦ Χριστοῦ, ἀλλὰ κατὰ φαντασίαν, καὶ ἐν τοῖς πάθεσιν ὅτι ἄλλον ἄνθρωπον ὑπέβαλεν ἀντ' αὐτοῦ, καὶ αὐτὸς ἔφυγε».

[1]) Τοῦτ' αὐτὸ βεβαιοῖ ὁ Κύριλλος καὶ ἐν τῇ ΙΓ'. Κατηχ. §. 4. «Ἐλέγχει μὲν τοῦ Σταυροῦ τὸ ξύλον, τὸ κατὰ μικρὸν ἐντεῦθεν πάσῃ τῇ Οἰκουμένῃ λοιπὸν διαδοθέν»· καὶ Κατήχ. Ι'. §. 19. «Τὸ ξύλον τὸ ἅγιον τοῦ Σταυροῦ μαρτυρεῖ, μέχρι σήμερον παρ' ἡμῖν φαινόμενον, καὶ διὰ τῶν κατὰ πίστιν ἐξ αὐτοῦ λαμβανόντων ἐντεῦθεν τὴν Οἰκουμένην πᾶσαν σχεδὸν ἤδη πληρῶσαν». Πόσον δὲ περιμάχητον ἦν τοῖς χριστιανοῖς καὶ μικρόν τι τεμάχιον τοῦ ζωοποιοῦ τούτου ξύλου, κάλλιστα διαγράφει ὁ θεοῤῥήμων Χρυσόστομος (Τόμ. Α'. σελ. 698.). Ὅτι δὲ τὸ ἅγιον τοῦτο ξύλον τοῦ τιμίου Σταυροῦ ἀνευρέθη ἐν τῷ Γολγοθᾷ ἐπὶ τοῦ Μ. Κωνσταντίνου, τοῦτο οὐ μόνον ὁ Κύριλλος μαρτυρεῖ (ἐν τῇ πρὸς τὸν Κωνστάντιον ἐπιστολῇ), ἀλλὰ καὶ Σωκράτης (ά. 17), καὶ Θεοδώρητος (ά, 18), καὶ Σωζόμενος (β', 1.) ἐν ταῖς Ἐκκλησιαστικαῖς αὐτῶν Ἱστορίαις.

[2]) Ἐν τοῖς Κώδ. Α. Roe καὶ Casaub. κεῖται «ὅτι Θεὸς ἦν».

[3]) Οὕτω κεῖται ἐν τῷ Κώδ. Α., ἐν δὲ ταῖς ἄχρι τοῦδε ἐκδόσεσιν εὕρηται «ἰδών».

[4]) Ἐν τῷ Κώδ. Α. κεῖται «περὶ

σμένους μὴ τυχεῖν τῆς ἐλευθερίας λοιπόν; Ἡσαΐας ὁ προφήτης τοσαῦτα περὶ αὐτοῦ μεγαλοφώνως ἐκήρυξεν. Οὐκ ἤθελες ἵνα ὁ βασιλεὺς[1]) κατελθὼν λυτρώσηται τὸν κήρυκα; Δαβὶδ ἦν ἐκεῖ καὶ Σαμουὴλ, καὶ πάντες οἱ Προφῆται, καὶ αὐτὸς Ἰωάννης ὁ λέγων διὰ τῶν ἀποσταλέντων· «Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν»; Οὐκ ἤθελες, ἵνα καταβὰς λυτρώσηται[2]) τοὺς τοιούτους;

Περὶ τῆς Ἀναστάσεως.

§. ΙΒ΄. Ἀλλ᾽ ὁ καταβὰς εἰς τὰ καταχθόνια πάλιν ἀνῆλθε, καὶ ὁ ταφεὶς Ἰησοῦς πάλιν ἀνέστη τὸ τριήμερον[3]) ἀληθῶς· κἂν ποτέ σε διασύρωσιν Ἰουδαῖοι, ταχέως ἀπάντησον οὕτως ἐρωτήσας· Ἰωνᾶς τριήμερος ἀπὸ κήτους ἐξῆλθε, καὶ Χριστὸς τριήμερος ἀπὸ γῆς ἄρα οὐκ ἐγήγερται; Τῶν ὀστέων Ἐλισσαίου νεκρὸς ἀψάμενος ἐγήγερται, καὶ ὁ τῶν ἀνθρώπων ποιητὴς δυνάμει Πατρὸς ἄρ᾽ οὐχὶ μᾶλλον εὐκοπώτερον ἐγείρεται[4]); Ἀνέστη τοίνυν ἀληθῶς, καὶ ἀναστὰς πάλιν

Ἀδάμ», αὕτη δὲ ἡ γραφὴ φαίνεται πολὺ προσφυεστέρα εἰς τὸ νόημα τοῦ Κυρίλλου· οὐ γὰρ ἅπαντας τοὺς ἀπὸ Ἀδὰμ τυχεῖν τῆς ἐλευθερίας ἐδόξαζεν ὁ Κύριλλος, οὐδ᾽ ὁ Σωτὴρ κατῆλθεν εἰς τὰ καταχθόνια, ἵνα λυτρώσηται ἅπαντας, ἀλλὰ «τοὺς δικαίους», τουτέστι τοὺς περὶ τὸν Ἀδὰμ προφήτας καὶ εὐσεβεῖς·

[1]) Τὸ ἄρθρον «ὁ» προσεθήκαμεν ἐκ τοῦ Κώδ. Α.

[2]) Ἀντὶ «λυτρώσηται», οἱ τρεῖς Κώδ. Α., Roe καὶ Casaub. ἔχουσιν «ἐξέληται».

[3]) Ἐν τῷ Κώδ. Α. «Τριήμερος».

[4]) Τὴν ἀνάστασιν τοῦ Κυρίου ἀληθῶς γεγονέναι δείκνυσιν ὁ Κύριλλος διὰ μακρῶν ἐν τῇ ΙΔ΄. Κατηχήσει (§. 14—24), κατὰ τῆς πωρώσεως τῶν Ἑβραίων ἀγωνιζόμενος. Ταύτην κατὰ Ἰουδαίων πιστοῦται καὶ ἀποδείξεσι βεβαιοῖ καὶ ὁ θεῖος Χρυσόστομος (Τόμ. Γ΄. σελ. 110—113. Τόμ. Ζ΄. σελ. 940—943). Οὐ μόνον δὲ οἱ Ἰουδαῖοι ἠρνοῦντο τὴν Ἀνάστασιν τοῦ Σωτῆρος, ἀλλὰ καὶ πολλοὶ τῶν δειλαίων αἱρετικῶν προσέπταισαν τῷ θεμελιώδει δόγματι τούτῳ, δοκήσει καὶ φαντασίᾳ σταυρωθῆναι τε καὶ ἀποθανεῖν τὸν Δεσπότην εἰπόντες, οὓς ὁ Κύριλλος γενναίως ἀποῤῥαπίζει τε καὶ ἐπιστομίζει (Κατηχ. ΙΓ΄. §. 37. Κατηχ. Δ΄. §. 9. §. 10.)· ἡ ἀσέβεια δὲ αὕτη, ἡ ἐκ νοσερῶν κεφαλῶν καὶ σαπρῶν στο-

ὤφθη τοῖς Μαθηταῖς· καὶ μάρτυρες αὐτοῦ τῆς ἀναστάσεως μαθηταὶ δώδεκα, οὐ λόγοις κεχαρισμένοις μαρτυρήσαντες[1]), ἀλλὰ μέχρι βασάνων καὶ θανάτων περὶ τῆς ἀληθοῦς ἀναστάσεως ἀγωνισάμενοι[2]). Εἶτα, ἐπὶ στόματος μὲν δύο μαρτύρων καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα κατὰ τὴν Γραφὴν, δώδεκα δὲ τῇ ἀναστάσει τοῦ Χριστοῦ μαρτυροῦσι, καὶ ἄρα ἔτι πρὸς τὴν ἀνάστασιν ἀπιστεῖς;

Περὶ Ἀναλήψεως.

§. ΙΓ΄. Τὸν δρόμον δὲ τῆς ὑπομονῆς τελέσας Ἰησοῦς, καὶ τοὺς ἀνθρώπους λυτρωσάμενος τῶν ἁμαρτιῶν, ἀνέβη πάλιν εἰς τοὺς οὐρανοὺς, νεφέλης αὐτὸν ὑπολαβούσης[3])· καὶ Ἄγγελοι μὲν ἀνιόντι παρει-

---

μάτων τὸ πάλαι ἀποχρεμφθεῖσα, ἀνεῤῥάγη πάλιν καὶ ὡς ἐξ ἀνηλίων κευθμώνων δυσώδης ἀνεφυσήθη καὶ ἐν τοῖς νεωτέροις χρόνοις. Ἀλλὰ τοὺς ἀσεβεῖς τούτους, τοὺς γλῶσσαν ἠκονημένην κατὰ τῆς δεσποτικῆς ἀναστάσεως κινήσαντας, ἐφίμωσαν πολλοὶ ἄλλοι ἄνδρες οὐκ εὐσεβέστεροι μόνον, ἀλλὰ καὶ σοφώτεροι ἐκείνων, ἐν ἰδίαις πραγματείαις τὴν ἀλήθειαν τῆς σωτηρίου ἀναστάσεως πολλαχόθεν τετρανωμένην, καὶ μὴ μόνον θεολογικαῖς, ἀλλὰ καὶ ἐπιστημονικαῖς ἀποδείξεσι καρτερώτατα ὠχυρωμένην ἐκθέντες, οὓς ὀνομαστὶ μνημονευομένους εὑρίσκεις ἐν τῷ σοφωτάτῳ πονήματι: Discours sur les rapports ect. s. 177—184.

[1]) Ἐν τῷ Κώδ. Α, κεῖται «οὐ λόγοις μαρτυρήσαντες μόνον».

[2]) Οὐ μόνον ἐκ τῶν βασάνων καὶ θανάτων τῶν Ἀποστόλων, ἀλλὰ καὶ ἐκ τῆς ὑπερφυοῦς καρτερίας καὶ σταθερότητος τῶν Μαρτύρων βεβαιοῖ καὶ κρατύνει τὸ τῆς ἀναστάσεως τοῦ Χριστοῦ δόγμα ὁ ἱερὸς Χρυσόςομος (Τόμ. Β΄. σελ. 824.).

[3]) Διὰ τοῦτο ὑπέλαβεν αὐτὸν νεφέλη, λέγει ὁ ἱερὸς Χρυσόστομος, διότι ἡ νεφέλη σύμβολόν ἐστι τοῦ οὐρανοῦ καὶ τῆς θείας δυνάμεως· «Νεφέλη ὑπέλαβεν αὐτὸν, ὃ τοῦ οὐρανοῦ σύμβολον ἦν· καθὼς ὁ Προφήτης φησὶν, ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ· εἰ καὶ περὶ τοῦ Πατρὸς εἴρηται τοῦτο· διὰ τοῦτο λέγει, ὅτι ἐπὶ νεφέλης, δεικνὺς ὅτι ἐν τῷ συμβόλῳ αὐτῷ τῆς θείας δυνάμεως· οὐδαμοῦ γὰρ ἄλλη τις δύναμις ἐπὶ νεφέλης φαίνεται. Ἄκουε πάλιν, τί φησιν ἄλλος Προφήτης· ὁ Θεὸς κάθηται ἐπὶ νεφέλης κούφης» (Τόμ. Θ΄. σελ. 20.). Βλ. καὶ Καισάριον (Διάλογ. Α΄. Αποκρ. 79.).

στήκεισαν [1]), Ἀπόστολοι δὲ ἐθεώρουν [2]). Εἰ δέ τις τοῖς λεγομένοις ἀπιστεῖ [3]), αὐτῇ πιστευέτω τῇ δυνάμει τῶν νῦν βλεπομένων. Πάντες οἱ βασιλεῖς τελευτῶντες, συναποσβεννύουσι τῇ ζωῇ καὶ τὴν δύναμιν· Χριστὸς δὲ σταυρωθεὶς, ὑπὸ πάσης προσκυνεῖται τῆς Οἰκουμένης. Τὸν ἐσταυρωμένον νῦν [4]) καταγγέλλομεν, καὶ τρέμουσιν οἱ δαίμονες. Πολλοὶ κατὰ χρόνους ἐσταυρώθησαν, ἀλλὰ ποίου σταυρωθέντος ἐπίκλησις ἑτέρου ποτὲ τοὺς δαίμονας ἀπήλασε [5]);

---

[1]) Μετὰ τὸ «παρειστήκεισαν», οἱ Κώδ. Roe καὶ Casaub. ἔχουσι ταῦτα· «οἱ δὲ ἐλειτούργουν δορυφοροῦντες».

[2]) Ὁ Κώδ. Α. ἔχει «ἐθεάσαντο».

[3]) Ἐν τῷ Κώδ. Α. κεῖται ἡ φράσις ἐν δευτέρῳ προσώπῳ· «εἰ δὲ τοῖς λεγομένοις ἀπιςεῖς, αὐτῇ πίςευε κτλ».

[4]) Παρεθήκαμεν τὸ «νῦν» ἐκ τοῦ Κώδ. Α., ὅπερ ἐκ μὲν τοῦ Τ. ἐλλείπει παντελῶς, ἐν δὲ τῷ Μ. τέθειται ἐσφαλμένως μετὰ τὸ, «τρέμουσι».

[5]) Τὴν φοβερὰν ταύτην καὶ τῶν δαιμόνων φυγαδευτικὴν δύναμιν τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀνακηρύττει καὶ ὁ ἅγιος μάρτυς καὶ φιλόσοφος Ἰουστῖνος, λέγων· «Δαιμονιολήπτους γὰρ πολλοὺς κατὰ πάντα τὸν κόσμον, καὶ ἐν τῇ ἡμετέρᾳ πόλει, πολλοὶ τῶν ἡμετέρων ἀνθρώπων τῶν χριστιανῶν ἐπορκίζοντες κατὰ τοῦ ὀνόματος Ἰησοῦ Χριστοῦ, τοῦ σταυρωθέντος ἐπὶ Ποντίου Πιλάτου, ὑπὸ τῶν ἄλλων ἁπάντων ἐπορκιστῶν καὶ ἐπαστῶν καὶ φαρμακευτῶν μὴ ἰαθέντας, ἰάσαντο, καὶ ἔτι νῦν ἰῶνται, καταργοῦντες καὶ ἐκδιώκοντες τοὺς κατέχοντας τοὺς ἀνθρώπους δαίμονας» (Ἀπολογ. Β΄. κεφ. 6.)· καὶ ἀλλαχοῦ· «Κατὰ γὰρ τοῦ ὀνόματος αὐτοῦ τούτου τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ πρωτοτόκου πάσης κτίσεως, καὶ διὰ Παρθένου γεννηθέντος, καὶ παθητοῦ γενομένου ἀνθρώπου, καὶ σταυρωθέντος ἐπὶ Ποντίου Πιλάτου ὑπὸ τοῦ λαοῦ ὑμῶν, καὶ ἀποθανόντος, καὶ ἀναστάντος ἐκ νεκρῶν, καὶ ἀναβάντος εἰς τὸν οὐρανὸν, πᾶν δαιμόνιον ἐξορκιζόμενον νικᾶται καὶ ὑποτάσσεται» (Διάλ. πρὸς Τρύφ. κεφ. 85.). Λέγει δὲ καὶ ὁ Μ. Ἀθανάσιος· «Ἔνθα γὰρ ὀνομάζεται Χριστὸς καὶ ἡ τούτου πίστις, ἐκεῖθεν πᾶσα μὲν εἰδωλολατρεία καθαιρεῖται, πᾶσα δὲ δαιμόνων ἀπάτη ἐλέγχεται· πᾶς δὲ δαίμων οὐδὲ τὸ ὄνομα ὑποφέρει, ἀλλὰ καὶ μόνον ἀκούσας οἴχεται» (Τόμ. Α΄. σελ. 60.)· καὶ κατωτέρω· «Πᾶσα τῶν δαιμόνων μανία ἐξίσταται τῇ τούτου ὀνομασίᾳ καὶ διώκεται» (Αὐτόθ. σελ. 75.)· καὶ αὖθις· «Τίνος γάρ ποτε θάνατος ἀπήλασε δαίμονας; ἢ τίνος ποτὲ θάνατον ἐφοβήθησαν δαίμονες, ὡς τοῦ Χριστοῦ; ἔνθα γὰρ ὀνομάζεται τὸ ὄνομα τοῦ Σωτῆρος, ἐκεῖθεν πᾶς δαίμων ἀπελαύνεται» (Αὐτόθ. σελ. 77.). Ἀλλὰ καὶ ὁ Θεο-

§. ΙΔ'. Μὴ τοίνυν ἐπαισχυνθῶμεν τῷ σταυρῷ[1]) τοῦ Χριστοῦ· ἀλλὰ κἂν ἄλλος ἀποκρύπτῃ, σὺ φανερῶς ἐπὶ μετώπῳ σφραγίζου, ἵνα οἱ δαίμονες, τὸ σημεῖον ἰδόντες τὸ βασιλικὸν, μακρὰν φύγωσι τρέμοντες. Ποίει δὲ τοῦτο τὸ σημεῖον ἐσθίων καὶ πίνων, καθήμενος, κοιταζόμενος, ἐξανιστάμενος, λαλῶν, περιπατῶν, ἁπαξαπλῶς ἐν παντὶ πράγματι[2])· ὁ γὰρ ἐνταῦθα σταυρωθεὶς, ἐν οὐρανοῖς ἐστιν ἄνω· εἰ μὲν

λόγος Γρηγόριος μαρτυρεῖ, ὅτι καὶ ἐπὶ τῆς ἐποχῆς αὐτοῦ τῷ ὀνόματι τοῦ Χρίστοῦ ἐφυγαδεύοντο δαίμονες· «Καὶ οἱ μὲν δαίμονες φρίττουσιν εἰς ἔτι καὶ νῦν Χριστοῦ καλουμένου, καὶ οὐδὲ ὑπὸ τῆς κακίας ἡμῶν ἐξίτηλος γέγονεν ἡ τοῦ ὀνόματος τούτου δύναμις» (Λόγ. Β'. σελ. 53.).

[1]) Ἐν τῷ Κώδ. Α. «τὸν ϛαυρόν».

[2]) Μετὰ πολλοῦ πόθου καὶ πολλῆς μερίμνης συνίϛησιν εἰς τοὺς ἑαυτοῦ Κατηχουμένους ὁ Κύριλλος καὶ εἰς τὰς ψυχὰς αὐτῶν ἐμφυτεύει τὴν ἁγίαν ταύτην συνήθειαν τοῦ σφραγίζεσθαι. Τοῦτο ποιεῖ οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐν Κατηχ. ΙΓ'. §. 36. «Ἐπὶ μετώπου, λέγει, μετὰ παῤῥησίας δακτύλοις ἡ σφραγὶς, καὶ ἐπὶ πάντων ὁ σταυρὸς γινέσθω κτλ.». Τὸ ἐπὶ μετώπῳ καὶ τοῖς στέρνοις σφραγίζεσθαι τῷ σημείῳ τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ ἀρχαιότατόν ἐστι τῶν εὐσεβῶν χριστιανῶν ἔθος, ἀπ' αὐτῶν τῶν Ἀποστόλων ἐπικρατῆσαν. Τοσαῦται δὲ ὑπάρχουσι μαρτυρίαι περὶ τῆς ἀρχαιότητος τοῦ ἱεροῦ τούτου ἔθους, ὥστε ἄπορον ἀληθῶς φαίνεται, πῶς οἱ διαμαρτυρόμενοι, οἱ τὰ ἀρχαῖα μόνον νόμιμά τε καὶ ἔθιμα τῆς Ἐκκλησίας τιμᾷν λέγοντες, οὕτω δυσμενῶς προσηνέχθησαν πρὸς τὸ πανσέβαστον τοῦτο τῆς χριστιανωσύνης καύχημα, καὶ τοσοῦτον παραλόγως καὶ αὐθαδῶς κατεφρόνησαν καὶ ἠθέτησαν τὸ ἅγιον τοῦτο σύμβολον τῆς ἡμῶν σωτηρίας. Ὑπὸ τῶν πολλῶν καὶ περιφανῶν ἀποδείξεων τοῦ χριστιανικοῦ τούτου ἔθους πνιγόμενος καὶ ὁ προτεστάντης Σουΐκῆρος κράζει· «Crucis signo se signare vetus consuetudo est»· «τῷ τοῦ σταυροῦ σημείῳ σφραγίζεσθαι, ἀρχαία ἐστὶ συνήθεια»· Suicerus (Thesaur. eccles. tom. II. p. 1009). Αὐτὸς ἤδη ὁ Τερτυλλιανὸς, ὁ περὶ τὰ τέλη τοῦ Β'. αἰῶνος ἀκμάσας, λαμπρὰν κατατίθησι μαρτυρίαν, γράφων (de coron. milit. cap. 2.)· «ad omnem progressum atque promotum, ad omnem aditum et exitum, ad vestitum et calceatum, ad lavacra, ad mensas, ad lumina, ad cubilia, ad sedilia, quæcunque nos conversatio exercet, fronte crucis signaculo terimus» (ὅρ. Πεταβ. ἢ Σουΐκηρ.)· τουτέστιν· «εἰς πᾶσαν πρόοδον καὶ προαγωγὴν, εἰς πᾶσαν εἴσέλευσιν καὶ ἐξέλευσιν, εἰς ἀμφίεσιν καὶ ὑπόδησιν, εἰς τὰ λουτρὰ, εἰς τὰς τραπέζας, εἰς τὰ ἀνάμματα τῶν λύ-

γὰρ σταυρωθεὶς καὶ ταφεὶς ἐναπέμεινε τῷ τάφῳ, εἴχομεν ἂν ἐπαισχύνεσθαι· νυνὶ δὲ ὁ ἐν τῷ Γολγοθᾷ τούτῳ σταυρωθεὶς, ἀπὸ τοῦ πρὸς ἀνατολὰς ὄρους τῶν Ἐλαιῶν ἀναβέβηκεν εἰς τὸν οὐρανόν [1]). Ἐντεῦ-

χνων, εἰς τὰς εὐνὰς, εἰς τὰ ἑδώλια, ὁπουδήποτε ἀσχολούμεθα εἴς τι, τῷ τοῦ σταυροῦ σημείῳ τὸ μέτωπον σφραγιζόμεθα». Μετὰ τὸν ἀρχαιότατον καὶ περιφανῆ τοῦτον μάρτυρα ἔρχεται κατόπιν καὶ νέφος ἄλλο μαρτύρων, τὴν πάγκοινον χρῆσιν τῆς ἁγίας ταύτης σφραγῖδος βεβαιούντων. Πλὴν τοῦ ἡμετέρου Κυρίλλου, τοῦ τοσοῦτον λιπαρῶς συνιστῶντος καὶ ταῖς τῶν Κατηχουμένων ψυχαῖς ἐνσημαίνοντος τὴν ἁγίαν ταύτην συνήθειαν τοῦ σφραγίζεσθαι, παρίστανται μάρτυρες ἀξιόχρεοι Εὐσέβιος (Εὐαγγελ. Ἀποδ. βιβλ. ς'. κεφ. 24. καὶ βιβλ. θ'. κεφ. 14.), Μ. Ἀθανάσιος (ἐν τῷ βίῳ τοῦ ἁγίου Ἀντων. Τόμ. Β'. σελ. 447. καὶ Τόμ. Α'. σελ. 74.), Μ. Βασίλειος (περὶ τοῦ ἁγ. Πνεύματος κεφ. 27.), Γρηγ. Ναζιανζ. (Λόγ. Γ'.), Ἐπιφάνιος (Αἱρεσ. 30.), Βασίλειος Σελευκείας (ἐν τῷ βίῳ τῆς ἁγίας Θέκλας), Παλλάδιος (ἐν τῷ Λαυσαϊκῷ κεφ. 2.), Κύριλλος Ἀλεξανδρ. (εἰς Ἡσαΐαν, Τόμ. Δ'. σελ. 294), Ἀμβρόσιος (lib. de iis, qui init. cap. 4.), Αὐγουστῖνος (tractat. II. in Joan. καὶ tractat. LIII. in Joannem). Ἀλλὰ πάντων μάλιστα εὐγλωττότερον τρανοῖ καὶ διαγράφει τὴν συνήθειαν ταύτην ὁ ἱερὸς Χρυσορρήμων.

[1]) Ἀρχαιοτάτη ἐστὶν αὕτη ἡ σταθερὰ καὶ ὁμόφωνος τῆς Ἐκκλησίας παράδοσις, ὅτι τὸ ὄρος τῶν Ἐλαιῶν, ἢ μᾶλλον ἐκ τῶν τριῶν κορυφῶν αὐτοῦ ἡ μεσαία, ἐστὶν ἀκριβῶς ὁ τόπος, ἀφ' οὗ ἐγένετο ἡ τοῦ Σωτῆρος Ἀνάληψις. Τὴν ἀρχαιότητι σεβασμίαν καὶ πλήθει μαρτυριῶν περιφανεστάτην ταύτην παράδοσιν ἄγαν θρασυστόμως ψευδῆ διεκήρυξεν ἐν τοῖς καθ' ἡμᾶς τούτοις χρόνοις ὁ Ἀμερικανὸς θεολόγος Ῥοβινσών. Η παράδοσις αὕτη, λέγει, ψευδὴς ἐξελέγχεται ἐκ τοῦ εὐαγγελιστοῦ Λουκᾶ, ὅστις λέγει μόνον, ὅτι «ἐξήγαγεν αὐτοὺς ἔξω ἕως εἰς Βηθανίαν, καὶ ἐπάρας τὰς χεῖρας αὐτοῦ εὐλόγησεν αὐτοὺς, καὶ ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτοὺς διέστη ἀπ' αὐτῶν καὶ ἀνεφέρετο εἰς τὸν οὐρανὸν» (κδ'. 50.). Ἀλλ' ἐπελάθετο ὁ Δόκτωρ, ὅτι ὁ αὐτὸς Λουκᾶς ἐν ταῖς Πράξεσι λέγει· «τότε ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ἀπὸ ὄρους τοῦ καλουμένου Ἐλαιῶνος, ὅ ἐστιν ἐγγὺς Ἱερουσαλὴμ, Σαββάτου ἔχον ὁδόν» (ά. 12.). Η ὁδὸς τοῦ Σαββάτου ἦν ἕως ἓξ σταδίων, καὶ τοσοῦτον ἀπέχει τῆς Ἱερουσαλὴμ καὶ τὸ ὄρος τῶν Ἐλαιῶν, ἐν ᾧ ἡ Βηθανία κεῖται μακρὰν 15 στάδια (Ἰωάν. ιά. 18). Εἶτα δὲ καὶ ἡ ἀδιάλειπτος καὶ συνεχὴς πάντων τῶν αἰώνων παράδοσις, περιφανῶν ἱστορικῶν μαρτυρίαις κατεστεμμένη, τοσοῦτόν ἐστιν ἰσχυρὰ καὶ ἀδιάσειστος,

θεν γὰρ εἰς ᾅδην καταβὰς, καὶ πάλιν ἀνελθὼν πρὸς ἡμᾶς, ἀφ' ἡμῶν πάλιν ἐκεῖθεν ἀνέβη εἰς τὸν οὐρανὸν[1]), τοῦ Πατρὸς αὐτῷ προσφωνοῦντος καὶ λέγοντος· «Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου».

Περὶ μελλούσης κρίσεως.

§. ΙΕ'. Οὗτος δ[2]) Ἰησοῦς Χριστὸς ὁ ἀναβὰς, ἔρχεται πάλιν ἐξ οὐρανῶν, οὐκ ἀπὸ γῆς. Καὶ εἶπον, οὐκ ἀπὸ γῆς, ἐπειδὴ πολλοὶ μέλλουσιν ἀντίχριστοι νῦν ἀπὸ γῆς ἔρχεσθαι· ἤδη γὰρ, καθὼς ἐθεώρησας, ἤρξαντο πολλοὶ λέγειν[3]), ἐγώ εἰμι ὁ Χριστός· καὶ μέλλει λοιπὸν ἔρχεσθαι τὸ βδέλυγμα τῆς ἐρημώσεως, ψευδῆ Χριστοῦ προσηγορίαν ἑαυτῷ προστιθείς[4]). Σὺ δέ μοι τὸν ἀληθῆ Χρι-

---

ὥστε πάμπαν γελοῖος φαίνεται ὁ Ἀμερικανὸς Δόκτωρ νομίζων, ὅτι δύναται καταῤῥίψαι δι' ἑνὸς δοκτωρικοῦ φυσήματος τὸν μέγαν τοῦτον καὶ ὑψηλὸν καὶ ἀπερίτρεπτον τῆς παραδόσεως πύργον. Αἱ ῥηταὶ παραδόσεις καὶ μαρτυρίαι ἄρχονται ἀπὸ τοῦ Δ'. αἰῶνος, καὶ κατέρχονται συνεχεῖ καὶ μὴ διακοπτομένῃ σειρᾷ μέχρι τῶν ἡμετέρων χρόνων. Πρῶτος ὁ Εὐσέβιος ἱστορεῖ, ὅτι ἡ ἁγία Ἑλένη εἰς μνήμην τῆς εἰς οὐρανοὺς πορείας τοῦ θεανθρώπου Σωτῆρος ἐπὶ τῆς ἀνωτάτω κορυφῆς τοῦ ὄρους τῶν Ἐλαιῶν ναὸν ἀνήγειρεν ἱερὸν, ἐπηρμέναις οἰκοδομαῖς αὐτὸν ἀνυψώσασα. Εὐσέβ. ἐν βίῳ Κωνστ. γ'. 43. Περὶ τοῦ ὄρους τοῦ Ἐλαιῶνος ὅρα καὶ τὴν σημ. εἰς Κατήχ. ΙΔ'. §. 23.

[1]) Οὕτως ἐγράψαμεν τὴν φράσιν ταύτην ἐκ τοῦ Κώδ. Α. Οἱ ἐκδόται Μ. καὶ Τ. κατὰ τοὺς Κώδ. Roe καὶ Casaub. ἔχουσιν οὕτω· «ἀφ' ἡμῶν ἀνῆλθε πάλιν εἰς τὸν οὐρανόν».

[2]) Τὸ ἄρθρον «ὁ» ἔθηκεν ὁ Τ. πρὸ τοῦ «Χριστὸς», ἑνὶ μόνῳ ἀκολουθῶν Κώδηκι· ἀλλ' οἱ δύο Κώδ. Roe καὶ Casaub. ἔχουσιν αὐτὸ καταλληλότερον κείμενον πρὸ τοῦ «Ἰησοῦς»· ἐξ ἄλλων δὲ Κωδήκων, ὡς καὶ ἐκ τοῦ Α., ἐλλείπει παντάπασι.

[3]) Ἐννοεῖ ἐνταῦθα ὁ Πατὴρ Σίμωνα τὸν μάγον καὶ Μένανδρον, καὶ ἄλλους αἱρεσιάρχας, ὡς ὁ αὐτὸς ἐξηγεῖται ἐν Κατηχ. ΙΕ'. §. 5., καὶ ὅρα τὴν ἐκεῖ σημείωσιν.—Καὶ ὁ Μ. καὶ ὁ Τ. τιθέασι μετὰ τὸ «λέγειν» «ὅτι»· ἀλλὰ τὸ «ὅτι» τοῦτο ἐλλείπει ἐκ τοῦ Κώδ. Α., ἐλλείπει δὲ καὶ ἐκ τῶν Κωδ. Roe καὶ Casaub., διὰ τοῦτο παρελίπομεν αὐτὸ καὶ ἡμεῖς.

[4]) Οὐ καλῶς εὕρηται συντεταγμένη ἡ μετοχὴ «προστιθεὶς» πρὸς τὸ «βδέλυγμα», ἀλλὰ «βδέλυγμα

στὸν[1]), τὸν Υἱὸν τοῦ Θεοῦ τὸν Μονογενῆ, μηκέτι λοιπὸν ἀπὸ γῆς ἐρχόμενον, ἀλλ' ἐξ οὐρανῶν προσδόκα, ὑπὲρ ἅπασαν ἀστραπὴν καὶ λαμπηδόνα φωτὸς τοῖς πᾶσι φαινόμενον, ὑπ' Ἀγγέλων δορυφορούμενον, ἵνα κρίνῃ ζῶντας καὶ νεκρούς, καὶ βασιλεύῃ βασιλείαν οὐράνιον, αἰώνιον καὶ ἀτελεύτητον· ἀσφαλίζου γάρ μοι καὶ ἐν τούτῳ, ἐπειδὴ πολλοί εἰσιν οἱ λέγοντες τέλος εἶναι τῆς τοῦ Χριστοῦ βασιλείας[2]).

Περὶ ἁγίου Πνεύματος.

§. ΙΣΤ'. Πίστευε καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ τὴν αὐτὴν ἔχε περὶ αὐτοῦ δόξαν[3]), ἣν παρέλαβες ἔχειν περὶ Πατρὸς καὶ Υἱοῦ, καὶ μὴ κατὰ τοὺς τὰ δύσφημα περὶ αὐτοῦ διδάσκοντας[4]). Σὺ δὲ μάν-

---

τῆς ἐρημώσεως» ἐννοεῖ ὁ Πατὴρ τὸν Ἀντίχριστον, ὡς ἐδήλωσε τοῦτο καὶ ἐν Κατηχ. ΙΕ'. §. 10., καὶ τότε εὐοδοῦται ἡ σύνταξις, πρὸς τὸ νοούμενον ἀποδιδομένης τῆς μετοχῆς. Ὁ Τουτέος νομίζει ἐννοητέον τὸ ἄρθρον «ὁ» πρὸ τοῦ «ψευδῆ». Ὅτι δὲ καὶ ἄλλοι πολλοὶ «βδέλυγμα τῆς ἐρημώσεως» ὑπέλαβον τὸν Ἀντίχριστον, γίνεται φανερὸν ἐκ τοῦ Θεολόγου Γρηγορίου (Τόμ. Α'. σελ. 872)· «βδέλυγμα τῆς ἐρημώσεως ἑστὼς ἐν τόπῳ ἁγίῳ. Φασὶν, ὅτι ὁ ναὸς ὁ ἐν Ἱεροσολύμοις οἰκοδομηθήσεται ὕστερον, ὡς τοῦ Ἀντιχρίστου πιστευθησομένου ὑπὸ Ἰουδαίων Χριστοῦ εἶναι, καὶ καθεσθησομένου». Τὴν γνώμην ταύτην ἔχει καὶ Εἰρηναῖος (έ. 25. 2), καὶ Ἱππόλυτος (περὶ τοῦ Ἀντιχρίστου).

[1]) Ἐν τῷ Κώδ. Α. κεῖται «τὸν ἀληθινὸν Υἱὸν τοῦ Θεοῦ, τὸν Μονογενῆ».

[2]) Τὴν κακοδοξίαν λέγει τοῦ Μαρκέλλου Ἀγκύρας καὶ τοῦ μαθητοῦ αὐτοῦ Φωτεινοῦ, ἀναφυεῖσαν κατ' ἐκείνους τοὺς χρόνους ἐν Γαλατίᾳ. Τὴν αἵρεσιν ταύτην διὰ μακροτέρων ἐκτίθησι, καὶ ἐν πλείονι ἐκτάσει ἀνασκευάζει ὁ Κύριλλος ἐν Κατηχ. ΙΕ'. §. 27., καὶ ὅρα ἐκεῖ.

[3]) Ἐτηρήσαμεν ἐνταῦθα τὴν γραφὴν, ἣν ὁ Μ. καὶ ὁ Τ. παρεδέξαντο ἐξ αὐθεντίας ἀρχαίων Κωδήκων· ὁ ἡμέτερος Κώδηξ Α. οὕτω διαφόρως ἔχει κειμένην ὅλην ταύτην τὴν περίοδον «Καὶ τὴν ὀρθὴν ἔχε περὶ αὐτοῦ γνῶσιν· ἐπειδὴ πολλοί εἰσιν οἱ ἀλλότριοι τοῦ ἁγίου Πνεύματος, οἱ τὰ δύσφημα περὶ αὐτοῦ διδάσκοντες». Πρὸς τὸν ἡμέτερον Κώδηκα συμφωνοῦσιν οἱ Κώδ. Roe καὶ Casaub.

[4]) Οἱ τὰ δύσφημα περὶ αὐτοῦ διδάσκοντές εἰσι πολλοὶ μὲν καὶ ἄλλοι, οὓς ἀριθμεῖ ὁ Πατὴρ ἐν τῇ ΙΣΤ'. Κα-

θανε, ὅτι ἕν ἐστι τοῦτο τὸ ἅγιον Πνεῦμα, ἀδιαίρετον, πολυδύναμον· πολλὰ μὲν ἐνεργοῦν, αὐτὸ δὲ μὴ μεριζόμενον [1]· τὸ γινῶσκον τὰ μυστήρια, τὸ ἐρευνῶν πάντα, καὶ τὰ βάθη τοῦ Θεοῦ· τὸ ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστὸν ἐν εἴδει περιστερᾶς κατελθόν· τὸ ἐν νόμῳ καὶ Προφήταις ἐνεργῆσαν· τὸ καὶ νῦν κατὰ τὸν καιρὸν τοῦ Βαπτίσματος

τηχήσει, μάλιστα δὲ Ἄρειος, Εὐνόμιος καὶ Μακεδόνιος, οἵτινες, ἐκ τῆς τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ οὐσίας τὸ ἅγιον Πνεῦμα ἀπαλλοτριοῦντες, τάττουσιν αὐτὸ ἐν τοῖς κτίσμασι, τοῖς ὑπὸ τοῦ Υἱοῦ κτισθεῖσιν· ὅθεν καὶ κτίσμα κτίσματος αὐτὸ ἀπεκάλουν, καθὰ περὶ τῶν Ἀρειανῶν σημειοῖ ὁ ἱερὸς Ἐπιφάνιος (Τόμ. Α΄. σελ. 741.)· «Οὗτοι δὲ βούλονται αὐτὸ εἶναι κτίσμα κτίσματος· φασὶ γὰρ ὅτι πάντα δι' αὐτοῦ γέγονε, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν· ἄρα, φασί, καὶ τὸ πνεῦμα ἐκ τῶν ποιημάτων ὑπάρχει». Βλ. καὶ Τόμ. Α΄. σελ. 778, καὶ Ἀθαν. Τόμ. Α΄. σελ. 444 καὶ 447. Περὶ δὲ τοῦ Εὐνομίου λέγει ὁ Μ. Βασίλειος (Τόμ. Α΄. σελ. 382.)· «Καταφρονήσας τῆς ἐν τοῖς Εὐαγγελίοις ἀπειλῆς, ἣν ὁ Κύριος τοῖς εἰς τὸ Πνεῦμα τὸ ἅγιον βλασφημήσασι φοβερωτάτην ἐπανετείνατο, δημιούργημα λέγει τὸ Πνεῦμα τὸ ἅγιον». Φησὶ δὲ περὶ αὐτοῦ καὶ ὁ Θεοδώρητος (Αἱρετ. Κακομ. δ΄. 3.)· «Καὶ τὸν μὲν Υἱὸν πρῶτον κτίσμα τοῦ Πατρὸς καὶ ἐξαίρετον ἔφησεν εἶναι· τὸ δὲ πανάγιον Πνεῦμα πρὸ τῶν ἄλλων παρὰ τοῦ Υἱοῦ δημιουργηθῆναι ποιημάτων». Περὶ δὲ τοῦ πνευματομάχου Μακεδονίου λέγει ὁ αὐτὸς Θεοδώρητος (Αἱρετ. Κακομ. δ΄. 5.)· «Τὸ δὲ Πνεῦμα τὸ ἅγιον Ἀρείῳ καὶ Εὐνομίῳ παραπλησίως βλασφημῶν διετέλεσεν· ὅθεν οἱ ἐκ τῆς τούτου συμμορίας καλούμενοι Πνευματομάχοι ἐπωνομάσθησαν». Ἀλλὰ τὰ περὶ τοῦ ἁγίου Πνεύματος σαφῶς καὶ ὑψηγόρως καὶ ἐκφαντορικῶς εἰς πλάτος ἐξέθηκεν ὁ ἱερὸς Κύριλλος ἐν ταῖς δυσὶ Κατηχήσεσι, τῇ τε ΙΣΤ΄. καὶ τῇ ΙΖ΄., ὅπου καὶ παραπέμπομεν.

[1]) Ἀντὶ «μεριζόμενον» οἱ Κώδ. Roe, Casaub., Coisl. καὶ Ottob. ἔχουσιν «ἐνεργούμενον»· ἀλλ' ἡ ἐν τῷ κειμένῳ τεθεῖσα γραφὴ φαίνεται ἡ γνησία· διότι συνᾴδει πρὸς τὰς ἄλλας δηλώσεις καὶ φράσεις τοῦ ἱεροῦ Κυρίλλου περὶ τοῦ μονοειδοῦς καὶ ἀδιαιρέτου τοῦ ἁγίου Πνεύματος. Ὅρ. Κατήχ. ΙΣΤ΄. §. 12. Κατήχ. ΙΖ΄. §. 2. Πῶς δὲ νοητέον τὸ μερίζεσθαι καὶ μὴ μερίζεσθαι ἐπὶ τοῦ ἁγίου Πνεύματος, διδάσκει ὁ Θεσσαλονίκης Γρηγόριος (Λόγ. εἰς τὴν Πεντηκοστήν)· «Καὶ μεριζόμενον γὰρ κατὰ τὰς διαφόρους αὐτοῦ δυνάμεις τε καὶ ἐνεργείας, δι' ἑκάστης τῶν ἐνεργειῶν ὅλον πάρεστι καὶ ἐνεργεῖ τὸ Πνεῦμα τὸ ἅγιον, ἀμερίστως μεριζόμενον, καὶ ὁλοσχερῶς μετεχόμενον».

σφραγίζον σου τὴν ψυχήν· οὗ καὶ πᾶσα νοητὴ φύσις χρείαν ἔχει τῆς ἁγιότητος· εἰς ὃ βλασφημῆσαί τις ἐὰν τολμήσῃ, οὐκ ἔχει ἄφεσιν, οὔτε ἐν τῷ αἰῶνι τούτῳ, οὔτε ἐν τῷ μέλλοντι[1])· ὅπερ σὺν Πατρὶ καὶ Υἱῷ τῇ τῆς Θεότητος δόξῃ τετίμηται[2])· οὗ καὶ χρείαν ἔχουσι θρόνοι καὶ κυριότητες, ἀρχαὶ καὶ ἐξουσίαι· εἷς γάρ ἐστι Θεός, ὁ τοῦ Χριστοῦ Πατήρ· καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, ὁ τοῦ μόνου Θεοῦ μονογενὴς Υἱός· καὶ ἓν τὸ Πνεῦμα τὸ ἅγιον, τὸ πάντων ἁγιαστικὸν καὶ θεοποιὸν[3]), τὸ ἐν νόμῳ καὶ Προφήταις, Παλαιᾷ τε καὶ Καινῇ Διαθήκῃ λαλῆσαν.

§. ΙΖ'. Ταύτην ἔχε τὴν σφραγῖδα[4]) ἐν τῇ διανοίᾳ σου πάντοτε, ἥτις νῦν μὲν κατὰ ἀνακεφαλαίωσιν ἀκροθιγῶς σοι εἴρηται· εἰ δὲ

---

[1]) Περὶ τῆς κατὰ τοῦ ἁγίου Πνεύματος βλασφημίας, καὶ διὰ τί αὐτὴ οὔτε ἐν τῷ νῦν αἰῶνι ἀφίεται, οὔτε ἐν τῷ μέλλοντι, ἀνάγνωθι τὴν ρκζ'. θαυμασίαν Ἐπιστολὴν τοῦ ἱεροῦ Φωτίου. Ὅρα καὶ τὴν σημ. εἰς Κατήχ. ΙΣΤ'. §. 1.

[2]) Ἡ φράσις αὕτη ἐν τῷ Κώδ. Α. κεῖται οὕτω· «ὅπερ σὺν Πατρὶ καὶ Υἱῷ τῇ τιμῇ τῆς ἀξίας τετίμηται». Οἱ δὲ Κώδ. Roe, Casaub., Coisl. καὶ Ottob. ἔχουσι τὴν φράσιν μικρὸν παραλλάσσουσαν οὕτως· «ὅπερ μετὰ Πατρὸς καὶ Υἱοῦ τῇ τῆς ἀξίας τιμῇ τετίμηται». Ὀρθῶς δὲ παρατηρεῖ ὁ Τ. ὅτι ἡ αὐτὴ δύναμις ἔγκειται καὶ ἐν τῇ φράσει τῶν Κωδήκων τούτων, καὶ ἐν ἐκείνῃ τοῦ κειμένου· εἰ γὰρ μὴ τῆς αὐτῆς Θεότητος κοινωνεῖ τὸ Πνεῦμα, οὐδέποτε τῇ αὐτῇ τῆς ἀξίας τιμῇ τιμηθῆναι δύναται.

[3]) Ἡ λέξις «θεοποιὸν» ἐλλείπει ἐκ τοῦ Κώδ. Α., ὁμοίως καὶ ἐκ τῶν Κωδ. Roe καὶ Casaub.

[4]) «Σφραγῖδα» ἐνταῦθα λέγει ὁ Πατὴρ τὴν ἀπόδειξιν καὶ βεβαιότητα τῶν ἐκτεθειμένων. Καὶ ἀλλαχοῦ δὲ ὁ Κύριλλος ἐν ταύτῃ τῇ σημασίᾳ τοῦ βεβαιοῦν καὶ κυροῦν καὶ συγκατατίθεσθαι κέχρηται τῇ λέξει «σφραγίζειν» καὶ «ἐπισφραγίζειν»· οἷον Κατήχ. Α'. §. 5. «ἵνα διὰ τῆς πίστεως ἐπισφραγίσῃς τὰ λεγόμενα»· καὶ Κατήχ. ΚΓ'. §. 18. «ἐπισφραγίζων διὰ τοῦ ἀμὴν, ὃ σημαίνει γένοιτο». Ὅμοιον καὶ τὸ ἐν Εὐαγγελίοις (Ἰωάν. Γ'. 33)· «ἐσφράγισεν ὅτι ὁ Θεὸς ἀληθής ἐστιν»· τουτέστιν «ἀπέδειξεν, ἐβεβαίωσε» κατὰ τὸν Θεοφύλακτον. Ὅμοια λέγει καὶ ὁ θεῖος Δαμασκηνός· «οὐ δυνατὸν οὖν παρὰ τὰ θειωδῶς ὑπὸ τῶν θείων λογίων, τῆς τε Παλαιᾶς καὶ Καινῆς Διαθήκης, ἡμῖν ἐκπεφασμένα, ἤτοι εἰρημένα καὶ πεφανερωμένα, εἰπεῖν τι περὶ Θεοῦ, ἢ ὅλως ἐννοῆσαι» (Τόμ. Α'. σελ. 125.).

παράσχοι ὁ Κύριος, μετὰ τῆς ἐκ τῶν Γραφῶν ἀποδείξεως κατὰ δύναμιν ῥηθήσεται· δεῖ γὰρ περὶ τῶν θείων καὶ ἁγίων τῆς πίστεως Μυστηρίων μηδὲ τὸ τυχὸν ἄνευ τῶν θείων παραδίδοσθαι Γραφῶν[1])· καὶ μὴ ἁπλῶς πιθανότησι καὶ λόγων κατασκευαῖς παραφέρεσθαι, μηδὲ ἐμοὶ τῷ ταῦτά σοι λέγοντι ἁπλῶς πιστεύσῃς, ἐὰν τὴν ἀπόδειξιν τῶν καταγγελλομένων ἀπὸ τῶν θείων μὴ λάβῃς Γραφῶν· ἡ σωτηρία γὰρ αὕτη τῆς πίστεως ἡμῶν οὐκ ἐξ εὑρεσιλογίας, ἀλλ᾽ ἐξ ἀποδείξεως τῶν θείων ἐστὶ Γραφῶν.

Περὶ Ψυχῆς.

§. ΙΗ΄. Μετὰ δὲ τὴν γνῶσιν τῆς σεπτῆς ταύτης καὶ παναγίας πίστεως[2]), καὶ σεαυτὸν γνῶθι λοιπὸν, ὅστις εἶ· ὅτι διπλοῦς ἄνθρωπος καθέστηκας, ἐκ ψυχῆς τε καὶ σώματος συγκείμενος· καὶ ὅτι, καθὼς πρὸ βραχέος εἴρηται, ὁ αὐτὸς Θεὸς καὶ τῆς ψυχῆς καὶ τοῦ σώματός ἐστι δημιουργός. Καὶ γίνωσκε ὅτι ψυχὴν ἔχεις[3]) αὐτεξούσιον, ἔργον Θεοῦ κάλλιστον, κατ᾽ εἰκόνα τοῦ πεποιηκότος[4]), ἀθάνατον διὰ

---

[1]) Τῶν αἱρετικῶν μόνον ἔθος ἦν διδάσκειν ἐκ τῆς ἔξω σοφίας, καὶ μὴ ἐκ τῶν θείων Γραφῶν, ὡς λέγει ὁ Μ. Βασίλειος· «Τοῦτο γὰρ αὐτοῖς ἀεί ἐστιν ἐπιμελὲς, μὴ ἐκ τῶν θείων Γραφῶν διδάσκειν τὰς ἀκεραιοτέρας ψυχὰς, ἀλλ᾽ ἐκ τῆς ἔξωθεν σοφίας παρακρούεσθαι τὴν ἀλήθειαν» (Ἐπιστ. 8). Βλ. καὶ Μ. Ἀθανάσιον (Τόμ. Β΄. σελ. 248. παρὰ Πεταβ. Τόμ. Α΄. σελ. 3.). Παραπλήσια τῷ ἱερῷ Κυρίλλῳ φθέγγεται καὶ ὁ Μ. Διονύσιος (περὶ θείων ὀνομάτων κεφ. 1. παρὰ Πεταβ. Τόμ. Α. σελ. 3.), καὶ ὁ θεῖος Δαμασκηνὸς (ἔνθ. ἀνωτ.) καὶ ὁ Ἀντίπατρος Βόστρων (Πεταβ. Τόμ. Α΄. σελ. 3).

[2]) Παρεθήκαμεν ἐνταῦθα ἐκ τοῦ Κώδ. Α. τὴν μίαν καὶ προσφυεστάτην λέξιν «σεπτῆς» ἀντὶ τῶν ἐν ταῖς ἐκδόσεσι φερομένων δύο λέξεων «σεμνῆς καὶ ἐνδόξου». Ἀντὶ «σεπτῆς», οἱ Κώδ. R., C. ἔχουσι «προσκυνητῆς».

[3]) Ἐν τῷ Κώδ. Α. ἡ φράσις κεῖται ἀπαρεμφατική· «γίνωσκε ψυχὴν ἔχειν»· οὕτω καὶ ἐν τοῖς Κώδ. Roe καὶ Casaub.

[4]) Ἔργον Θεοῦ κάλλιστον λέγει τὴν ψυχὴν ὁ θεῖος Πατὴρ ἐν μιᾷ πληγῇ διπλῆν αἵρεσιν καὶ βλασφημίαν πατάσσων· ἐκείνην δηλαδὴ τῶν λεγόντων, ὅτι ἐκ τῆς οὐσίας καὶ φύσεως τοῦ Θεοῦ ἡ ψυχὴ τυγχάνει· καὶ ἐκείνην τῶν Οὐαλεντινιανῶν, τῶν ἀφρόνως δογματιζόντων, ὅτι αἱ μὲν ἐκ τῶν ψυ-

τὸν ἀπαθανατίζοντα Θεόν[1])· ζῶον λογικὸν ἄφθαρτον, διὰ τὸν ταῦτα χαρισάμενον· ἐξουσίαν ἔχον ποιεῖν ἃ βούλεται[2])· οὐ γὰρ κατὰ γένεσιν

χῶν εἰσι φύσει καλαί, αἱ δὲ φύσει κακαὶ (Εἰρην. ά. 7.)· ὅθεν εἶπε καὶ ὁ Μ. Μακάριος (Ὁμιλ. Α΄.)· «οὔτε φύσεως τῆς Θεότητός ἐστιν ἡ ψυχή, οὔτε φύσεως τοῦ σκότους τῆς πονηρίας, ἀλλ' ἔστι κτίσμα τι νοερὸν καὶ ὡραῖον καὶ μέγα καὶ θαυμαστὸν καὶ καλὸν ὁμοίωμα καὶ εἰκὼν τοῦ Θεοῦ»· καὶ Ὁμιλ. ΜΣΤ΄. «Μέγα καὶ θεῖον ἔργον καὶ θαυμαστὸν ὄντως ἐστὶν ἡ ψυχή». Τοιοῦτοι δὲ αἱρετικοί, τὴν ψυχὴν μέρος τοῦ Θεοῦ καὶ ὁμοούσιον τῷ Θεῷ ὑπολαμβάνοντες, ἦσαν· ά.) οἱ Μανιχαῖοι, οἵτινες ἔλεγον «τὴν ψυχὴν εἶναι μέρος Θεοῦ, καὶ ἀπ' αὐτοῦ ἀποσπασθεῖσαν»· Ἐπιφάνιος (Τόμ. Β΄. σελ. 44. ἐκδ. Migne)· β΄.) ὁ Κέρδων καὶ ὁ Μαρκίων· «Ἐκεῖνο δὲ τὸ ἐμφύσημα (Γέν. Β΄. 7.) οὐ μέρος τι τῆς θείας οὐσίας φαμὲν, κατὰ τὴν Κέρδωνος καὶ Μαρκίωνος λύτταν, ἀλλὰ τῆς ψυχῆς τὴν φύσιν διὰ τούτου σημαίνεσθαι λέγομεν»· Θεοδώρητος (αἱρετ. Κακομ. έ. 9.). Περὶ τοῦ Μαρκίωνος λέγει καὶ ἀλλαχοῦ ὁ Θεοδώρητος· «Οὐ γάρ, κατὰ τὸν δυσσεβῆ τοῦ Μαρκίωνος λόγον, ὁμοούσιός ἐςιν ἡ ψυχὴ τοῦ πεποιηκότος Θεοῦ» (αἱρετ. Κακομ. έ. 6.)· γ΄.) Οἱ Πρισκιλλιανισταί, οἵτινες «animam dicunt ejusdem naturae atque substantiae, cujus est Deus». Augustinus (de haeres. cap. 70.)· δ΄.) Ἀγάπιός τις, ὅστις διετείνετο «θείας μοίρας τὴν ψυχὴν εἶναι καὶ ὁμοούσιον τῷ Θεῷ»· Φώτιος (Βιβλιοθ. Κώδ. 179).

[1]) Κοινὴ πολλῶν Πατέρων ἐστὶν αὕτη γνώμη καὶ ἔκφρασις, ὅτι ἡ ψυχὴ οὐ φύσει, ἀλλὰ χάριτί ἐστιν ἀθάνατος· μόνος γὰρ ἔχων ἀθανασίαν λέγεται ὁ Θεός, διότι οὐκ ἐκ θελήματος ἄλλου, ἀλλ' ἐκ τῆς οἰκείας οὐσίας ἔχει τὴν ἀθανασίαν, καὶ αὐτός ἐστι πηγὴ τῆς ἀθανασίας· πάντα δὲ τὰ ἄλλα, τὰ τὴν ἀθανασίαν ἐκ τοῦ Θεοῦ λαβόντα, ἐκεῖνα χάριτι Θεοῦ λέγονται ἀθάνατα. Βλ. Σωφρόνιον Ἱεροσολύμων (παρὰ Πεταυΐῳ Τόμ. Γ΄. σελ. 16.). Τὰ αὐτὰ περὶ τῶν Ἀγγέλων λέγουσι καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης (αὐτόθ.), καὶ Δαμασκηνὸς (αὐτόθ.), καὶ Κύριλλος ὁ Ἀλεξανδρείας (αὐτόθ.). Ταύτην τὴν περὶ ἀθανασίας ἔννοιαν δηλῶν φαίνεται καὶ ὁ ἡμέτερος Κύριλλος ἐν οἷς λέγει, ὅτι ἡ ψυχή ἐστιν ἀθάνατος διὰ τὸν ἀπαθανατίζοντα Θεόν.

[2]) Καὶ ἐν τῷ ἑπομένῳ παραγράφῳ, καὶ ἀλλαχοῦ πολλαχοῦ, ὁ ἱερὸς Κύριλλος τὸ αὐτεξούσιον τῆς ψυχῆς ἐπαίρει καὶ πρὸ ὀφθαλμῶν τίθησι καὶ ταῖς τῶν Κατηχουμένων ψυχαῖς καλῶς ἐνσημαίνει, ἵνα μὴ βλάβη τις ἐγγένηται ἐκ τῶν πονηρῶν δογμάτων τῶν Γνωστικῶν, τῶν κατ' ἐκείνους τοὺς χρόνους ἐπιπολαζόντων, καὶ τὸ αὐτεξούσιον τῆς ψυχῆς ἀναιρούντων. Ἀλλὰ καὶ ἄλλοι πολλοὶ τῆς Ἐκκλη-

ἁμαρτάνεις, οὔτε κατὰ τύχην πορνεύεις, οὔτε, καθὼς ληροῦσί τινες, αἱ τῶν ἄστρων πλοκαὶ ταῖς ἀσελγείαις σὲ προσέχειν ἀναγκάζουσι. Τί, φεύγων ὁμολογῆσαι τὰ σεαυτοῦ κακὰ, τοῖς ἀναιτίοις ἄστροις προσγράφεις τὴν αἰτίαν; Μή μοι πρόσεχε λοιπὸν ἀστρολόγοις[1])· περὶ

σίας διδάσκαλοι οὐκ ἐν παρέργῳ τίθενται τὸν περὶ τοῦ αὐτεξουσίου λόγον, ἀλλὰ πολλάκις τε καὶ πλειστάκις ἐν αἷς ποιοῦνται διδασκαλίαις ἀναπτύσσουσι καὶ τὸ δόγμα τοῦτο. Βλ. Μ. Βασίλειον (Τόμ. Α΄. σελ. 281. καὶ Τόμ. Β΄. σελ. 103—109.), Χρυσόστομον (Ὁμιλ. ΜΖ΄. εἰς Ἰωάν. καὶ Ὁμιλ. ΙΔ΄. εἰς τὴν α΄. πρὸς Κορινθ.), Θεοδώρητον (εἰς Ψαλ. 67.), Μακάριον (Ὁμιλ. ΙΕ΄.). Ἵνα δὲ μὴ πλανηθείς τις νομίσῃ, ὅτι, ἐπειδὴ ἐσμὲν αὐτεξούσιοι, καὶ αὐτεξουσίως κλίνομεν πρός τε τὸ καλὸν καὶ τὸ κακὸν, οὐκ ἔχομεν ἀνάγκην τῆς καθοδηγούσης καὶ στηριζούσης ἡμᾶς θείας χάριτος, ὡς ὁ κακόφρων ἐβλασφήμει Πελάγιος, οἱ αὐτοὶ διδάσκαλοι ἐν ἄλλοις καὶ ἀπὸ τούτου τοῦ κινδύνου ἡμᾶς προφυλάττουσι, τὴν ἀνάγκην τῆς ἄνωθεν ἀρωγῆς τε καὶ χάριτος ἐκδιδάσκοντες, καὶ πολλαχοῦ διαπρυσίως ἀνακηρύττοντες. Βλ. Μ. Βασίλ. (Τόμ. Α΄. σελ. 206.), Χρυσόστ. (Τόμ. Δ΄. σελ. 282 καὶ Τόμ. Ζ΄. σελ. 888.). Ὁ Χρυσόστομος ἐνταῦθα μέγα δόγμα ὀνομάζει τὸ περὶ τῆς ἀνάγκης τῆς θείας χάριτος δόγμα· «Ἐντεῦθεν μανθάνομεν δόγμα μέγα, ὡς οὐκ ἀρκεῖ προθυμία ἀνθρώπου, ἂν μὴ τῆς ἄνωθέν τις ἀπολαύσῃ ῥοπῆς, καὶ ὅτι πάλιν οὐδὲν κερδανοῦμεν ἀπὸ τῆς ἄνωθεν ῥοπῆς, προθυμίας οὐκ οὔσης». Ὅρα καὶ Μακάριον (Ὁμιλ. ΙΗ΄. καὶ Ὁμιλ. Δ΄.).

[1]) Τὰς ἐρεσχελίας τῶν ἀστρολόγων, τῶν τοῖς ἄστροις ἀποδιδόντων τὰς αἰτίας τῶν ἀνθρωπίνων πράξεων, εἰς πλάτος ἐκτίθησι καὶ ἐξελέγχει ὁ Μ. Βασίλειος (Τόμ. Α΄. σελ. 75—79). Φησὶ δὲ καὶ ὁ θεῖος Δαμασκηνός· «Εἰ γὰρ ἐκ τῆς τῶν ἄστρων φορᾶς πάντα πράττομεν, κατὰ ἀνάγκην πράττομεν, ἃ πράττομεν· τὸ δὲ κατὰ ἀνάγκην γινόμενον οὔτε ἀρετὴ οὔτε κακία ἐστίν· εἰ δὲ μήτε ἀρετὴν μήτε κακίαν κεκτήμεθα, οὔτ᾽ ἐπαίνων καὶ στεφάνων, οὔτε ψόγων ἢ κολάσεων ὑπάρχομεν ἄξιοι· εὑρεθήσεται δὲ καὶ ὁ Θεὸς ἄδικος, τοῖς μὲν ἀγαθὰ, τοῖς δὲ θλίψεις διδούς. Ἀλλ᾽ οὐδὲ κυβέρνησιν, οὐδὲ τῶν ἑαυτοῦ κτισμάτων ὁ Θεὸς ποιήσεται πρόνοιαν, εἰ κατ᾽ ἀνάγκην ἄγονται τὰ πάντα καὶ φέρονται· καὶ τὸ λογικὸν δὲ περιττὸν ἐν ἡμῖν ἔσται· μηδεμιᾶς γὰρ ὄντες πράξεως κύριοι, περιττῶς βουλευόμεθα» (Ἐκδ. ὀρθοδ. πίστ. β΄. 7.). Σημείωσαι ὅτι πρῶτοι μὲν ἐφευρεταὶ τῆς ἀστρολογίας λέγονται οἱ Βαβυλώνιοι (Μ. Βασίλ. εἰς Ἡσ. κεφ. 13.)· ἀλλὰ πλὴν τῶν Βαβυλωνίων καὶ ἄλλα πολλὰ ἔθνη τῆς ἀρχαιότητος τῇ ἀστρολατρείᾳ προσανακείμενα, οἷον Αἰγύπτιοι,

γὰρ τούτων λέγει ἡ θεία Γραφή· «Στήτωσαν καὶ σωσάτωσάν σε οἱ ἀστρολόγοι τοῦ οὐρανοῦ»· καὶ ἑξῆς· «Ἰδοὺ πάντες ὡς φρύγανα[1]) ἐπὶ πυρὶ κατακαυθήσονται, καὶ οὐ μὴ ἐξέλωνται τὴν ψυχὴν αὐτῶν ἐκ φλογός».

§. ΙΘʹ. Μάνθανε δὲ καὶ τοῦτο, ὅτι πρὶν παραγένηται εἰς τόνδε τὸν κόσμον ἡ ψυχή, οὐδὲν ἥμαρτεν[2])· ἀλλ' ἐλθόντες ἀναμάρτητοι,

---

Φοίνικες, Ἄραβες κ. λ., ἐσπούδαζον περὶ τὴν ματαιολογίαν ταύτην. Ἡ ἀστρολογία πρώτως καὶ κυρίως ἐπήγασεν ἐκ τῆς πεποιθήσεως ταύτης, ὅτι τὰ ἄστρα εἰσὶ θεῖα καὶ ἔμψυχα ὄντα, ἰσχυρῶς ἐπενεργοῦντα οὐ μόνον ἐπὶ τοῦ ὄγκου τῆς γῆς ἐν γένει, ἀλλὰ καὶ ἐπὶ τῆς τύχης καὶ τῶν περιπετειῶν τῶν λαῶν, τῶν κοινωνιῶν καὶ τῶν ἀτόμων· «Πλεῖστα πρὸς τὰς γενέσεις τῶν ἀνθρώπων συμβάλλεσθαι τούτους τοὺς ἀστέρας ἀγαθά τε καὶ κακά· διὰ δὲ τῆς τούτων φύσεώς τε καὶ θεωρίας μάλιστα γινώσκειν τὰ συμβαίνοντα τοῖς ἀνθρώποις» Διόδ. Σικελ. βʹ, 31. Ἄχρι δὲ τῆς σήμερον οἱ ἀςρολόγοι ἐν ταῖς ἀσιατικαῖς χώραις μεγάλην ἔχουσιν ὑπόληψιν, καὶ οἱ ἐξοχώτεροι αὐτῶν ἐνδιατρίβουσιν ἐν αὐλαῖς ἡγεμονικαῖς (Winer Realwoert. II. 712. ἐκδ. βʹ.).

[1]) Οὕτω πληθυντικῶς κεῖται ἐν τοῖς Κώδ. Α., Roe καὶ Casaub. καὶ ἐν τῷ ἱερῷ κειμένῳ· οἱ δὲ ἐκδόται Μ. καὶ Τ. ἐξέδωκαν ἑνικῶς.

[2]) Οὐδὲν ἥμαρτε, διότι οὐδὲ προϋπῆρχε τοῦ σώματος· «τὴν ψυχήν, λέγει ὁ Θεοδώρητος, ἁπλῆν εἶναι φαμὲν καὶ λογικὴν καὶ ἀθάνατον, οὐ μὴν προϋπάρχειν τοῦ σώματος» (Αἱρετ. Κακομ. έ. 9.). Ὅτι δὲ ἡ ψυχὴ συνδημιουργεῖται τῷ σώματι, καὶ τῇ βουλήσει τοῦ ποιητοῦ καταπέμπεται καὶ ἐμβάλλεται εἰς τὸ σῶμα, ὑπάρχει κοινὴ δόξα τῆς Ἐκκλησίας· τὴν δόξαν ταύτην φαίνεται δηλῶν καὶ ὁ ἱερὸς Κύριλλος κατωτέρω §. 30 καὶ Κατήχ. ΙΗʹ. §. 9· λέγει καὶ ὁ ἱερὸς Θεοδώρητος· «Ἡ Ἐκκλησία, τοῖς θείοις πειθομένη λόγοις, λέγει τὴν ψυχὴν συνδημιουργεῖσθαι τῷ σώματι, οὐκ ἐκ τῆς ὕλης τοῦ σπέρματος ἔχουσαν τῆς δημιουργίας ἀφορμάς, ἀλλὰ τῇ βουλήσει τοῦ ποιητοῦ μετὰ τὴν τοῦ σώματος συνισταμένην διάπλασιν» (Αἱρετ. Κακομ. κεφ. έ. 9.)· καὶ πάλιν· «Ἅπαντες συμφώνως διδάσκουσιν, ἀπὸ γῆς μὲν καὶ ὕδατος καὶ τῶν ἄλλων στοιχείων διαπλασθῆναι τὸ σῶμα, τὴν δὲ ψυχὴν οὐ προϋπάρχουσαν εἰς τοῦτο καταπεμφθῆναι» (Θεραπευτ. Λόγ. Εʹ.). Φησὶ δὲ καὶ ὁ Σευῆρος (ἐν

νῦν ἐκ προαιρέσεως ἁμαρτάνομεν. Μή μοι τινος ἀκούσῃς ἐξηγουμένου κακῶς[1]) τό· «Εἰ δὲ, ὃ οὐ θέλω, τοῦτο ποιῶ», ἀλλὰ μέμνησο τοῦ λέγοντος· «Ἐὰν θέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται» καὶ τὰ ἑξῆς[2]). Καὶ πάλιν· «Ὥσπερ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν, οὕτω νῦν παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν». Καὶ μέμνησο τῆς Γραφῆς λεγούσης· «Καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει»· καὶ, «ὅτι τὸ γνωστὸν τοῦ Θεοῦ φανερόν ἐςιν ἐν αὐτοῖς»· καὶ ὅτι «τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν». Καὶ τοῦ Θεοῦ πάλιν ἐγκαλοῦντος καὶ λέγοντος· «Ἐγὼ δὲ ἐφύτευσά σε ἄμπελον καρποφόρον πᾶσαν ἀληθινήν· πῶς ἐστράφης εἰς πικρίαν ἡ ἄμπολος ἡ ἀλλοτρία»;

τῇ σειρᾷ εἰς τὸν Ἰωάννην κεφ. θ΄.)· «Ὅτι οὐ προϋπάρχουσιν αἱ ψυχαὶ, συνδημιουργοῦνται δὲ νεοπαγεῖσιν ὥςπερ τοῖς σώμασι, δηλοῖ καὶ ὁ προφήτης Ζαχαρίας λέγων περὶ τοῦ τῶν ὅλων Θεοῦ· ὁ πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ». Λέγει δὲ καὶ ὁ θεῖος Δαμασκηνὸς (Ὀρθ. πίστ. β΄. 14.)· «Ἅμα δὲ τὸ σῶμα καὶ ἡ ψυχὴ πέπλασται, οὐ τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον κατὰ τὰ Ὠριγένους ληρήματα». Σημείωσαι, ὅτι ἡ πλάνη αὕτη, ἡ τὴν ψυχὴν προϋπάρχειν λέγουσα, καὶ πρὸ τῆς ἐλεύσεως αὐτῆς εἰς τὸ σῶμα ἁμαρτεῖν ληροῦσα, οὐκ ἔστι μόνον τοῦ Ὠριγένους, ἀλλὰ καὶ ἄλλων αἱρετικῶν· οἷον τοῦ Βασιλείδου (Κλήμ. Ἀλεξ. Στρωμ. δ΄. κεφ. ιβ΄. §. 85.), τοῦ δοκητοῦ Κασσιανοῦ (Κλήμ. Ἀλεξ. Στρωμ. γ΄. κεφ. ιγ΄. §. 93.), τοῦ Καρποκράτους (Εἰρην. ά. 25.). Ἦν δὲ αὕτη δόξα καὶ τῶν Πυθαγορείων (Κλήμ. Ἀλεξ. γ΄. 3. §. 16.). Τοῦ δὲ δυσσεβοῦς Καρποκράτους καὶ Ἐπιφανοῦς καὶ ἄλλων ἰδίαν τινὰ δόξαν περὶ ψυχῶν σημειοῖ ὁ ἱερὸς Θεοδώρητος (Αἱρετ Κακομ. έ. 9. Τόμ. Δ΄. σελ. 273.).

[1]) Οὕτω σαφεστέρα κεῖται ἡ φράσις ἐν τῷ Κώδ. Α. ἔχουσα τὸ «κακῶς» ἐν τῷ τέλει· αἱ δὲ ἄχρι τοῦδε ἐκδόσεις ἔχουσιν οὕτω· «Μή μοι κακῶς τινος ἀκούσῃς ἐξηγουμένου».

[2]) Αἱ λέξεις ἀπὸ τοῦ «τὰ ἀγαθὰ τῆς γῆς» μέχρι τοῦ «καὶ τὰ ἑξῆς» λείπουσιν ἐκ τοῦ Κώδ. Α. καθὼς καὶ ἐκ τῶν Κωδ. Roe καὶ Casaub.

§. Κ'. Ἀθάνατός ἐστιν ἡ ψυχή[1], καὶ ὁμοῖαι[2] πᾶσαι αἱ ψυχαί εἰσιν ἀνδρῶν τε καὶ γυναικῶν[3]· τὰ γὰρ μέλη τοῦ σώματος διακέκρινται μόνον. Οὐκ ἔστι τάγμα ψυχῶν κατὰ φύσιν ἁμαρτανουσῶν, καὶ τάγμα ψυχῶν κατὰ φύσιν δικαιοπραγουσῶν[4]· ἀλλ' ἐκ προ-

---

[1]) Πλὴν τῶν ἐθνικῶν Ἐπικουρείων καὶ τῶν Ἑβραίων Σαδδουκαίων καὶ τῶν ἀρχαίων Σαμαρειτῶν (Φιλαστρ. de haeres. cap. 7. Λεόντιος περὶ Αἱρεσ.), ὑπῆρξαν καὶ πολλοὶ αἱρετικοί, τὸ ἀθάνατον τῆς ψυχῆς ἀρνούμενοι, ὧν τὴν πλάνην ἀναιρεῖ ἐνταῦθα ὁ Κύριλλος. Τοιοῦτοι δὲ αἱρετικοὶ ἦσαν Σίμων (Κλημέντια β'. 29.), Ἡρακλέων ἐκ τῆς Σχολῆς τῶν Βαλεντίνων· «Οὐκ ἀθάνατόν γε εἶναι τὴν ψυχὴν ἡγεῖται ὁ Ἡρακλέων» (Ὠριγεν. εἰς Ἰωάν. Τόμ. ΙΗ'.). Τοιοῦτοι φαίνονται καὶ οἱ Βαλεντινιανοί, ληροῦντες, ὅτι πλὴν τῶν δικαίων καὶ σεσωσμένων ψυχῶν αἱ ἄλλαι εἰσὶ θνηταί· «Apud Valentinianos anima mortalis, nisi quae salutem fide invenerit» (Tertull. Scorp. cap. 22.). Ἐκ δὲ τῆς Ἐκκλησιαστικῆς Ἱστορίας τοῦ Εὐσεβίου (ς'. 37) μανθάνομεν, ὅτι ὁμοία πλάνη ἀνέδυ τὸ πάλαι καὶ ἐν τῇ Ἀραβίᾳ ἐξ εἰσηγήσεως δυσσεβῶν τινων, λεγόντων τὴν ἀνθρωπείαν ψυχὴν τέως μὲν κατὰ τὸν ἐνεστῶτα καιρὸν ἅμα τῇ τελευτῇ συναποθνήσκειν τοῖς σώμασι καὶ συνδιαφθείρεσθαι, αὖθις δέ ποτε κατὰ τὸν τῆς ἀναστάσεως καιρὸν σὺν αὐτοῖς ἀναβιώσεσθαι». Τὴν κακοδοξίαν ταύτην φθὰς Ὠριγένης κατέπαυσε, καὶ τοὺς πλανηθέντας αὖθις ὀρθοτομεῖν ἐδίδαξε. Ὅστις δ' ἐπιποθεῖ εἰδέναι τὰς περὶ τῆς ψυχῆς δόξας τῶν παλαιῶν φιλοσόφων, ὧν τινες σῶμα αὐτὴν ἀπεφήναντο, μετελθέτω Νεμέσιον (περὶ φύσεως ἀνθρώπου κεφ. β'.) καὶ Ἑρμείαν (διασυρμὸς τῶν ἔξω φιλοσόφων), ἔνθα εὑρήσει εἰς πλάτος κατεστρωμένας ἁπάσας τὰς περὶ τούτου γνώμας. Πρβ. καὶ Κλήμ. Ἀλεξ. Παιδαγ. βιβλ. Α'.

[2]) Ἐν τοῖς Κώδηξι Roe, Casaub. μετὰ τὸ «ὁμοῖαι» ἀκολουθεῖ «κατ' οὐσίαν».

[3]) Τὴν πλάνην τοῦ αἱρετικοῦ Ἀπελλοῦ ἀνατρέπει ἐνταῦθα ὁ Κύριλλος, τοῦ ἄλλας μὲν ἀνδρῴας, ἄλλας δὲ γυναικείας ψυχὰς προϋπάρχειν λέγοντος, εἶτ' ἐκ τῶν ψυχῶν ἐκείνων τυποῦσθαι καὶ μορφοῦσθαι τὰ σώματα, ἄρρενα μὲν τὰ λαβόντα ψυχὴν ἀνδρῴαν, θήλεα δὲ τὰ λαβόντα ψυχὴν γυναικείαν (Tertull. de anima cap. 36.). Τὸν Ἀπελλῆν τοῦτον καὶ τὰ τούτου ληρήματα ἀναφέρει καὶ Θεοδώρητος (Αἱρετ. Κακομ. ά. 25.) καὶ Εὐσέβιος (Ἐκκλ. Ἱστορ. έ. 13.).

[4]) Τοῦ πονηροῦ δόγματος τούτου διδάσκαλοι ἀναγράφονται οἱ Οὐαλεντινιανοί, διαιροῦντες τὰς ψυχὰς εἰς φύσει ἀγαθὰς καὶ φύσει κακάς, ὡς ὁ μακάριος ἱστορεῖ Εἰρηναῖος (ά. 7.)· «Καὶ αὐτὰ ἰδὲ τὰς ψυχὰς πάλιν ὑπο-

αιρέσεως ἀμφότερα, μονοειδοῦς καὶ ὁμοίας οὔσης ἐν ἅπασι τῆς τῶν ψυχῶν ὑποστάσεως. Οἶδα μὲν οὖν πολλὰ λέγων, καὶ ὡς ὁ καιρὸς ἤδη πολύς ἐστιν· ἀλλὰ τί σωτηρίας προτιμότερον; Οὐ βούλει καμὼν λαβεῖν ἐφόδια πρὸς τοὺς αἱρετικούς; οὐδὲ θέλεις γνῶναι τῆς ὁδοῦ τὰς παρεκτροπάς, ἵνα μὴ κατὰ κρημνὸν ἐξ ἀγνοίας ἐνεχθῇς; Εἰ οἱ διδάσκοντες ἡγοῦνται κέρδος οὐ μικρὸν τὸ σὲ ταῦτα μαθεῖν, σὺ ὁ μανθάνων ἄρα οὐκ ὀφείλεις ἡδέως δέχεσθαι τῶν λεγομένων τὸ πλῆθος;

§. ΚΑ΄. Αὐτεξούσιός ἐστιν ἡ ψυχή, καὶ ὁ διάβολος τὸ μὲν ὑποβάλλειν δύναται, τὸ δὲ καὶ ἀναγκάσαι παρὰ προαίρεσιν οὐκ ἔχει τὴν ἐξουσίαν. Ὑπογράφει σοι πορνείας λογισμόν· ἐὰν θέλῃς, ἐδέξω· ἐὰν μὴ θέλῃς, οὐκ ἐδέξω. Εἰ γὰρ κατ' ἀνάγκην ἐπόρνευες, τίνος ἕνεκα[1])

μερίζοντες, λέγουσιν ἃς μὲν φύσει ἀγαθάς, ἃς δὲ φύσει πονηράς». Τὴν πλάνην ταύτην ἐξελέγχει ὁ Κύριλλος καὶ ἐν Κατηχ. Ζ΄. §. 13. Ὑπάρχουσι μὲν ψυχαὶ ἁμαρτάνουσαι καὶ ψυχαὶ δικαιοπραγοῦσαι, ἀλλ' ἡ διαφορὰ αὕτη οὐκ ἐκ φύσεως, ἀλλ' ἐκ προαιρέσεως. Ἄριστά εἰσιν ὅσα περὶ τούτου διδάσκει ὁ Θεοφόρος Ἰγνάτιος ἐν τῇ πρὸς τοὺς Μαγνησίους ἐπιστολῇ αὐτοῦ· «Δύο λέγω χαρακτῆρας ἐν ἀνθρώποις εὑρίσκεσθαι, καὶ τὸν μὲν νομίσματος, τὸν δὲ παραχαράγματος· ὁ θεοσεβὴς ἄνθρωπος νόμισμά ἐστιν ὑπὸ Θεοῦ χαρισθέν· ὁ ἀσεβὴς ψευδώνυμον νόμισμα, κίβδηλον, νόθον, παραχάραγμα, οὐχ ὑπὸ Θεοῦ, ἀλλ' ὑπὸ διαβόλου ἐνεργηθέν· οὐ δύο φύσεις ἀνθρώπων λέγω, ἀλλὰ τὸν ἕνα ἄνθρωπον ποτὲ μὲν Θεοῦ, ποτὲ δὲ διαβόλου γίνεσθαι. Ἐὰν εὐσεβῇ τις ἄνθρωπος, Θεοῦ ἐστιν· ἐὰν δὲ ἀσεβῇ τις ἄνθρωπος, τοῦ διαβόλου, οὐκ ἀπὸ τῆς φύσεως ἀλλ' ἀπὸ τῆς ἑαυτοῦ γνώμης γενόμενος». Τὴν ἄνοιαν τῶν αἱρετικῶν τούτων στηλιτεύει καὶ ὁ Θεολόγος Γρηγ. (Λόγ. ΛΖ΄.) ἐν οἷς λέγει· «Εἰσὶ γὰρ οὕτω τινὲς διακείμενοι κακῶς, ὥστε οἴεσθαι, τοὺς μὲν πάντῃ ἀπολλυμένης εἶναι φύσεως, τοὺς δὲ σωζομένης». Ὁμοίαν πρὸς τοὺς Οὐαλεντινιανοὺς νόσον ἐνόσησε καὶ ὁ γνωστὸς Σατουρνῖνος, διδάξας, ὅτι δύο γένη ἀνθρώπων πέπλασται ἀπ' ἀρχῆς, τὸ μὲν καλόν, τὸ δὲ πονηρὸν (Εἰρην. ά. 24.)· «Δύο γὰρ πεπλάσθαι ἀπ' ἀρχῆς ἀνθρώπους φάσκει, ἕνα ἀγαθὸν καὶ ἕνα φαῦλον· ἐξ ὧν δύο εἶναι τὰ γένη τῶν ἀνθρώπων ἐν κόσμῳ, ἀγαθόν τε καὶ πονηρόν» (Ἐπιφαν. Τόμ. Α΄. σελ. 63.). Τοὺς αἱρετικοὺς τούτους, τοὺς δύο τιθέντας φύσεις, μίαν μὲν καλήν, μίαν δὲ κακήν, ἀνδρικῶς ἐξελέγχει καὶ Ἱερώνυμος (in Jesaïam cap. II. 7.).

[1]) Οὕτως ἀσύνδετος εὕρηται ἡ φράσις ἐν τῷ Κώδηκι Α., αἱ δὲ ἄχρι τοῦδε ἐκδόσεις ἔχουσι «καὶ τίνος».

τὴν γέενναν ἡτοίμασεν ὁ Θεός; Εἰ κατὰ φύσιν[1]), ἀλλ᾽ οὐ κατα προαίρεσιν ἐδικαιοπράγεις, τίνος ἕνεκεν στεφάνους ἀνεκδιηγήτους ἡτοίμασεν ὁ Θεός; Πρᾷόν ἐστι τὸ πρόβατον, ἀλλ᾽ οὐδέποτε τοῦτο διὰ τὴν πραότητα ἐστεφανώθη· ἐπειδὴ τὸ πρᾷον οὐκ ἐκ προαιρέσεως, ἀλλ᾽ ἐκ φύσεως αὐτῷ πρόσεστιν[2]).

Περὶ Σώματος.

§. ΚΒ΄. Ἔγνως, ἀγαπητὲ, καθ᾽ ὅσον ἐγχωρεῖ τέως, τὰ περὶ ψυχῆς· δέξαι κατὰ δύναμιν καὶ τὸν περὶ τοῦ σώματός σου λόγον. Μή τινος τῶν λεγόντων ἀνάσχῃ, ἀλλότριον[3]) Θεοῦ τοῦτο εἶναι τὸ σῶμα[4])·

---

[1]) Πᾶσαι αὗται αἱ λέξεις ἀπὸ τοῦ «εἰ κατὰ φύσιν» μέχρι τοῦ «ὁ Θεός» λείπουσιν ἐκ τῶν ἀρχαιοτέρων ἐκδόσεων καὶ ἐκ τοῦ Κώδ. Α. τέθεικε δὲ ταύτας ἐν τῷ κειμένῳ ὁ Μ. ἐκ τοῦ Κώδ. Roe καὶ Casaub. παρεδέξατο δὲ αὐτὰς καὶ ὁ Τ.

[2]) «Οὐδὲν γὰρ τῶν ἀπροαιρέτων μακαριστὸν, λέγει καὶ ὁ Μ. Βασίλειος, διότι πᾶσα ἀρετὴ τῷ ἑκουσίῳ χαρακτηρίζεται» (Τόμ. Α΄. σελ. 210.).

[3]) Ἐν τοῖς Κώδ. Roe καὶ Casaub. κεῖται «ἀλλοτρίου»· ἀλλ᾽ ἡ παραδεδεγμένη γραφὴ φαίνεται ἡ γνησία· διότι εὐθὺς κατόπιν ἀκολουθεῖ πάλιν ἡ αὐτὴ φράσις, ἐξ ἧς εὐθύνεται καὶ ἡ πρώτη.

[4]) Ἀλλότριον Θεοῦ τὸ σῶμα ἔλεγον πολλοὶ αἱρετικοὶ, ἐν τοῖς Γνωστικοῖς ἀριθμούμενοι, οἵ τινες τὸν ὑλικὸν κόσμον τοῦτον καὶ τὰ ἐν τῷ κόσμῳ πάντα οὐχὶ ὑπὸ τοῦ ἀληθινοῦ Θεοῦ, ἀλλ᾽ ὑπ᾽ Ἀγγέλων δημιουργηθῆναι ἐλήρουν· ἀπηλλοτρίουν μετὰ τῶν ἄλλων καὶ τὰ ἀνθρώπινα σώματα ἀπὸ τοῦ ἀληθινοῦ Θεοῦ, ἄλλους δημιουργοὺς ἀναπλάττοντες. Ταύτης τῆς ἀφροσύνης διδάσκαλοι ἀναγράφονται ἄλλοι τε καὶ ἡ πονηρὰ ξυνωρὶς Καρποκράτης καὶ Βασιλείδης (Εἰρην. ά. 24 καὶ 25.). Τὴν αὐτὴν δυσσέβειαν ἐξηρεύγοντο καὶ οἱ Μανιχαῖοι, τὴν μὲν ψυχὴν δημιούργημα λέγοντες τοῦ ἀγαθοῦ Θεοῦ, τὸ δὲ σῶμα τοῦ πονηροῦ· «Εἶναι δὲ ἐκ τῶν δύο ἀρχῶν τὰ πάντα καὶ συνεστάναι· καὶ τὴν μὲν μίαν ἀρχὴν τὰ ἀγαθὰ πάντα ποιεῖν, τὴν δὲ ἑτέραν ὁμοίως τὰ φαῦλα· ἔχειν δὲ ἐν τῷ κόσμῳ τῶν δύο τούτων ἀρχῶν τὰς ὑποστάσεις, καὶ τὴν μὲν μίαν ἀρχὴν πεποιηκέναι τὸ σῶμα, τὴν δὲ ψυχὴν εἶναι τῆς ἑτέρας» Ἐπιφάν. (Τόμ. Α΄. σελ. 625.). Φησὶ δὲ καὶ ὁ Θεοδώρητος· «Ἀλλὰ τίς ἱκανὸς ἀξίως θαυμάσαι τὴν τοῦ ζωτικοῦ τούτου ζώου διάπλασιν, ἣν πολλοὶ μὲν καὶ ἄλλοι διαβάλλειν ἐπι-

οἱ γὰρ ἀλλότριον Θεοῦ εἶναι τὸ σῶμα[1]) πιστεύοντες, καὶ ὡς ἐν ἀλλοτρίῳ σκεύει τὴν ψυχὴν κατοικεῖν, τούτῳ καὶ εἰς πορνείας ἑτοίμως ἀποκέχρηνται. Τί δὲ καὶ κατέγνωσαν τοῦ θαυμασίου τούτου σώματος; τί μὲν γὰρ ἐν εὐπρεπείᾳ λείπεται; τί δὲ οὐκ ἔστιν ἔντεχνον τῆς κατασκευῆς[2]); ἆρα οὐκ ἐχρῆν αὐτοὺς κατανοῆσαι ὀφθαλμῶν μὲν λαμπροτάτην κατάστασιν· ὅπως δὲ τὰ ὦτα πλαγίως ἐγκείμενα, ἀνεμ-

---

χειροῦσιν, οὐχ ἥκιστα δὲ οἱ τοῦ Μάνεντος διάδοχοι; οὗ δὴ χάριν οὐ τὸν Θεὸν τοῦτο διαπλάσαι φασὶν, ἀλλὰ τὸν Σακλᾶν, τῆς ὕλης τὸν ἄρχοντα» (Αἱρετ. Κακομ. ἑ. 9.). Λέγει δὲ καὶ ὁ Μανιχαῖος ἐν τῷ Διαλόγῳ· «ἐκ γὰρ τῆς μοίρας τοῦ ἀγαθοῦ ἐγένοντο αἱ ψυχαὶ, ἐκ δὲ τῆς οὐσίας τῆς κακίας τὰ σώματα»· Δαμασκηνὸς (Διάλογ. κατὰ Μανιχ.). Ὁ δὲ Χρυσόστομος προστίθησι καὶ τὴν αἰτίαν, δι' ἣν ἔλεγον οἱ αἱρετικοὶ τὸ σῶμα ἀνάξιον τῆς τοῦ Θεοῦ δημιουργίας· «Ἑλλήνων δὲ πολλοὶ καὶ αἱρετικῶν οὐδὲ γεγενῆσθαι αὐτὸ (τὸ σῶμα) παρὰ τοῦ Θεοῦ φασιν· ἀνάξιον γὰρ αὐτὸ τῆς τοῦ Θεοῦ δημιουργίας εἶναι λέγουσι, ῥύπους καὶ ἱδρῶτας καὶ δάκρυα καὶ πόνους καὶ ταλαιπωρίας καὶ τὰ ἄλλα τοῦ σώματος ἐπιόντες ἅπαντα. Ἐγὼ δὲ ἐπειδὰν περὶ τούτων γένηται λόγος, πρῶτον μὲν ἐκεῖνο ἂν εἴποιμι· Μή μοι τὸν ἄνθρωπον λέγε τοῦτον, τὸν προσκεκρουκότα, τὸν ἠτιμωμένον, τὸν καταδικασθέντα· ἀλλ' εἰ βούλει μαθεῖν, ὁποῖον ἐξ ἀρχῆς ἡμῖν τὸ σῶμα ἔπλασεν ὁ Θεὸς, ἐπὶ τὸν Παράδεισον ἔλθωμεν καὶ τὸν ἐξ ἀρχῆς γενόμενον ἄνθρωπον ἴδωμεν» (εἰς τοὺς ἀνδρ. Ὁμιλ. ΙΑ'.). Ἐπὶ πᾶσι τούτοις σημειούσθω καὶ ἡ ὄντως κωμικὴ δόξα τῶν Σευηριανῶν, οἵτινες τὸ μὲν ἥμισυ μέρος τοῦ ἀνθρωπίνου σώματος ἔλεγον ἐκ Θεοῦ, τὸ δὲ ἕτερον ἥμισυ ἐκ τοῦ διαβόλου· Ἐπιφάνιος (Τόμ. Α'. σελ. 389.).

[1]) Τῇ τοῦ Κώδ. Α. αὐθεντίᾳ τεθαῤῥηκότες ἐξηλείψαμεν τὸ ἀντωνυμικὸν «τι», ὅπερ κακῶς καὶ σολοίκως ἔθηκεν ὁ Τ. κατόπιν τοῦ ἐνάρθρου «τὸ σῶμα». Λείπει τὸ «τι» καὶ ἐκ τοῦ Μ.

[2]) Ἐν τοῖς ἐφεξῆς ὁ θεῖος Κύριλλος ὑπογράφει συντόμως μὲν, ἀλλ' ἐμφαντικῶς τὴν ἔντεχνον κατασκευὴν τοῦ ἀνθρωπίνου σώματος, ἐξ ἧς καταφαίνεται ἡ μεγάλη σοφία τοῦ Ποιητοῦ. Περὶ τῆς θαυμασίας κατασκευῆς τοῦ ἀνθρωπίνου σώματος ὁμοίας περιγραφὰς ἔχουσι καὶ ἄλλοι ἱεροὶ Πατέρες· οἷον ὁ Μ. Βασίλειος (Τόμ. Β'. σελ. 33.), ὁ Χρυσόστομος (Τόμ. Β'. σελ. 139—143.), ὁ Θεοδώρητος (Λόγ. Γ'. περὶ Προνοίας. Τόμ. Δ'. σελ. 340.), ὁ Νεμέσιος (περὶ φύσεως ἀνθρώπου κεφ. 27.).

πόδιστον δέχεται τὴν ἀκοήν[1]); καὶ ὅπως ἡ ὄσφρησις μέν ἐστι τῶν ἀτμῶν διακριτικὴ καὶ τῶν ἀναθυμιάσεων ἀντιληπτική· ἡ γλῶττα δὲ ὅπως δισσῶν πραγμάτων ἐστι διάκονος, γευστικῆς ἕξεως καὶ διαλεκτικῆς ἐνεργείας; ὅπως ὁ πνεύμων ἐν ἀποκρύφοις κείμενος, ἄπαυστον ἔχει τοῦ ἀέρος τὴν ἀναπνοήν; τίς ὁ ἐνθεὶς παλμὸν καρδίας ἀδιάλειπτον; τίς ὁ διελὼν εἰς φλέβας καὶ ἀρτηρίας τοσαύτας; τίς ὁ τοῖς νεύροις τὰ ὀστέα σοφῶς ἐνείρας; τίς ὁ τῆς τροφῆς μέρος μὲν εἰς ὑπόστασιν δοὺς, μέρος δὲ εἰς εὐσχήμονα διάκρισιν διακρίνας, καὶ τὰ τῆς ἀσχημοσύνης μέλη ἐν εὐσχημοτέροις ἀποκρύψας τόποις; τίς μέλλουσαν ἐκλείπειν τὴν τῶν ἀνθρώπων φύσιν, δι' ἐντελοῦς κοινωνίας ἀκατάπαυστον συνεστήσατο;

§. ΚΓ'. Μὴ λέγε μοι τὸ σῶμα παραίτιον ἁμαρτίας εἶναι[2])· εἰ γὰρ τὸ σῶμα τῆς ἁμαρτίας αἴτιον, διατί νεκρὸς οὐχ ἁμαρτάνει; Παράθες ξίφος τῇ δεξιᾷ τοῦ τετελευτηκότος ἀρτίως[3]), καὶ φόνος οὐ γίνεται· διὰ τετελευτηκότος ἀρτίως νέου κάλλη παντοῖα παρερχέσθω, καὶ ἐπιθυμία πορνείας οὐ γίνεται· διατί; ἐπειδὴ τὸ σῶμα οὐχ ἁμαρτάνει καθ' ἑαυτὸ, ἀλλὰ διὰ τοῦ σώματος ἡ ψυχή[4]). Ἐργαλεῖόν ἐστι

---

[1]) Ἐν τῷ Κώδ. Α. ἀναγινώσκεται «ἀνεμποδίστως δέχεται τὴν ἀκοήν».

[2]) Τῆς Μανιχαίων φρενοβλαβείας καὶ τοῦτο τὸ δόγμα, τὸ λέγειν τὸ σῶμα παραίτιον ἁμαρτίας. Τοῦτο ὀνειδίζει τοῖς Μανιχαίοις καὶ ὁ Δαμασκηνός· «Εἰ ἐκ τοῦ σώματος, λέγει, τῇ ψυχῇ ἡ κακία, ἀναίτιος ἡ ψυχή· καὶ πάλιν τὸ σῶμα νεκρὸν κείμενον οὐχ ἁμαρτάνει· οὐκοῦν οὐκ ἐκ τοῦ σώματος ἡ ἁμαρτία, ἀλλ' ἐκ τῆς ψυχῆς» (Διαλόγ. κατὰ Μανιχ.). Βλ. καὶ Τιτ. Βόστρων (κατὰ Μανιχ. Βιβλίον Α'.), Augustin. (de haeresib. cap. 46.). Τοὺς λέγοντας «παραίτιον τῇ ψυχῇ παντοίων κακῶν τὸ σῶμα γεγονέναι» καὶ «παντοίων αἴτιον ἁμαρτημάτων τὸ σῶμα» ἐξελέγχει καὶ ὁ ἱερὸς Μεθόδιος (παρὰ τῷ Ἐπιφανίῳ Τόμ. Α'. σελ. 565—566.).

[3]) Ἡ λέξις «ἀρτίως» λείπει ἐκ τοῦ Κώδ. Α., ὁμοίως καὶ ἐκ τῶν Κωδ. Roe καὶ Casaub.

[4]) Διότι κατὰ τὸν ἱερὸν Θεοδώρητον (Ἐπιστ. ρμέ.) «πρότερος ὁ λογισμὸς διαγράφει τὴν ἁμαρτίαν, εἶθ' οὕτως ταύτην διὰ τοῦ σώματος ἐνεργεῖ». Κείσθωσαν ἐνταῦθα καὶ τὰ ἐν ἄλλοις ὑπὸ τοῦ αὐτοῦ Θεοδωρήτου λεχθέντα, παραπλήσια τοῖς τοῦ ἱεροῦ Κυρίλλου· «Ἐκεῖνο μέντοι συνιδεῖν οὐκ ἠθέλησας, ὡς δίχα ψυχῆς τούτων οὐδὲν τὸ σῶμα ἐργάζεται· καταλειφθὲν γὰρ ὑπὸ τῆς συνεζευγμένης

τὸ σῶμα, καὶ ὥσπερ ἱμάτιον καὶ στολὴ ψυχῆς· κἂν μὲν ὑπὸ ταύτης πορνείᾳ παραδοθῇ, γίνεται ἀκάθαρτον· ἐὰν δὲ ἁγίᾳ ψυχῇ συνοικήσῃ, γίνεται ναὸς ἁγίου Πνεύματος. Οὐκ ἐγὼ ταῦτα λέγω, ἀλλὰ Παῦλος ὁ Ἀπόστολος εἴρηκεν· «Οὐκ οἴδατε, ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου Πνεύματός ἐστιν»; Φεῖσαι τοίνυν τοῦ σώματος, ὡς ναοῦ Πνεύματος ἁγίου τυγχάνοντος· μὴ φέρῃς ἐν πορνείαις τὴν σάρκα σου· μὴ μολύνῃς τὴν καλλίστην ταύτην στολήν· εἰ δὲ καὶ ἐμόλυνας, ἀπόπλυνε νῦν διὰ μετανοίας· ἀπόλουσαι, ἕως καιρὸς παρέχει [1]).

§. ΚΔ΄. Καὶ τὸν περὶ σωφροσύνης λόγον προηγουμένως μὲν ἀκουέτω τὸ τῶν μοναζόντων καὶ τῶν παρθένων τάγμα [2]), τῶν τὸν ἰσάγγελον βίον ἐν κόσμῳ κατορθούντων [3])· ἑπομένως δὲ καὶ ὁ λοι-

---

ψυχῆς, κεῖται ἄπνουν καὶ ἄφωνον καὶ ἀκίνητον· καὶ οὔτε ὀφθαλμὸς ὁρᾷ κακῶς, οὔτ᾽ αὖ καλῶς, οὔτε τὰ ὦτα εἰσδέχεται τῶν φωνῶν τὴν ἠχήν· οὐ κινοῦνται χεῖρες, οὐ βαδίζουσι πόδες, ἀλλ᾽ ἔοικεν ὀργάνῳ ἐστερημένῳ τοῦ μουσικοῦ. Πῶς οὖν ἔφησθα μόνον ἡμαρτηκέναι τὸ σῶμα, τὸ δίχα ψυχῆς μηδὲ ἀναπνεῖν τὸ παράπαν δυνάμενον (ἐν Διαλόγῳ Γ΄.);

[1]) Ἀντὶ τοῦ «ἀπόλουσαι ἕως καιρὸς παρέχει» ὁ Κώδ. Α. ἔχει «ἀπολούσεως γὰρ ὁ καιρός». Ὁμοίαν τῷ Α. φράσιν ἔχουσι καὶ οἱ Κώδ. Roe καὶ Casaub.

[2]) Τὸ τῶν μοναζόντων καὶ τῶν παρθένων τάγμα ἀναφέρει ὁ Κύριλλος καὶ ἐν Κατηχ. ΙΒ΄. §. 33. Σημείωσαι ὅτι, ἐπειδὴ εἰς ἀκρόασιν τῶν Κατηχήσεων τούτων παρῆσαν καὶ μονάζοντες καὶ μονάζουσαι, ζητεῖται, βεβαπτισμένοι ἆρά γε ἦσαν οὗτοι, ἢ ἔτι ἀβάπτιστοι; Καίτοι γνωρίζομεν, ὅτι ἐν τοῖς Κατηχουμένοις ἐτέλουν καὶ μοναχοί, ὡς γίνεται φανερὸν ἐκ τοῦ Χρυσοστόμου, λέγοντος· «Ὁ μὲν Κατηχούμενος, κἂν μοναχὸς ᾖ, οὐκ ἀδελφὸς» (Ὁμιλ. ΚΕ΄. εἰς τὴν πρὸς Ἑβρ. πρβλ. καὶ Γρηγ. Ναζ. Λόγ. Μ΄.), ἀλλ᾽ ὅμως πιθανωτέραν νομίζομεν τὴν γνώμην, ὅτι ἦσαν οὗτοι βεβαπτισμένοι καὶ τέλειοι χριστιανοί, φοιτῶντες εἰς τὰς συνάξεις καὶ εἰς τὰς τῶν ἱερῶν λόγων ἀκροάσεις, ἵνα καρπῶνται πνευματικὴν ὠφέλειαν. Τοσοῦτον δὲ μᾶλλον ἀποβαίνει πιθανὸν τοῦτο, ὅσον ὁ Κύριλλος μετὰ τούτους τίθησι τὸν ὑπόλοιπον τῆς Ἐκκλησίας λαόν.

[3]) Τὸ τῆς παρθενίας ἀξίωμα λόγοις ἐγκωμίων ἀποσεμνύνει καὶ ἰσοστάσιον τοῖς Ἀγγέλοις ἀποκαλεῖ καὶ στεφάνων ἀγγελικῶν ἐπάξιον κηρύττει ὁ ἱερὸς Πατὴρ καὶ ἐν Κατηχ. ΣΤ΄. §. 35. καὶ Κατ. ΙΒ΄. §. 34. Γραφικῷ δὲ στοιχῶν κανόνι (Α΄. Κορινθ. κεφ. ζ΄.) κρείττονα τοῦ γάμου καὶ πολλῷ ἐκείνου ἐνδοξοτέραν λέγει τὴν

πὸς τῆς Ἐκκλησίας λαός. Μέγας ὑμῖν ἀπόκειται στέφανος, ἀδελφοί. Μὴ μικρᾶς ἡδονῆς ἀντικαταλλάξητε μεγάλην ἀξίαν. Ἀκούσατε τοῦ Ἀποστόλου λέγοντος· «Μή τις πόρνος ἢ βέβηλος ὡς Ἡσαῦ, ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια αὐτοῦ» [1]). Ἐν ταῖς ἀγγελικαῖς βίβλοις λοιπὸν ἐγγραφεὶς διὰ τὴν πρόθεσιν τῆς σωφροσύνης, βλέπε μὴ πάλιν ἐξαλειφθῇς διὰ τὴν πορνικὴν ἐργασίαν [2]).

παρθενίαν· «Τὰ πρωτεῖα δὲ τῶν στεφάνων ἐν ἀναγραφαῖς ἔχει παρθενία καὶ ἁγνεία» (Κατ. ΙΕ'. §. 23.). Ἡ ἐπὶ θεοπνεύστων λογίων ἐρηρεισμένη αὕτη τῆς παρθενίας ὑπεροχὴ τρανῇ φωνῇ καὶ γλώττῃ διδάσκεται καὶ ὑπὸ πάντων ὁμοῦ τῶν διδασκάλων τῆς Ἐκκλησίας· μένει δὲ αὕτη καὶ μενεῖ εἰς τοὺς αἰῶνας ἐν ᾧ τέτακται ὕψει λάμπουσα, μηδέποτε σβεννυμένη μηδὲ ταπεινουμένη ἐκ τῶν ἀβληχρῶν τοξευμάτων, ὅσα κατετόξευσεν ἐν διαφόροις καιροῖς ὁ μισοπάρθενος Προτεσταντισμός. Πολὺ δὲ πρότερον τούτου πικρὰ ἠκόντισε βέλη κατὰ τῆς παρθενίας ὁ Ἰωβινιανός, ὃν ὅμως ἔπειτα κατηκόντισε ῥίψας χαμαὶ τῷ τῆς ἀληθείας λόγῳ ὁ Ἱερώνυμος (adversus Jovinianum). Τοῦ ἀγγελικοῦ τούτου ὕψους τῆς παρθενίας μεγαλόφωνοι κήρυκές εἰσι μετὰ τοῦ Κυρίλλου καὶ Χρυσόστ. (Τόμ. Α'. σελ. 114. καὶ Τόμ. ΙΑ'. σελ. 226. καὶ Τόμ. ΣΤ'. σελ. 303.), Γρηγ. Θεολ. (Λόγ. ΛΖ'.), Ἀθαν. (Ἐπιστ. πρὸς Ἀμμοῦν μονάζοντα Τόμ. Β'. σελ. 41.), Μ. Βασίλ. (Τόμ. Γ'. σελ. 841. καὶ Ἐπιστ. ΜΣΤ'.), Γρηγ. Νύσ. (περὶ Παρθενίας Τόμ. Γ'. σελ. 318. ἐκδ. V.), Ἰσίδ. Πηλ. (Βιβλ. Β'. Ἐπις. ΡΑΓ'. καὶ ΤΜΓ'. Βιβλ. Δ'. Ἐπις. ΡΙΕ'.) καὶ ἄλλοι.

[1]) Ἀπὸ τοῦ «ἀκούσατε» μέχρις ἐνταῦθα λείπουσιν ἅπαντα ἐκ τῶν Κωδ. Roe καὶ Casaub.

[2]) Λέγει καὶ ὁ Μ. Βασίλειος· «Ὁ πρὸς τὴν ἀγγελικὴν ἀξίαν μεταταξάμενος, εἰ τοῖς ἀνθρωπίνοις ἐμμολύνοιτο πάθεσιν, ὅμοιός ἐστι δορᾷ παρδάλεως, ἧς οὔτε λευκὴ παντελῶς ἡ θρίξ, οὔτε μέλαινα διόλου, ἀλλὰ τῇ μίξει τῶν ἑτεροχροούντων διεστιγμένη, οὔτε ἐν τοῖς μέλασιν, οὔτε ἐν τοῖς λευκοῖς ἀριθμεῖται» (Τόμ. Γ'. σελ. 691.). Ὅμοια τῷ ἱερῷ Κυρίλλῳ πρὸς τοὺς ἀζύγους καὶ μονάζοντας παραινεῖ καὶ ὁ Θεολόγος Γρηγόριος (Λόγ. ΛΖ'.)· «Ἀγγέλων ἐπανήρησας πολιτείαν; μετὰ τῶν ἀζύγων ἐτάχθης; μὴ κατενεχθῇς εἰς σάρκα, μὴ κατενεχθῇς εἰς ὕλην, μὴ τῇ ὕλῃ γαμηθῇς, κἂν ἄλλως ἄγαμος μένῃς· ὀφθαλμὸς πορνεύων οὐ φυλάσσει τὴν παρθενίαν, γλῶττα πορνεύουσα τῷ πονηρῷ μίγνυται, πόδες ἄτακτα βαίνοντες ἐγκαλοῦνται νόσον ἢ κίνδυνον. Παρθενευέτω καὶ ἡ διάνοια· μὴ ῥεμβέσθω, μὴ πλανάσθω· μὴ τύπους ἐν αὐτῇ φερέτω πονηρῶν πραγμάτων· καὶ ὁ τύπος μέρος πορνείας ἐστί».

§. ΚΕ΄. Μὴ δ᾽ αὖ πάλιν κατορθῶν τὴν σωφροσύνην, τυφωθῇς κατὰ τῶν ὑποβεβηκότων ἐν γάμῳ[1])· «Τίμιος γὰρ ὁ γάμος, καὶ ἡ

Ὅπερ δὲ ὁ Κύριλλος εἶπεν ἐνταῦθα «ἐγγράφεσθαι ἐν ταῖς ἀγγελικαῖς βίβλοις», τοῦτο ὁ Πηλουσιώτης Ἰσίδωρος ἐξέφρασεν, «ἐγγράφεσθαι εἰς τὰς τῶν Ἀγγέλων ἀξίας»· «Οἱ δὲ τῆς παρθενίας ἐρασταὶ γνήσιοι εἰς τὰς τῶν Ἀγγέλων τεταγμένας ἐνεγράφησαν ἀξίας» (Βιβλ. Δ΄. Ἐπιστ. 192.)· τουτέστι κατετάγησαν καὶ κατηριθμήθησαν ἐν τῇ τῶν Ἀγγέλων χορείᾳ.

[1]) Τοὺς αἱρετικοὺς ἀποῤῥαπίζει ἐνταῦθα ὁ Πατὴρ, τοὺς κακολογοῦντας καὶ ἐν βδελύγματι τιθεμένους τὸν γάμον, ὧν ἐμνημόνευσε καὶ ὁ Παῦλος (Α΄. Τιμοθ. Δ΄. 3.). Ἀληθῶς παράδοξον φαίνεται, ὅτι ἅπαντες σχεδὸν οἱ Γνωστικοὶ τῶν παλαιῶν χρόνων ἐβδελύττοντο τὸν γάμον καὶ ἔργον τοῦ Σατανᾶ αὐτὸν ἀπεκάλουν, ἐν ᾧ οὗτοι εἰς πᾶν εἶδος αἰσχρουργίας ἀνερυθριάστως ἐκυλινδοῦντο, καὶ μίξεις παρανόμους ἀναφανδὸν ἐπηγγέλλοντο. Ὡς βλάσφημον καὶ ὑβρίστριαν γλῶτταν κατὰ τοῦ γάμου κινήσας ἱστορεῖται πρῶτος ὀνομαστὶ Σατορνῖλος παρὰ τῷ κακόφρονι Μενάνδρῳ μαθητευθεὶς, καὶ ἐπὶ Ἀδριανοῦ βασιλέως ἀκμάσας, περὶ οὗ λέγει ὁ Θεοδώρητος (Αἱρετ. κακομυθ. ά. 3.)· «Τὸν δὲ γάμον οὗτος πρῶτος τοῦ διαβόλου διδασκαλίαν ὠνόμασε». Πρὸ τοῦ Θεοδωρήτου εἶπε περὶ αὐτοῦ καὶ ὁ Εἰρηναῖος· «Nubere autem et generare a Satana dicunt esse (ά. 24.), τουτέστι κατὰ τὸν Ἐπιφάνιον· «Τὸ γαμεῖν καὶ τὸ γεννᾷν ἐκ τοῦ Σατανᾶ ὑπάρχειν λέγει» (Τόμ. Α΄. σελ. 63.). Μετὰ τοῦ Σατορνίλου ἢ Σατορνίνου τούτου συνάπτεται καὶ ὁ Μαρκίων ἐν τῷ συνδέσμῳ τῆς κακοδοξίας ταύτης (Εἰρην. ά. 28.). Τὴν αὐτὴν ἐξήμεσαν βλασφημίαν κατὰ τοῦ γάμου καὶ οἱ Ἐγκρατῖται, ὀπαδοὶ τοῦ Τατιανοῦ, περὶ ὧν λέγει ὁ Θεοδώρητος (Αἱρετ. κακομ. ά. 20.)· «Τὴν ἀγαμίαν μετίασι, πορνείαν τὸν γάμον προσαγορεύοντες, καὶ τὴν ἔννομον κοινωνίαν διαβολικὴν ὀνομάζοντες». Φησὶ δὲ περὶ αὐτῶν καὶ ὁ Ἐπιφάνιος (Τόμ. Α΄. σελ. 400.)· «Τὸν δὲ γάμον σαφῶς τοῦ διαβόλου ὁρίζονται». Περὶ δὲ τοῦ πρωτοστάτου τῶν Ἐγκρατιτῶν καὶ αἱρεσιάρχου Τατιανοῦ λέγει ἰδίως ὁ Ἐπιφάνιος ὅτι «τὸν γάμον πορνείαν καὶ φθορὰν ἡγεῖται, φάσκων μηδὲν διαλλάττειν πορνείας τὸν γάμον, ἀλλὰ τὸ αὐτὸ εἶναι» (Τόμ. Α΄. σελ. 391.). Ἐν τῇ αὐτῇ κακοφροσύνῃ καὶ πλάνῃ εὑρίσκοντο καὶ οἱ Σευηριανοὶ καὶ Ἀρχοντικοὶ, οἵτινες ἔλεγον «τὴν γυναῖκα εἶναι ἔργον τοῦ Σατανᾶ· διὸ τοὺς γάμῳ πλησιάζοντας τοῦ Σατανᾶ τὸ ἔργον πληροῦν λέγουσιν» Ἐπιφάνιος (Τόμ. Α΄. σελ. 388.). Τὴν αὐτὴν παραπληξίαν ἐνόσησε καὶ Ἱέρακας, ὅστις «οὐ παραδέχεται γάμον, φάσκων εἶναι τοῦτο Παλαιᾶς Διαθήκης» (Ἐπιφάν. Τόμ. Α΄. σελ.

κοίτη ἀμίαντος», ὥς φησιν ὁ Ἀπόστολος. Καὶ σὺ ὁ τὴν ἁγνείαν ἔχων ἄρα οὐκ ἐκ τῶν γεγαμηκότων ἐγεννήθης; μὴ γὰρ ὅτι κτῆσιν χρυσίου ἔχεις, τὸ ἀργύριον ἀποδοκίμαζε. Ἀλλ᾽ εὐέλπιδες ἔστωσαν καὶ οἱ ἐν γάμῳ νομίμως τῷ γάμῳ χρώμενοι· οἱ γάμον ἔνθεσμον, ἀλλὰ μὴ τοῦτον ἀσελγῆ κατασκευάζοντες διὰ τὴν ἄμετρον ἐξουσίαν· οἱ γινώσκοντες καιροὺς ἀνέσεως, ἵνα σχολάζωσι τῇ προσευχῇ· οἱ μετὰ τῶν ἐνδυμάτων καθαρὰ προσφέροντες ἐν ταῖς Συνάξεσιν εἰς Ἐκκλησίαν τὰ σώματα [1])· οἱ διὰ τὸ τεκνογονεῖν, ἀλλ᾽ οὐ διὰ τὸ φιληδονεῖν, τῷ γάμῳ προσεληλυθότες.

§. ΚΣΤʹ. Καὶ οἱ μονόγαμοι δὲ τοὺς δευτέρῳ γάμῳ συμπεριενεχθέντας μὴ ἀποδοκιμαζέτωσαν· καλὸν μὲν γὰρ ἡ ἐγκράτεια καὶ

710.), καὶ Λουκιανὸς (Ἐπιφαν. Τόμ. Αʹ. σελ. 378.), καὶ Θεόδωρός τις Ἀντιοχεὺς παρὰ τῷ Φωτίῳ (Βιβλιοθ. 177.). Ὅτι δὲ καὶ οἱ Μανιχαῖοι τῇ αὐτῇ μανίᾳ ἦσαν συνεσχημένοι, γίνεται δῆλον ἐκ τοῦ ἱεροῦ Αὐγουστίνου, φάσκοντος· «Nuptias sine dubitatione contemnunt, et quantum in ipsis est prohibent» (de haeres. 46). Ὅρα καὶ Χρυσόστ. (Τόμ. Αʹ. σελ. 334.). Σημείωσαι, ὅτι κατὰ τῆς πλάνης ταύτης ἀνταγωνίζεται Κλήμης ὁ Ἀλεξανδρεὺς ἐν ὅλῳ τῷ τρίτῳ αὐτοῦ Στρωματεῖ, καὶ Τερτυλλιανὸς (contra Marcionem lib. V.), ἔνθα πεντάκις ἀποκαλεῖ τὸν γάμον μυστήριον, καθὼς καὶ ὁ Αὐγουστῖνος ἑξάκις μὲν ἐν τῷ Βιβλίῳ de nuptiis et concupiscentia, δεκάκις δὲ ἐν τῷ βιβλίῳ de bono conjugali contra Jovinianum. Ἀλλὰ καὶ ἡ ἐν Γάγγρᾳ Σύνοδος κατὰ τοιούτων αἱρετικῶν συνηθροίσθη, λεγόντων πρὸς τοῖς ἄλλοις καὶ τοῦτο, ὅτι «οὐδεὶς τῶν ἐν γάμῳ ὄντων ἐλπίδα παρὰ Θεῷ ἔχει» (Συλλογὴ τῶν ἱερῶν Συνόδων Τόμ. Αʹ. σελ. 201.). Ταύτην δὲ τὴν κακοφροσύνην καταδικάζει εὐθὺς καὶ ὁ πρῶτος Κανὼν τῆς Συνόδου ταύτης· «Εἴ τις τὸν γάμον μέμφοιτο, καὶ τὴν καθεύδουσαν μετὰ τοῦ ἀνδρὸς αὐτῆς, οὖσαν πιστὴν καὶ εὐλαβῆ, βδελύσσοιτο ἢ μέμφοιτο, ὡς ἂν μὴ δυναμένην εἰς βασιλείαν εἰσελθεῖν, ἀνάθεμα ἔστω».

[1]) Ἡ ἔξω καθαρότης καὶ κοσμιότης ἦν σύμβολον τῆς ἐσωτερικῆς ἁγνείας καὶ ὁσιότητος· διὰ τοῦτο μετὰ καθαρῶν ἐνδυμάτων ἀπήρχοντο οἱ χριστιανοὶ εἰς τὴν Ἐκκλησίαν καὶ εἰς τὰς Συνάξεις. Τὸ ἔθος τοῦτο ἀναφέρει Κλήμης ὁ Ἀλεξανδρεὺς (Στρωμ. δʹ. 22.)· «Ταύτῃ τοι λελουμένους φασὶ δεῖν ἐπὶ τὰς ἱεροποιΐας καὶ τὰς εὐχὰς ἰέναι, καθαροὺς καὶ λαμπρούς· καὶ τοῦτο μὲν συμβόλου χάριν γίνεσθαι τὸ ἔξωθεν κεκοσμῆσθαί τε καὶ ἡγνίσθαι».

θαυμάσιον· συγγνωστὸν δὲ καὶ τῷ δευτέρῳ γάμῳ προσελθεῖν, ἵνα μὴ πορνεύσωσιν οἱ ἀσθενεῖς[1])· «Καλὸν μὲν γὰρ αὐτοῖς, ἐὰν μείνωσιν, ὡς

[1]) Συγγνωστὸν μὲν καὶ μὴ κεκωλυμένον, πλὴν ἀλλ' οὐδ' ἐπαίνων ἄξιον θεωρεῖ τὸν δεύτερον γάμον καὶ ὁ θεῖος Χρυσόστομος· ἐκλαμβάνει δὲ μόνον τοῦτον ὡς τεκμήριον ψυχῆς ἀσθενοῦς καὶ σαρκικῆς καὶ τῇ γῇ προσδεδεμένης· «Ὥσπερ οὖν, ὅταν ὑπὲρ παρθενίας λέγωμεν, οὐ τὸν γάμον ἀτιμάζοντες ἐκείνην ἐπαίρομεν, οὕτως, ὅταν περὶ χηρείας διαλεγώμεθα, οὐ τὸν δεύτερον γάμον ἐν τοῖς ἀπειρημένοις τιθέντες, τῷ προτέρῳ στέργειν παρακαλοῦμεν, ἀλλ' ὁμολογοῦμεν μὲν καὶ τοῦτον εἶναι κατὰ νόμον τὸν δεύτερον, πολλῷ δὲ τὸν ἕνα τοῦ δευτέρου βελτίονα· ὥσπερ οὖν πολλῆς σεμνότητος καὶ σωφροσύνης σημεῖον ὁ γάμος ἐκεῖνός (ὁ πρῶτος) ἐστιν, οὕτως οὗτος ἀσελγείας μὲν οὐκ ἂν εἴποιμι, μὴ γένοιτο· ἀσθενοῦς δὲ ψυχῆς καὶ σαρκικωτάτης καὶ τῇ γῇ προσδεδεμένης, καὶ μέγα καὶ ὑψηλὸν οὐδὲν δυναμένης φαντασθῆναί ποτε» (Τόμ. Α΄. σελ. 428.). Διὰ τοῦτο οὔτε στέφανοι νυμφικοὶ κοσμοῦσι τὸν γάμον τοῦτον· «Δεδοικότες (οἱ νομοθέται) μή τι χεῖρον γένηται κακὸν, πάντα τοῦ δευτέρου γάμου τὰ φαιδρὰ παρῃτήσαντο, καὶ οὔτε αὐλὸς οὔτε κρότος, οὔτε ὑμέναιος, οὔτε ὀρχήματα, οὔτε στέφανοι νυμφικοὶ, οὔτε ἄλλο τι τῶν τοιούτων τὴν ἑσπέραν κοσμοῦσιν ἐκείνην, ἀλλὰ πάντων αὐτῶν ἀποκοσμήσαντες, οὕτως ἀστεφάνωτον ἄγουσι τὸν ἄνδρα πρὸς τὴν χήραν γυναῖκα, μονονουχὶ βοῶντες διὰ τούτων, ὅτι πάντα συγγνώμης ἄξια πράττουσιν, ἀλλ' οὐκ ἐπαίνων καὶ κρότων καὶ στεφάνων» (Τόμ. Α΄. σελ. 430.). «Πορνείας παραμυθίαν, οὐκ ἐφόδιον εἰς ἀσέλγειαν» ἀποκαλεῖ τὸν δεύτερον γάμον καὶ ὁ Μ. Βασίλειος (Τόμ. Γ΄. σελ. 363.). Συγκεχωρημένον, ἀλλ' οὐ νενομοθετημένον λέγει αὐτὸν καὶ ὁ Θεολόγος Γρηγόριος (Λόγ. ΛΖ΄.)· «Τὸ πρῶτον νόμος, τὸ δεύτερον συγχώρησις». Φησὶ δὲ καὶ ὁ Ἐπιφάνιος (Τόμ. Α΄. σελ. 410.)· «εἰ δέ τις κατὰ ἀσθένειαν ἐπιδεηθείη μετὰ τὴν τελευτὴν τῆς ἰδίας γαμετῆς συναφθῆναι δευτέρῳ γάμῳ, οὐκ ἀπαγορεύει τοῦτο ὁ κανὼν τῆς ἀληθείας»· καὶ σελ. 497. «τὸν συναφθέντα δευτέρᾳ γυναικὶ, ἢ γυναῖκα δευτέρῳ ἀνδρὶ, οὐκ αἰτιᾶται ὁ θεῖος λόγος, οὐδὲ ἀπὸ τῆς Ἐκκλησίας καὶ τῆς ζωῆς ἀποκηρύττει, ἀλλὰ διαβαστάζει διὰ τὸ ἀσθενές». Ἐκ τούτων γίνεται φανερὸν ὅτι καὶ ἡ Ἐκκλησία θεωρεῖ τὸν δεύτερον γάμον οὔτε ἐντελῶς ἄμεμπτον καὶ κατὰ πάντα τῷ πρώτῳ ἰσότιμον, οὔτε πάλιν ἀθέμιτον, ἀλλὰ, τὴν μέσην τέμνουσα, συγχωρεῖ μὲν αὐτὸν, ἐπιτιμᾷ δὲ μετρίως· «ἔῤῥωται μὲν, ἐπιτιμᾶται δὲ μετρίως»· Βαλσαμὼν (εἰς τὸν Ζ΄. Κανόνα τῆς ἐν Νεοκαισ. Συνόδ.). Πεπλάνηνται ἄρα οἱ περὶ τὸν Μοντανὸν

κἀγώ, φησὶν ὁ Ἀπόστολος· εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν· κρεῖσσον γάρ ἐστι γαμῆσαι, ἢ πυροῦσθαι». Τὰ δὲ λοιπὰ πάντα ἐξοριζέσθω μακρὰν, πορνεία, μοιχεία, καὶ πᾶν τὸ τῆς ἀκολασίας εἶδος· τετηρήσθω δὲ τὸ σῶμα τῷ Κυρίῳ καθαρὸν, ἵνα καὶ ὁ Κύριος ἐπιβλέψῃ τῷ σώματι. Τρεφέσθω δὲ τὸ σῶμα σιτίοις, ἵνα ζῇ, καὶ ἀνεμποδίστως ὑπηρετῇ, οὐ μὴν ἵνα πρὸς τρυφὰς ἐκδοθῇ[1]).

Περὶ Βρωμάτων.

§. ΚΖ΄. Καὶ περὶ τροφῶν ἔστω ὑμῖν ταῦτα τὰ δόγματα, ἐπειδὴ πολλοὶ καὶ περὶ τὰ βρώματα πταίουσιν. Οἱ μὲν γὰρ τοῖς εἰδωλοθύτοις ἀδιαφόρως προσέρχονται[2])· οἱ δὲ ἀσκοῦσι μὲν, κατακρίνουσι δὲ

καὶ τὸν Ναυάτον, οἱ τὸν δεύτερον γάμον παντάπασιν ἐκκηρύττοντες καὶ τοῦτον ἐν τοῖς ἀπηγορευμένοις τάττοντες. Καὶ περὶ μὲν τῶν πρώτων λέγει ὁ Ἐπιφάνιος (Τόμ. Α΄. σελ. 410)· «ἐκβάλλουσι τὸν δευτέρῳ γάμῳ συναφθέντα καὶ ἀναγκάζουσι μὴ δευτέρῳ γάμῳ συνάπτεσθαι»· περὶ δὲ τῶν δευτέρων (Τόμ. Α΄. σελ. 495)· «οὐ βούλονται διγάμοις ἐπικοινωνεῖν· εἰ γάρ τις μετὰ τὸ βάπτισμα συναφθείη γυναικὶ δευτέρᾳ, παρὰ τούτοις οὐκ εἰσδεχθήσεται ἔτι». Ἀμφοτέρους ἐξελέγχει ἐνταῦθα ὁ Κύριλλος.

[1]) Ὅμοια ταῦτα πρὸς τὴν σωκρατικὴν ἐκείνην ῥῆσιν, ἣν ὁ Μουσώνιος ἀναφέρει παρὰ τῷ Στοβαίῳ (Ἐκλογ. Β΄. 17.)· «Προσήκει ἐσθίειν ἡμῖν, ἵνα ζῶμεν, οὐχ ἵνα ἡδώμεθα». Ἔφη δὲ καὶ ὁ ἱερὸς Κλήμης (Παιδαγ. Β΄. 1.)· «Οἱ μὲν δὴ ἄλλοι ἄνθρωποι ζῶσιν, ἵνα ἐσθίωσιν, ὥσπερ ἀμέλει καὶ τὰ ἄλογα ζῶα, οἷς οὐδὲν ἀλλ' ἢ γαστήρ ἐστιν ὁ βίος, ἡμῖν δὲ ὁ Παιδαγωγὸς ἐσθίειν παραγγέλλει, ἵνα ζῶμεν».

[2]) Τοὺς Νικολαΐτας καὶ Οὐαλεντινιανοὺς καὶ τοὺς περὶ τὸν Βασιλείδην καὶ Καρποκράτην αἰνίττεται ὁ Πατὴρ ἐνταῦθα, τοὺς ἀδιαφόρως τὰ εἰδωλόθυτα ἐσθίοντας, ὡς μαρτυρεῖ ὁ ἐν ἁγίοις Εἰρηναῖος, ὃς περὶ μὲν τῶν πρώτων λέγει (ά. 26.)· «Nullam differentiam esse docentes in mœchando ei idolothyton edere»; πρβλ. Ἀποκ. β΄. 14, 20. Περὶ δὲ τῶν Οὐαλεντινιανῶν (ά. 6.)· «Καὶ γὰρ εἰδωλόθυτα ἀδιαφόρως ἐσθίουσι, μηδὲ μολύνεσθαι ὑπ' αὐτῶν ἡγούμενοι». Φησὶ δὲ περὶ αὐτῶν καὶ ὁ Αὐγουστῖνος (de haeres. cap. 5.) «nec ab iis, quae idolis immolantur, cibos suos separabant». Περὶ δὲ τοῦ Βασιλείδου καὶ Καρποκράτους λέγει (ά. 28.)· «Negligentiam ipsorum, quae sunt idolothyta, ad

τοὺς ἐσθίοντας[1]), καὶ διαφόρως ἐν τῷ περὶ βρωμάτων λόγῳ τινῶν ἡ ψυχὴ μολύνεται, ἀγνοούντων τοῦ τε ἐσθίειν καὶ μὴ τὰς ἐπωφελεῖς αἰτίας· νηστεύομεν γὰρ οἴνου τε καὶ κρεῶν ἀπεχόμενοι, οὐχ ὡς βδελύγματα μισοῦντες, ἀλλὰ τὸν μισθὸν προσδοκῶντες, ἵνα αἰσθητῶν ὑπεριδόντες, ἀπολαύσωμεν πνευματικῆς καὶ νοητῆς τραπέζης· καὶ

---

manducandum». Τὸ τὰ εἰδωλόθυτα ἐσθίειν ἀπηγόρευται παρ' αὐτῶν τῶν Ἀποστόλων ἐν ταῖς Πράξεσι (ιέ. 29.), ὡς ἐρεῖ κατωτέρω αὐτὸς ὁ Κύριλλος. Τοῦτο ἀπηγόρευσε καὶ ὁ Παῦλος (Α'. Κορ. ί. 20.). Βλ. Χρυσος. (Τόμ. Α'. σελ. 260.), Τερτυλλιανὸν (lib. de idololatria et cibis judaïcis), Ὠριγένην (κατὰ Κέλσου Βιβλ. Η'.), Κυπριανὸν (de lapsis).

[1]) Πολλοὶ καὶ ποικίλοι αἱρετικοὶ ἀνεφάνησαν, αὐτοὶ μὲν βρωμάτων τινῶν ἀπεχόμενοι καὶ πομάτων, τοὺς δὲ ἐσθίοντας πικρῶς κατακρίνοντες. Τοιοῦτοι ἦσαν ἐν πρώτοις οἱ Ἐγκρατῖται μετὰ τοῦ ἀρχηγέτου αὐτῶν Τατιανοῦ, οἵ τινες « τῶν λεγομένων παρ' αὐτοῖς ἐμψύχων ἀποχὴν εἰσηγήσαντο»· Εἰρην. ά. 28. Περὶ αὐτῶν λέγει καὶ ὁ ἱερὸς Ἐπιφάνιος (Τόμ. Α'. σελ. 400)· «Ἔμψυχα δὲ βδελύσσονται ἀπαγορεύοντες, οὐχ ἕνεκεν ἐγκρατείας, οὔτε πολιτείας, ἀλλὰ κατὰ φόβον καὶ ἰνδαλμὸν τοῦ μὴ καταδικασθῆναι ἀπὸ τῆς τῶν ἐμψύχων μεταλήψεως· οἶνον δὲ ὅλως οὐ μεταλαμβάνουσι, φάσκοντες εἶναι διαβολικὸν, καὶ τοὺς πίνοντας καὶ τοὺς χρωμένους ἀνόμους εἶναι καὶ ἁμαρτάδας». Ὡς τῆς αὐτῆς βδελυρᾶς ζύμης καὶ τῶν αὐτῶν παραλογισμῶν ἐνόχους ὀνειδίζει καὶ τοὺς Μοντανιστὰς εἴτε Καταφρύγας ὁ ἱερὸς Ἐπιφάνιος (Τόμ. Α'. σελ. 410). Ὁμοίαν βδελυρίαν πρὸς τὰ κρέα ἔπασχον καὶ οἱ Ἐβιωναῖοι, παντελῶς ἀπεχόμενοι ἐμψύχων τε καὶ κρεῶν (Ἐπιφάν. Τόμ. Α'. σελ. 139). Τοῦ οἴνου παντελῶς ἀπείχοντο καὶ οἱ Σευηριανοὶ (Ἐπιφ. Τόμ. Α'. σελ. 388, καὶ Δαμασκ. περὶ Αἱρέσ. μέ.), καὶ οἱ Μαρκιωνισταὶ (Καν. μζ'. τοῦ Μ. Βασιλ.). Κρέα τε ὁμοῦ καὶ οἶνον καὶ τροφὰς γαλακτώδεις ἐβδελύσσοντο καὶ οἱ Μανιχαῖοι, περὶ ὧν λέγει ὁ Αὐγουστῖνος (de haeres. cap. 46.)· Nec vescuntur carnibus— nec alimonia lactis utuntur—et vinum non bibunt, dicentes fel esse principium tenebrarum». Τούτοις ἀδελφὰ ἐφρόνουν καὶ οἱ Βογόμιλοι (Βαλσαμὼν εἰς τὸν ιδ'. Καν. τῆς ἐν Ἀγκύρᾳ Συνόδου). Ἐν γένει δὲ περὶ πάντων τῶν αἱρετικῶν τούτων λέγει ὁ μακάριος Ἐπιφάνιος (Τόμ. Α'. σελ. 410)· «Τοῦ γαμεῖν κωλύουσιν, ἀπέχεσθαι βρωμάτων παραγγέλλουσιν, οὐχ ἕνεκεν πολιτείας προτρεπόμενοι, οὐχ ἕνεκεν ἀρετῆς μείζονος, καὶ βραβείων καὶ στεφάνων, ἀλλὰ βδελυκτὰ τὰ ὑπὸ τοῦ Κυρίου γεγενημένα ἡγούμενοι». Ἐπειδὴ δὲ ἡ πλάνη τῶν αἱρετικῶν τούτων εὔκολον παρείσ-

ἵνα, νῦν σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θερίσωμεν ἐν τῷ μέλλοντι αἰῶνι. Μὴ τοίνυν καταφρόνει τῶν ἐσθιόντων, καὶ διὰ τὴν τῶν σωμάτων ἀσθένειαν μεταλαμβανόντων· μηδὲ ψέγε τοὺς ὀλίγῳ οἴνῳ χρωμένους διὰ τὸν στόμαχον καὶ τὰς πυκνὰς ἀσθενείας· καὶ μήτε αὐτοὺς ὡς ἁμαρτωλοὺς κατακρίνῃς, μήτε ὡς ἀλλότρια μίσει τὰ κρέα. Οἶδε γάρ τινας τοιούτους ὁ Ἀπόστολος λέγων· «Κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων, ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς». Ἀπεχόμενος τοίνυν τούτων, μὴ ὡς βδελυκτῶν ἀπέχου, ἐπεὶ μισθὸν οὐκ ἔχεις· ἀλλ' ὡς καλῶν ὄντων ὑπερφρόνει διὰ τὰ προκείμενα νοητὰ καλλίονα.

§. ΚΗ΄. Ἀσφάλισαί σου τὴν ψυχὴν, μήποτέ τι φάγῃς τῶν τοῖς εἰδώλοις προσενεχθέντων· περὶ γὰρ τούτων [1]) τῶν βρωμάτων οὐκ ἐμοὶ νῦν μόνον, ἀλλ' ἤδη καὶ τοῖς Ἀποστόλοις, καὶ Ἰακώβῳ τῷ ταύτης τῆς Ἐκκλησίας Ἐπισκόπῳ σπουδὴ γέγονε· καὶ γράφουσιν οἱ Ἀπόστολοι καὶ οἱ Πρεσβύτεροι πᾶσι τοῖς ἔθνεσι καθολικὴν ἐπιστολὴν, προηγουμένως μὲν τῶν εἰδωλοθύτων ἀπέχεσθαι, ἔπειτα δὲ καὶ αἵματος καὶ πνικτοῦ [2]). Πολλοὶ γὰρ τῶν ἀνθρώπων θηριώδεις ὄντες, καὶ

δυσιν εὕρισκε, καὶ ῥᾳδίως ὑφεῖρπε, διὰ τοῦτο μετὰ πολλῆς μερίμνης ἡ Ἐκκλησία τοὺς πιστοὺς εἰς προφυλακὴν διανέστησε, καὶ πανταχόθεν κατησφαλίσατο, κανόνας ἐκδοῦσα, ὧν πρῶτος τυγχάνει ὁ ΝΑ΄. τῶν Ἀποστόλων, ἔχων οὕτως· «Εἴ τις ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ, γάμου, καὶ κρεῶν, καὶ οἴνου, οὐ δι' ἄσκησιν, ἀλλὰ διὰ βδελυρίαν ἀπέχηται, ἐπιλαθόμενος, ὅτι πάντα καλὰ λίαν, καὶ ὅτι ἄρσεν καὶ θῆλυ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, ἀλλὰ βλασφημῶν διαβάλλῃ τὴν δημιουργίαν, ἢ διορθούσθω, ἢ καθαιρείσθω, καὶ τῆς Ἐκκλησίας ἀποβαλλέσθω. Ὡσαύτως καὶ λαϊκός». Τὸν σκοπὸν τῆς ἡμετέρας ἐγκρατείας καὶ ἀποχῆς θαυμασίως ἀναπτύσσει παρακατιὼν ὁ ἱερὸς Κύριλλος, καὶ ἄριστα δείκνυσι δι' ἣν αἰτίαν νηστεύομεν καὶ βρωμάτων τινῶν ἀπεχόμεθα.

[1]) Ἡ ἀντωνυμία «τούτων» λείπει ἐκ τοῦ Κώδ. Α., καθὼς καὶ ἐκ τῶν Κωδ. Roe καὶ Casaub.

[2]) Ἐν τῷ Κώδ. Α. μετὰ τὸ, «πνικτοῦ» κεῖται «καὶ πορνείας». — Τὸ παράγγελμα τοῦτο ἐπανελήφθη ἐν τοῖς κατόπιν χρόνοις ὑπό τε τῶν ἀποστολικῶν καὶ συνοδικῶν κανόνων· Καν. Ἀποστ. ΞΓ΄. Καν. ΞΖ΄. τῆς

κυνῶν δίκην ζῶντες, τὸ μὲν αἷμα λάπτουσιν, ἀγριωτάτων θηρίων τρόπον μιμούμενοι[1]), τὰ πεπνιγμένα δὲ κατεσθίουσιν ἀφειδῶς. Σὺ δὲ ὁ τοῦ Χριστοῦ δοῦλος ἐσθίων, ἔχε τὸ, μετ' εὐλαβείας ἐσθίειν. Καὶ περὶ μὲν βρωμάτων αὐτάρκως.

Περὶ ἐνδύματος.

§. ΚΘ'. Ἔνδυσις δέ σοι λιτὴ περικείσθω, μὴ πρὸς καλλωπισμὸν, ἀλλὰ πρὸς ἀναγκαίαν σκέπην[2])· μηδὲ ἵνα γαυνωθῇς, ἀλλ' ἵνα ἐν

ΣΤ'. Συνόδου, Καν. Β'. τῆς ἐν Γάγγρᾳ Συνόδου. Ἡ ἀνατολικὴ Ἐκκλησία διετέλεσεν ἀείποτε μετὰ πάσης ἀκριβείας διδάσκουσα καὶ τηροῦσα τὴν ἀποχὴν οὐ τῶν εἰδωλοθύτων μόνων, ἀλλὰ καὶ παντὸς αἵματος, καὶ παντὸς πνικτοῦ, ὡς γίνεται φανερὸν ἐκ τῶν πολλῶν ἐκκλησιαστικῶν συγγραφέων, τῶν μνήμην ποιουμένων τῆς ἀποστολικῆς ταύτης παραγγελίας· Κλήμης Ἀλεξ. (Παιδαγ. Γ'. 3. 25.), Τερτυλλιανὸς (in Apologet. cap. 9.), Ἀρνόβιος (adversus Gentos lib. 8.), Ἀμβρόσιος (in Psalm. XVIII. sermone 13.), Θεοδώρητος (Ἐρωτ. νδ'. εἰς Γέν.), Χρυσόστομος (Τόμ. Δ'. σελ. 306 καὶ 307.), Εὐσέβιος (Ἐκκλησ. Ἱστορ. Ε'. 1.), Νικηφόρος (Ἐκκλησ. Ἱστορ. Δ'. 17.)· βλέπε καὶ τοὺς Ἑρμηνευτὰς τῶν ἀνωτέρω Κανόνων, Ζωναρᾶν, Βαλσαμῶνα, Ἀλ. Ἀριστηνὸν καὶ Βλάσταριν. Ἐν τοῖς συγγραφεῦσι τούτοις δίδονται καὶ λόγοι, δι' οὓς ἀπηγορεύθησαν τὸ πνικτὸν καὶ τὸ αἷμα. Καὶ ἡ μὲν ἀνατολικὴ Ἐκκλησία οὕτως σταθερῶς καὶ ἀραρότως ἐδίδαξε καὶ διδάσκει ἄχρι τῆς σήμερον τὸ ἀποστολικὸν ἐπίταγμα, καὶ ἀπαγορεύει τὴν βρῶσιν τοῦ πνικτοῦ καὶ τοῦ αἵματος· ἐν δὲ τῇ Δύσει παρελύθη, οὐκ οἶδ' ὅπως, ἡ ἐντολὴ, καὶ μετέπεσεν εἰς ἀχρηστίαν, ἀδεοῦς γενομένης τῆς τοῦ αἵματος βρώσεως.

[1]) Ἡ λέξις «μιμούμενοι» λείπει μὲν ἐκ τοῦ Κώδ. Α., καὶ ἐξ ἄλλων Κωδήκων, εὕρηται δὲ ἐν τέσσαρσι Κώδηξι, ἀφ' ὧν ἔθηκε τὴν λέξιν ἐν τῷ ὑπ' αὐτοῦ ἐκδεδομένῳ κειμένῳ ὁ Τ. Ἐτηρήσαμεν δὲ ταύτην καὶ ἡμεῖς, καίπερ οὐδαμῶς ἀναγκαίαν.

[2]) Τὸ ἔνδυμα, λέγει ὁ θεῖος Χρυσόστομος, ἔστω ἀφορμὴ οὐχὶ καλλωπισμοῦ, ἀλλὰ διηνεκοῦς ὑπομνήσεως τοῦ παραπτώματος ἡμῶν καὶ τῆς πρώτης ἐκείνης γυμνώσεως, ἣν ὑπέστημεν τὴν ἐντολὴν παραβάντες· «Ἡ τῶν ἱματίων περιβολὴ ὑπόμνησις ὑμῖν γενέσθω διηνεκὴς τῆς τῶν ἀγαθῶν ἐκπτώσεως, καὶ τῆς τιμωρίας διδασκαλία, ἣν διὰ τὴν παρακοὴν τὸ τῶν ἀνθρώπων γένος ἐδέξατο. Λεγέτωσαν τοίνυν ἡμῖν οἱ τοσαύτῃ κεχρημένοι τῇ φαντασίᾳ, ὡς μηδὲ εἰδέναι

χειμῶνι θερμανθῇς, καὶ τοῦ σώματος τὴν ἀσχημοσύνην καλύπτῃς. Μὴ προφάσει τοῦ τὴν ἀσχημοσύνην καλύπτειν ταῖς περιέργοις στολαῖς εἰς ἑτέραν ἀσχημοσύνην ἐμπέσῃς.

Περὶ τῆς Ἀναστάσεως·

§. Α΄. Φείδου μοι, παρακαλῶ, τοῦ σώματος τούτου, καὶ γίνωσκε, ὅτι ἐκ νεκρῶν ἐγερθήσῃ, μετὰ τοῦ σώματος τούτου κριθησόμενος[1]). Εἰ δέ σοι τις ἀπιστίας λόγος ὑπεισέρχεται, ὡς ἀδυνάτου τοῦ

λοιπὸν τὰ ἀπὸ τοῦ ἐρίου τῶν προβάτων ἐνδύματα, ἀλλὰ τὰ σηρικὰ περιβαλλόμενοι, καὶ εἰς τοσοῦτον ἐξοκείλαντες μανίας, ὡς καὶ χρυσίον συνυφαίνειν τοῖς ἐνδύμασι· μάλιστα γὰρ τὸ τῶν γυναικῶν γένος ταύτην ἡμῖν ἐπιδείκνυνται τὴν βλακείαν· τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, τούτοις τὸ σῶμα καλλωπίζεις, καὶ χαίρεις τῇ ἐντεῦθεν περιβολῇ, καὶ οὐκ ἐννοεῖς ὅτι ἀντὶ μεγίστης τιμωρίας διὰ τὴν παράβασιν ἡ σκέπη αὕτη ἐπενοήθη» ;

[1]) Ὅτι μετὰ τούτου τοῦ σώματος, καὶ οὐχὶ μετ' ἄλλου, ἐκ νεκρῶν ἀναστησόμεθα, τοῦτο διδάσκει κατ' ἔκτασιν ὁ Κύριλλος ἐν τῇ Κατηχ. ΙΗ΄. §. 18. Ὁ δὲ θεῖος Χρυσόστομος δόγμα ἀποκαλεῖ τοῦτο ἐκκλησιαστικὸν λέγων· «Δόγμα δὲ ἐντεῦθεν διδασκόμεθα ἐκκλησιαστικὸν, ὅτι τὸ σῶμα τὸ τοὺς πειρασμοὺς ὑπομένον καὶ τὰς βασάνους, αὐτὸ συνανίσταται τῇ ψυχῇ, ἵνα καὶ τῆς δόξης συναπολαύσῃ· οὐ γὰρ δίκαιον ἄλλο μὲν πάσχειν, ἄλλο δὲ ἀνίστασθαι» (Ἐν τῇ εἰς τὸν Ἰὼβ Σειρᾷ κεφ. 19.)· καὶ ἀλλαχοῦ· «Ποῦ τὸ θαυμαστὸν καὶ παράδοξον κατὰ τοῦ θανάτου κριτήριον, εἰ ἄλλο ἀνίσταται»; (Ὁμιλ. ΜΑ΄. εἰς τὴν Α΄. Κορ) Καλὰ καὶ τὰ τοῦ ἱεροῦ Γρηγ Νύσσης (Τόμ. Γ΄. σελ. 214.)· «Εἰ μὴ ἀκριβῶς τὸ ἴδιον ἐπανέλθοι, ἐκ δὲ τοῦ ὁμογενοῦς ἀντὶ τοῦ ἰδιάζοντός τι παραληφθείη, ἕτερον ἀνθ' ἑτέρου γενήσεται, καὶ οὐκέτι ἂν εἴη τὸ τοιοῦτον ἀνάστασις, ἀλλὰ καινοῦ ἀνθρώπου δημιουργία». Φησὶ δὲ καὶ ὁ μακάριος Εἰρηναῖος· «ἑκάστῳ σώματι ἡ ἰδία ψυχὴ ἀποδοθήσεται» (Τόμ. Α΄. σελ. 831.). Ὅρα καὶ Ἐπιφάνιον (Τόμ. Α΄. σελ. 598), καὶ Δαμασκηνὸν (Ὀρθοδ. πίστ. δ΄. 28.), καὶ Ἀθηναγόραν (περὶ Ἀναστάσεως). Ἔσχε δὲ καὶ τὸ δόγμα τοῦτο ἀντιπάλους καὶ αἱρετικοὺς, οὓς δηλοῖ καὶ ὁ Χρυσόστομος (Τόμ. Α΄. σελ. 451.)· «Οἱ αἱρετικοὶ, μηδὲν τούτων συνιέντες, ἐπιπηδῶσι καὶ λέγουσιν, ὅτι ἕτερον σῶμα πίπτει καὶ ἕτερον σῶμα ἀνίσταται». Τοιοῦτοι δὲ αἱρετικοὶ, τὴν ταυτότητα τοῦ ἀναστηθησομένου σώματος ἀπαρνούμενοι, ἦσαν οἱ Οὐαλεντινιανοὶ, οἵτινες, κατὰ τὸν Ἐπιφάνιον, ἔλεγον· «Μὴ τὸ σῶμα

πράγματος τυγχάνοντος, ἐκ τῶν καθ' ἑαυτὸν σκόπει τὰ μὴ φαινόμενα. Σὺ γὰρ αὐτὸς, εἰπέ μοι, πρὸ ἑκατὸν ἢ πλειόνων ἐτῶν, λόγισαι ποῦ ἦσθα· ἐκ ποίας δὲ σμικροτάτης[1]) καὶ εὐτελεστάτης ὑποστάσεως, εἰς τοσοῦτον ἡλικίας μέγεθος, καὶ τοσαύτην[2]) ὡραιότητος ἀξίαν κατέστης! Εἶτα ὁ τὸ μὴ ὂν εἰς τὸ εἶναι παραγαγὼν, τὸ ὂν ἤδη καὶ διαπεσὸν αὖθις ἀναστῆσαι οὐ δύναται[3]); Ὁ τὸν δι' ἡμᾶς σπειρόμενον σῖτον κατ' ἐνιαυτὸν νεκρούμενον ἐγείρων, ἆρα ἡμᾶς αὐτοὺς, δι' οὓς κἀκεῖνος ἐγήγερται[4]), δυσκόλως ἀναστήσει; Ὁρᾷς ὅπως τὰ δένδρα νῦν ἐπὶ τοσούτοις μησὶν ἄκαρπα καὶ ἄφυλλα καθέστηκεν, ἀλλὰ[5]), τοῦ χειμῶνος παρελθόντος, αὖθις ὥσπερ ἐκ νεκρῶν ἀναβιοῖ· οὐ πολλῷ μᾶλλον[6]) ἡμεῖς εὐκοπώτερον ἀναζήσομεν;

τοῦτο ἀνίστασθαι, ἀλλ' ἕτερον ἐξ αὐτοῦ, ὃ δὴ πνευματικὸν καλοῦσιν» (Τόμ. Α'. σελ. 172.). Ὁμοίαν ἐνόσει νόσον καὶ Ὠριγένης· βλ. Ἱερώνυμον (in epistola advers. Johannem Hirosol. cap. 8 καὶ Δ. Ὑέτιον D. Huet. Origeniana lib. II. Quæst. 9.).

[1]) Ἐν τῷ Κώδ. Α. κεῖται «σμικρότητος».

[2]) Ἐν τοῖς τρισὶ Κώδηξι Α., R. καὶ C. κεῖται «τοσαύτης».

[3]) Συνῳδὰ τῷ Κυρίλλῳ εἶπε καὶ Ἐπιφάνιος (Τόμ. Α'. σελ. 602.)· «Εἰ γὰρ τὰ ἐξ οὐκ ὄντων ἐποίησεν εἰς τὸ εἶναι, πόσῳ γε μᾶλλον τὸ ὂν εἰς τὴν ἰδίαν κατάστασιν εὐχερῶς ἀποκαταστήσειεν»; Τὰ αὐτὰ ἐφθέγξατο καὶ Ἀθηναγόρας ἐν τῷ περὶ ἀναστάσεως βιβλίῳ· «Εἰ γὰρ μὴ ὄντα κατὰ τὴν πρώτην σύστασιν ἐποίησε τὰ τῶν ἀνθρώπων σώματα καὶ τὰς τούτων ἀρχὰς, καὶ διαλυθέντα, καθ' ὃν ἂν τύχῃ τύπον, ἀναστήσει μετὰ τῆς αὐτῆς εὐμαρείας· ἐπίσης γὰρ αὐτῷ καὶ τοῦτο δυνατόν»· βλ. καὶ Θεόφιλον Ἀντιοχ. (πρὸς Αὐτόλ. Βιβλ. Α'.). Ἄριστα καὶ τὰ τοῦ θείου Δαμασκηνοῦ· «ὁ χοῦν εἰς σῶμα βουλήσει μόνῃ μεταβαλὼν, ὁ μικρὰν ὕλης ῥανίδα τοῦ σπέρματος ἐν τῇ μήτρᾳ αὔξειν προστάξας, καὶ τὸ πολυειδὲς τοῦτο καὶ πολύμορφον ἀποτελεῖν τοῦ σώματος ὄργανον, οὐχὶ μᾶλλον τὸ γεγονὸς καὶ διαῤῥυὲν ἀναστήσει πάλιν, μόνον βουληθείς»; (Ὀρθ. πίστ. δ'. 28.).

[4]) Οἱ τρεῖς Κώδ. Α., R. καὶ C. ἔχουσιν «ἐγείρεται».

[5]) Ὁ Μ. καὶ μετ' αὐτὸν ὁ Τ. ἐν ταῖς ἑαυτῶν ἐκδόσεσι μετὰ τὸ «ἀλλὰ» τιθέασιν «ὅλα»· ἀλλ' ἡ λέξις αὕτη λείπει ἐκ τῶν Κωδήκων Roe καὶ Casaub., λείπει δὲ καὶ ἐκ τοῦ ἡμετέρου ἀρχιεπισκοπικοῦ Κώδηκος, οὐδ' ἔστιν ἀναγκαία.

[6]) Ἐν τοῖς Κώδ. Α. Roe καὶ Casaub. κεῖται «πολὺ μᾶλλον»,

Ἡ[1]) ῥάβδος Μωϋσέως εἰς φύσιν ὄφεως ἀνοίκειον[2]) βουλῇ Θεοῦ μετεβλήθη[3]), καὶ ἄνθρωπος[4]), ὁ πεσὼν εἰς θάνατον, πάλιν εἰς ἑαυτὸν οὐκ ἀποκαθίσταται;

§. ΛΑ΄. Μὴ πρόσεχε τοῖς λέγουσιν, ὅτι οὐκ ἐγείρεται τὸ σῶμα τοῦτο[5])· ἐγείρεται γάρ· καὶ μάρτυς Ἠσαΐας λέγων· «Ἀναστήσονται οἱ νεκροί, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις»· καὶ «Πολλοὶ τῶν ἐν γῆς χώματι καθευδόντων ἀναστήσονται, κατὰ τὸν Δανιήλ· οὗτοι εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς αἰσχύνην αἰώνιον[6])». Ἀλλὰ

μετὰ δὲ τὴν ἑπομένην λέξιν «ἡμεῖς» ἔκειτο ἐν ταῖς ἐκδόσεσιν ὁ «καὶ», ὃν ἡμεῖς ὡς περιττὸν ἀπηλείψαμεν, στηριζόμενοι ἐπὶ τοῦ Κώδηκος Α.

[1]) Προσεθήκαμεν τὸ ἄρθρον «ἡ» ἐκ τῶν Κωδ. Α. Roe καὶ Casaub., ὅπερ λείπει ἐκ τῶν ἐκδόσεων τοῦ Μ. καὶ Τ.

[2]) Ἐν τῷ ἡμετέρῳ Κώδ. Α. κεῖται «ἀνοικείως», λείπει δὲ παντάπασιν ἡ λέξις ἐκ τῶν Κωδ. Roe καὶ Casaub.

[3]) Τὸ παράδειγμα τῆς Μωσαϊκῆς ῥάβδου εἰς ἀπόδειξιν τῆς ἀναστάσεως φέρει καὶ ὁ Ἐπιφάνιος (Τόμ. Α΄. σελ. 25.)· «Καὶ ἡ τοῦ Μωϋσέως δὲ ῥάβδος ὁμοίως ἡ ξυλίνη κατὰ Θεοῦ βούλημα ἐψυχοῦτο, καὶ ὄφις γινομένη ἀνάστασιν ἐδήλου». Ὁ μακάριος Ἐπιφάνιος εἰς πίστωσιν τῆς ἀναστάσεως φέρει καὶ τὸ τῆς ἀαρωνίτιδος ῥάβδου παράδειγμα· «οὐ μὴν ἀλλὰ καὶ ἡ ῥάβδος τοῦ Ἀαρὼν ἡ βλαστήσασα, ξηρὰ οὖσα, αὖθις καρπὸν ἤνεγκεν εἰς ἐλπίδα ζωῆς, τὰ νεκρὰ σώματα ἡμῶν ἀναστήσεσθαι σημαίνουσα».

[4]) Ἐν τῷ Κώδ. Α. εὕρηται ἐνάρθρως «ὁ ἄνθρωπος».

[5]) Πολλοὶ ἦσαν ἡ τὴν ἀνάστασιν τῶν σωμάτων ἀρνούμενοι. Ἐν τῇ ΙΗ΄. Κατηχήσει τρία ἤδη ἀνθρώπων ἀριθμεῖ ὁ Κύριλλος τὴν ἀνάστασιν μὴ δεχομένων, τοὺς Ἕλληνας, τοὺς Σαμαρείτας καὶ τοὺς αἱρετικούς, οὓς καὶ καταγωνίζεται, καὶ τοῖς καταλλήλοις ὅπλοις ἕκαστον εἰς τοὔδαφος ῥίπτει. Βλέπε τὰς ἐκεῖ σημειώσεις. Τοὺς τὴν ἀνάστασιν τῶν σωμάτων ἀρνουμένους ἐξελέγχει καὶ ὁ ἱερὸς Χρυσορρήμων (Ὁμιλ. Β΄. εἰς τὰς Πράξεις, καὶ Ὁμιλ. ΙΖ΄. εἰς τὴν Α΄. πρὸς Κορ. καὶ Ὁμιλ. Ε΄. εἰς τὴν πρὸς Κολ.).

[6]) Ὁλόκληρος ἡ προφητικὴ ῥῆσις τοῦ Δανιὴλ κεῖται οὕτω κατὰ τὴν βατικανὴν ἔκδοσιν· «Καὶ πολλοὶ τῶν καθευδόντων ἐν γῆς χώματι ἐξεγερθήσονται, οὗτοι εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς ὀνειδισμὸν καὶ εἰς αἰσχύνην αἰώνιον». Οὕτως ἀνέφερε τὴν ῥῆσιν καὶ ὁ Κύριλλος αὐτὸς ἐν Κατηχ. ΙΕ΄. §. 17.—Αὐτὴν ταύτην τὴν προφητικὴν ῥῆσιν προτιθέμενος καὶ ὁ Δαμασκηνὸς λέγει· «Πολλοὶ τῶν καθευδόντων ἐν γῆς χώματι, λέγων, ἐξεγερθήσονται, δῆλον ὡς ἀνάστασιν ἐμφαίνει σωμάτων· οὐ γὰρ δήπου τις φήσειε τὰς

τὸ μὲν ἀναστῆναι πάντων ἐστὶν ἀνθρώπων, οὐχ ὁμοία δὲ πᾶσιν ἡ ἀνάστασις[1])· πάντες μὲν γὰρ αἰώνια λαμβάνομεν τὰ σώματα, ἀλλ' οὐχ ὅμοια ἅπαντες· οἱ δίκαιοι μὲν γὰρ, ἵνα διαιωνίζοντες[2]) ἀγγέλοις συγχορεύωσιν[3])· οἱ δὲ ἁμαρτωλοὶ, ἵνα εἰς αἰῶνας τῶν ἁμαρτημάτων ὑπομένωσι τὴν βάσανον.

§. ΛΒ'. Διὰ τοῦτο προλαβὼν κατὰ φιλανθρωπίαν ὁ Κύριος λουτροῦ μετάνοιαν[4]) ἔδωκεν, ἵνα τὸ πολὺ τῶν ἁμαρτιῶν, μᾶλλον δὲ τὸ πᾶν φορτίον ἀποῤῥίψαντες, καὶ ἁγίου Πνεύματος[5]) τὴν σφραγῖδα λαβόντες, κληρονόμοι γενώμεθα ζωῆς αἰωνίου. Ἀλλὰ περὶ τοῦ λουτροῦ πρώην αὐτάρκως εἰρηκότες, ἐπὶ τὰ λείποντα τῶν εἰσαγωγικῶν μαθημάτων λοιπὸν ἔλθωμεν.

Περὶ τῶν θείων Γραφῶν·

§ ΛΓ'. Ταῦτα δὲ διδάσκουσιν ἡμᾶς αἱ θεόπνευστοι Γραφαὶ τῆς Παλαιᾶς τε καὶ Καινῆς Διαθήκης. Εἷς γάρ ἐστιν ὁ τῶν δύο Διαθηκῶν Θεός[6]), ὁ τὸν ἐν τῇ Καινῇ φανέντα Χριστὸν ἐν τῇ Παλαιᾷ προ-

---

ψυχὰς ἐν γῆς χώματι καθεύδειν» (Ὀρθοδ. πίστ. δ'. 28.).

[1]) Ἀναστάσεως μὲν πάντες ἀπολαύσονται, λέγει καὶ ὁ Χρυσοῤῥήμων (Τόμ. ΙΑ'. σελ. 548.), ἐν δόξῃ δὲ οὐ πάντες ἔσονται, ἀλλ' οἱ ἐν Χριστῷ». Ὁμοίως καὶ Θεοφύλακτος (εἰς τὴν Α'. πρὸς Θεσσαλ. κεφ. 4.)· «Πάντες μὲν γὰρ ἀναστήσονται, οὐ πάντες δὲ ἐν δόξῃ, ἀλλ' οἱ πιστοὶ, τουτέστιν οἱ ἔργα ἀγαθὰ μετὰ τοῦ δόγματος ἔχοντες».

[2]) Ἀντὶ «διαιωνίζοντες» ὁ Κώδηξ Α. ἔχει «δι' αἰῶνος ζῶντες».

[3]) Οὕτως ὀρθότερον κατ' ἐνεστῶτα κεῖται τὸ ῥῆμα ἐν τῷ Κώδ. Α. ἀντὶ τοῦ ἐν ἄλλοις φερομένου «συγχορεύσωσι». Κατ' ἐνεστῶτα ἐκφέρουσι τὸ «συγχορεύωσι» καὶ οἱ Κώδ. Roe καὶ Casaub., ὡσαύτως κατ' ἐνεστῶτα χρόνον κεῖται ἐν τῷ Κώδ. Α. καὶ τῷ «ὑπομένωσι».

[4]) «Λουτροῦ μετάνοιαν», τουτέστι «διὰ λουτροῦ», ὡς καὶ κατωτέρω εἶπε «λουτροῦ σωτηρίαν», καὶ Κατ. Α'. 2. «λουτροῦ ἀναγέννησιν».

[5]) Οὕτως ὀρθότερον κατὰ γενικὴν πτῶσιν κεῖνται αἱ λέξεις αὗται ἐν τῷ ἡμετέρῳ ἀρχιεπισκοπικῷ Κώδηκι. Αἱ ἄχρι τοῦδε ἐκδόσεις ἔχουσιν «ἁγίῳ Πνεύματι».

[6]) Ἕνα λέγει τὸν τῶν δύο Διαθηκῶν Θεὸν ὁ Πατὴρ, ἀποῤῥαπίζων τοὺς αἱρετικοὺς, τοὺς νόμον καὶ Προφήτας

καταγγελίας, ὁ διὰ νόμου καὶ Προφητῶν εἰς Χριστὸν παιδαγωγήσας· «πρὸ γὰρ τοῦ ἐλθεῖν τὴν πίστιν ὑπὸ νόμον ἐφρουρούμεθα»· καὶ «ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν». Κἄν ποτε τῶν αἱρετικῶν ἀκούσῃς τινὸς βλασφημοῦντος νόμον ἢ Προφήτας, ἀντίφθεγξαι τὴν σωτηρίαν φωνήν, λέγων· «Οὐκ ἦλθεν Ἰησοῦς καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι»· καὶ φιλομαθῶς παρὰ τῆς Ἐκκλησίας γνῶθι[1]), ποῖαι μὲν εἰσιν αἱ τῆς Παλαιᾶς Διαθήκης βίβλοι, ποῖαι δὲ τῆς Καινῆς, καί μοι μηδὲν τῶν ἀποκρύφων ἀναγίνωσκε· ὁ γὰρ τὰ παρὰ πᾶσιν ὁμολογούμενα μὴ εἰδώς, τί περὶ τὰ ἀμφιβαλλόμενα ταλαιπωρεῖς μάτην; Ἀναγίνωσκε τὰς θείας Γραφάς, τὰς εἴκοσι δύο βίβλους τῆς Παλαιᾶς Διαθήκης[2]), τὰς ὑπὸ τῶν Ἑβδομήκοντα δύο ἑρμηνευτῶν ἑρμηνευθείσας.

βλασφημοῦντας, καὶ ἄλλον μὲν λέγοντες Θεὸν τῆς Παλαιᾶς Διαθήκης, ἄλλον δὲ τῆς Νέας. Τοιοῦτοι αἱρετικοὶ ἦσαν ἅπαντες σχεδὸν οἱ Γνωστικοί, ὧν ἡ σκοτεινὴ καὶ ταρτάρειος φάλαγξ ἄρχεται ἀπὸ τοῦ γόητος Σίμωνος, ὃς ἔφασκε «μὴ εἶναι τὸν νόμον Θεοῦ, ἀλλ' ἀριστερᾶς δυνάμεως· μήτε Προφήτας ἐξ ἀγαθοῦ Θεοῦ ὑπάρχειν, ἀλλ' ἑτέρας καὶ ἑτέρας δυνάμεως»· Ἐπιφάνιος (Τόμ. Α'. σελ. 58.). Μετὰ τὸν Σίμωνα ἔρχονται οἱ ἑξῆς αἱρετικοί, οἱ τὴν Παλαιὰν Διαθήκην τοῖς Ἀγγέλοις, ἢ ἄλλῳ τινὶ πονηρῷ Θεῷ ἀναγράφοντες, καὶ ἄλλον Θεὸν τοῦ κόσμου Δημιουργὸν ἀναπλάττοντες, καὶ πολλὴν ἄλλην ἀηδίαν καὶ φλυαρίαν κατὰ τῆς συστάσεως τοῦδε τοῦ παντὸς ἐξεμοῦντες, ὁ Σατουρνῖνος (Εἰρην. ά. 24.), ὁ Βασιλείδης (αὐτόθι), ὁ Κήρινθος (Ἐπιφάν. Τόμ. Α'. σελ. 110.), ὁ Καρποκράτης (Ἐπιφ. Τόμ. Α'. σελ. 102. Θεοδωρητ. Αἱρετ. κακομ. ά. 5.), ὁ Κέρδων (Εἰρην. ά. 27. Θεοδωρητ. Αἱρετ. κακομ. ά. 24.), ὁ Μαρκίων (Εἰρην. ά. 27. Ἐπιφάν. Τόμ. Α'. σελ 305. Θεοδωρητ. Αἱρετ. κακομ. ά, 24.), οἱ Ὀφῖται (Εἰρην. ά. 30.), ὁ Πτολεμαῖος (Ἐπιφαν. Τόμ. ά, σελ. 217.), οἱ Ἀντιτακτῖται (Θεοδωρητ. Αἱρετ. κακομ, ά. 16.), ὁ Μάνης (Κύριλ. Ἱεροσ. Κατ. ΣΤ'. §. 27. Σωκρατ. Ἐκκλησ. Ἱστορ. ά, 22.). Ὁ Ἱερὸς Αὐγουστῖνος ἔγραψε Βίβλον ὅλην κατὰ τῶν βλασφημούντων νόμον καὶ Προφήτας, (Contra adversarios legis et prophet.).

[1]) Οὕτω καλῶς εὕρηνται γεγραμμέναι αἱ λέξεις αὗται ἐν τῷ Κώδ. Α. Ὁ Τ. ἐξέδωκε «καὶ φιλομαθῶς ἐπίγνωθι καὶ παρὰ τῆς Ἐκκλησίας».

[2]) Ὁ Τ. ἐξ αὐθεντίας τῶν Κωδίκων Roe καὶ Casaub. μετὰ τὸ «δια-

§. ΛΔ΄. Ἀλεξάνδρου γὰρ τοῦ Μακεδόνος βασιλέως τελευτήσαντος, καὶ τῆς βασιλείας εἰς τέσσαρας διαιρεθείσης ἀρχάς, εἴς τε τὴν Βαβυλωνίαν καὶ τὴν Μακεδονίαν, Ἀσίαν τε καὶ τὴν Αἴγυπτον, εἷς τῶν τῆς Αἰγύπτου βασιλέων, Πτολεμαῖος ὁ Φιλάδελφος, φιλολογώτατος γενόμενος βασιλεύς, καὶ[1]) τὰς κατὰ πανταχοῦ βίβλους συναθροίζων, παρὰ Δημητρίου τοῦ Φαληρέως, τοῦ τῆς βιβλιοθήκης προνοητοῦ, περὶ τῶν νομικῶν καὶ προφητικῶν θείων Γραφῶν ἐπακούσας, καὶ πολὺ κάλλιον κρίνας, οὐ παρὰ ἀκόντων ἀναγκαστῶς τὰ βιβλία κτήσασθαι, ἀλλ' ἐξιλεώσασθαι δώροις μᾶλλον καὶ φιλίᾳ τοὺς ἔχοντας, καὶ γινώσκων ὅτι τὸ μὲν ἀναγκαστὸν δολοῦται πολλάκις, ἀπροαιρέτως διδόμενον, τὸ δ' ἐκ προαιρέσεως παρεχόμενον σὺν ἀληθείᾳ τῇ πάσῃ δωρεῖται, Ἐλεαζάρῳ τῷ τότε ἀρχιερεῖ πλεῖστα δῶρα πέμψας εἰς τὸν ἐνταῦθα τῶν Ἱεροσολύμων ναόν, ἓξ ἄνδρας[2]) κατὰ φυλὴν τῶν δώδεκα τοῦ Ἰσραὴλ φυλῶν, πρὸς ἑαυτὸν εἰς ἑρμηνείαν ἐποίησεν ἀποστεῖλαι[3])· εἶτα καὶ τοῦ θείας ἢ μὴ τὰς βίβλους εἶναι λαμβάνων ἀπόπειραν, καὶ πρὸς τὸ μὴ συνδυάσαι πρὸς ἀλλήλους τοὺς ἀποσταλέντας ὑποπτεύσας[4]), ἐν τῇ λεγομένῃ Φάρῳ, τῇ πρὸς Ἀλεξάνδρειαν κειμένῃ, τῶν παραγενομένων ἑρμηνευτῶν ἑκάστῳ ἴδιον οἶκον ἀπονείμας, ἑκάστῳ πάσας τὰς Γραφὰς ἐπέτρεψεν ἑρμηνεῦσαι. Τούτων δὲ ἐν ἑβδομήκοντα καὶ[5]) δύο ἡμέραις τὸ πρᾶγμα πληρωσάντων, τὰς ὁμοῦ πάντων ἑρμηνείας, ἃς κατὰ διαφόρους οἴκους, ἀλλήλοις μὴ προσιόντες[6]), ἐποιήσαντο, συναγαγὼν ἐπὶ τὸ αὐτό, οὐ μόνον

θήκης» προσέθηκε «ταύτας»· ἀλλ' ἡ λέξις αὕτη, ὅλως περιττὴ οὖσα, λείπει ἐκ τοῦ Κώδ. Α.

[1]) Τὸν «καὶ» προσεθήκαμεν ἐκ τῶν Κωδ. Α., R., C.

[2]) Τὴν λέξιν «ἄνδρας», λείπουσαν ἐκ τῶν ἄχρι τοῦδε ἐκδόσεων, προσεθήκαμεν ἐκ τοῦ ἡμετέρου ἀρχιεπισκοπικοῦ Κώδηκος.

[3]) Ἐν τῷ Κώδ. Α. κεῖται οὕτω· «εἰς ἑρμηνείαν ἀποστεῖλαι ἠξίωσεν».

[4]) Ἀντὶ «ὑποπτεύσας», ὁ Τ. αἱρεῖται μᾶλλον γράφειν «ἐποπτεύσας»· ἀλλ' ἐπειδὴ ἐν πᾶσι τοῖς Κώδηξι κεῖται «ὑποπτεύσας», ἐάσθω κατὰ χώραν ἡ αὐθεντικὴ λέξις, ἥτις σημαίνει ἐνταῦθα «ὑπιδὼν» τουτέστι καθ' ἑαυτὸν νοήσας καὶ φροντίσας.

[5]) Ὁ «καὶ» λείπει ἐκ τοῦ Κώδ. Α. ὁμοίως καὶ ἐκ τῶν Κωδ. R., C.

[6]) Ἐγράψαμεν τὸ προσφυέστερον «προσιόντες» ἐκ τῶν Κωδ. R., C.

ἐν νοήμασιν, ἀλλὰ καὶ ἐν λέξεσιν εὗρε συμφώνους· οὐ γὰρ εὑρεσιλογία καὶ κατασκευὴ σοφισμάτων ἀνθρωπίνων ἦν τὸ γινόμενον, ἀλλ' ἐκ Πνεύματος ἁγίου ἡ τῶν ἁγίῳ Πνεύματι[1]) λαληθεισῶν γραφῶν ἑρμηνεία συνετελεῖτο[2]).

§. ΛΕ'. Τούτων τὰς εἴκοσι δύο βίβλους ἀναγίνωσκε, πρὸς δὲ τὰ ἀπόκρυφα μηδὲν ἔχε κοινόν. Ταύτας μόνας μελέτα σπουδαίως, ἃς καὶ ἐν Ἐκκλησίᾳ μετὰ παῤῥησίας ἀναγινώσκομεν. Πολύ σου φρονιμώτεροι καὶ εὐλαβέστεροι ἦσαν οἱ Ἀπόστολοι καὶ οἱ ἀρχαῖοι ἐπίσκοποι, οἱ τῆς Ἐκκλησίας[3]) προστάται, οἱ ταύτας παραδόντες. Σὺ οὖν τέκνον τῆς Ἐκκλησίας ὤν, μὴ παραχάραττε τοὺς θεσμούς. Καὶ τῆς μὲν Παλαιᾶς Διαθήκης, ὡς εἴρηται, τὰς εἴκοσι δύο μελέτα βίβλους, ἅς, εἰ φιλομαθὴς τυγχάνεις, ἐμοῦ λέγοντος, ὀνομαστὶ μεμνῆσθαι σπούδασον. Τοῦ νόμου μὲν γάρ[4]) εἰσιν αἱ Μωσέως πρῶται πέντε βίβλοι, Γένεσις, Ἔξοδος, Λευϊτικόν, Ἀριθμοί, Δευτερονόμιον· ἑξῆς δέ, Ἰησοῦς υἱὸς Ναυῆ, καὶ τὸ τῶν Κριτῶν μετὰ τῆς Ῥοὺθ βιβλίον, ἕβδομον ἀριθμούμενον. Τῶν δὲ λοιπῶν ἱστορικῶν βιβλίων ἡ πρώτη καὶ ἡ δευτέρα τῶν Βασιλειῶν μία παρ' Ἑβραίοις ἐστὶ βίβλος· μία δὲ καὶ ἡ τρίτη καὶ τετάρτη· ὁμοίως δὲ παρ' αὐτοῖς καὶ τῶν Παραλειπομένων ἡ πρώτη καὶ ἡ δευτέρα, μία τυγχάνει βίβλος· καὶ τοῦ Ἔσδρα ἡ πρώτη καὶ ἡ δευτέρα μία λελόγισται· δωδεκάτη βίβλος ἡ

Αἱ ἄχρι τοῦδε ἐκδόσεις ἔχουσι «προσιέντες».

[1]) Ἐν τῷ Κώδ. Α. ἀντὶ τοῦ «ἁγίῳ Πνεύματι λαληθεισῶν γραφῶν» κεῖται μόνον «θείων γραφῶν».

[2]) Ὅτι ἡ ἑρμηνεία τῶν Ο'. συνετελέσθη οὐκ ἐξ ἀνθρωπίνης μόνον σοφίας καὶ ἱκανότητος, ἀλλὰ καὶ ἐκ τῆς θείας ἐλλάμψεως, τὴν διάνοιαν τῶν ἑρμηνευόντων καταλαμπούσης, καὶ πρὸς τὸ εὐθὲς νόημα καὶ ῥῆμα καθοδηγούσης, τοῦτο μετὰ τοῦ ἡμετέρου Κυρίλλου ἀποδέχεται καὶ ἀνακηρύττει περιφανεστάτη χορεία ἐκκλησιαστικῶν Πατέρων· ὁ Ἰουστῖνος, ὁ Εἰρηναῖος, ὁ Ἀλεξανδρεὺς Κλήμης, ὁ Εὐσέβιος, ὁ Ἱλάριος, ὁ Ἐπιφάνιος, ὁ Αὐγουστῖνος, ὁ Θεοδώρητος κλ., ὧν τὰς λέξεις καὶ μαρτυρίας ἀνάγνωθι κατεστρωμένας ἐν τῷ παραρτήματι τοῦ Δ'. Τόμου τοῦ περὶ τῶν Ο'. Ἑρμηνευτῶν συγγράμματος τοῦ ἀοιδίμου Οἰκονόμου.

[3]) Ἀντὶ «Ἐκκλησίας» ὁ Κώδ. Α. ἔχει «ἀληθείας».

[4]) Ὁ «γὰρ» λείπει ἐκ τοῦ Κώδ. Α.

Ἐσθήρ. Καὶ τὰ μὲν ἱστορικὰ ταῦτα· τὰ δὲ στιχηρὰ τυγχάνει πέντε· Ἰὼβ, καὶ βίβλος Ψαλμῶν, καὶ Παροιμίαι, καὶ Ἐκκλησιαστής, καὶ Ἆσμα ᾀσμάτων ἑπτακαιδέκατον βιβλίον. Ἐπὶ δὲ τούτοις τὰ προφητικὰ πέντε· τῶν δώδεκα Προφητῶν μία βίβλος, καὶ Ἠσαΐου μία, καὶ Ἱερεμίου μία μετὰ Βαροὺχ καὶ Θρήνων καὶ ἐπιστολῆς. εἶτα Ἰεζεκιὴλ, καὶ ἡ τοῦ Δανιὴλ, εἰκοστὴ δευτέρα βίβλος τῆς Παλαιᾶς Διαθήκης[1]).

---

[1]) Δύο καὶ εἴκοσι βίβλους τῆς Παλαιᾶς Διαθήκης ἀριθμεῖ ὁ Κύριλλος ἐνταῦθα, ὡς κανονικὰς καὶ θεοπνεύστους καὶ παρὰ πάντων κεκυρωμένας. Ὁ τύπος οὗτος τῶν εἴκοσι δύο βιβλίων, κατὰ τὰ κβʹ. γράμματα τοῦ Ἑβραϊκοῦ ἀλφαβήτου, ἐςὶν ἀρχαιότατος, καὶ ἄνωθεν ἐκ τῆς Παλαιᾶς Συναγωγῆς κατεληλυθὼς, καὶ παρ' αὐτοῦ ἤδη τοῦ Ἑβραίου Ἰωσήπου μνημονευόμενος· «Δύο δὲ μόνα πρὸς τοῖς εἴκοσι βιβλία, τοῦ παντὸς ἔχοντα χρόνου τὴν ἀναγραφὴν τὰ δικαίως θεῖα πεπιστευμένα» (Κατὰ Ἀπίωνος ά. 8.). Λέγει δὲ καὶ Ὠριγένης «Οὐκ ἀγνοητέον εἶναι τὰς ἐνδιαθήκους βίβλους, ὡς Ἑβραῖοι παραδιδόασι, δύο καὶ εἴκοσι, ὅσος ὁ ἀριθμὸς τῶν παρ' αὐτοῖς στοιχείων ἐστί» (παρὰ τῷ Εὐσεβ. Ἐκκλησ. Ἱστ. ςʹ, 25.). Ὁ τύπος καὶ ἀριθμὸς οὗτος εὕρηται ἀναγεγραμμένος ἐν πολλοῖς καὶ ἄλλοις καταλόγοις ὑπὸ τῶν ἱερῶν Πατέρων συντεταγμένοις εἰς δεῖξιν τῶν κανονικῶν βιβλίων τῆς Π. Δ. Τὸν ἀριθμὸν τοῦτον ἔχει ὁ Μ. Ἀθανάσιος (ἐν τῇ λθʹ. ἑορταστικῇ ἐπιςολῇ), ὁ Ἐπιφάνιος (Τόμ. Βʹ. σελ. 161), ὁ Ἱλάριος (Prolog. in Psalmos VIII. 15), ὁ Ἱερώνυμος (in Prolog. Galeat.), ὁ Ναζιανζηνὸς Γρηγόριος (Τόμ. Βʹ. σελ. 98.). Ἀλλ' ἀπορήσειεν ἄν τις δικαίως, διὰ τί εἴκοσι καὶ δύο μόνα ἀριθμοῦσι βιβλία ὅ,τε ἡμέτερος Κύριλλος καὶ οἱ Πατέρες ἐκεῖνοι, ἐν ᾧ πλείονα τῶν κβʹ. ἀποδέχεται ἡ Ἐκκλησία ὡς κανονικὰ καὶ θεόπνευστα. Ἡ Ἐκκλησία τάττει ἐν τοῖς κανονικοῖς τὴν σοφίαν τοῦ Σολομῶντος καὶ τὴν σοφίαν τοῦ Σειρὰχ, καὶ τὸν Τωβὶτ καὶ τὴν Ἰουδὶθ καὶ τοὺς Μακκαβαίους· τί δήποτε λοιπὸν οἱ Πατέρες ἐκεῖνοι ἀπέκλεισαν μὲν τὰ πέντε ταῦτα τεύχη, ἠρίθμησαν δὲ μόνα τὰ κβʹ; Ἡ λύσις τῆς ἀπορίας ταύτης ὑπάρχει πρόχειρος καὶ σαφής. Κατὰ τοὺς πρώτους αἰῶνας τοῦ χριστιανισμοῦ, ὅτε πολὺς ἦν ὁ βρασμὸς τῶν αἱρέσεων, καὶ πολλὰ ὑπὸ αἱρετικῶν ἐχαλκεύοντο τεύχη, κακοβούλως ἀποστολικαῖς ἀνδράσιν ἀποδιδόμενα, λίαν προσεκτικοὶ καὶ πεφυλαγμένοι ἦσαν οἱ Πατέρες εἰς τὴν ἐπίσημον ἀπαρίθμησιν τῶν κανονικῶν βιβλίων· τοῦτο συνέβαινεν οὐκ ἐπὶ τῶν βιβλίων μόνον τῆς Π. Γραφῆς, ἀλλὰ καὶ ἐπὶ τῶν τῆς Νέας· Ὁσάκις ἡ γνησιότης καὶ αὐθεντία ἑνὸς βιβλίου οὐκ ἦν παρὰ

§. ΛϚʹ. Τῆς δὲ Καινῆς Διαθήκης τὰ τέσσαρα μόνα Εὐαγγέλια· τὰ δὲ λοιπὰ ψευδεπίγραφα καὶ βλαβερὰ τυγχάνει[1]). Ἔγραψαν καὶ

πάσης τῆς καθολικῆς Ἐκκλησίας ἀνωμολογημένη καὶ ἀνεγνωρισμένη καὶ ἐπισήμως κεκυρωμένη, ἀλλ' ὑπέκειτο ἀμφιβολίαις, καὶ εὕρισκεν ἀντιλογίας, ἐπεῖχον οἱ Πατέρες, οὐδ' ἔταττον αὐτὸ ὡς κανονικὸν ἐν οἷς ἔγραφον ἐπισήμοις καταλόγοις· ἐκεῖνα δὲ μόνα παρεδίδοσαν ἐπισήμως ὡς κανονικὰ καὶ θεόπνευστα, ὧν ἡ γνησιότης ἦν ἀναμφίλεκτος καὶ πανομολόγητος καὶ ὑπὸ πάσης τῆς Ἐκκλησίας ἀνεγνωρισμένη, καὶ μηδεμιᾷ ἀντιλογίᾳ ὑποκειμένη. Τοῦτο δὲ ἐποίουν οἱ ἱεροὶ Πατέρες, οὐχὶ διότι καὶ αὐτοὶ ἐδίσαζον πάντως περὶ τῆς γνησιότητος καὶ θεοπνευςίας τῶν ἀντιλεγομένων, ἀλλὰ διότι ἐν οἷς ἐξετίθεντο καταλόγοις ἤθελον ἵνα μὴ ἄλλα ἐμπεριέχωσιν, ἢ τὰ ἀραρότως κανονικὰ καὶ ἀναντιῤῥήτως αὐθεντικὰ, καὶ ἄνωθεν ἐκ Πατέρων ἀσαλεύτως κεκυρωμένα καὶ καθολικῇ φωνῇ κεκηρυγμένα καὶ πεπιςευμένα. Ὅτι δὲ οἱ Πατέρες αὐτοὶ, καί τοι μὴ κατέγραφον ἐν τοῖς καταλόγοις βιβλία τινὰ, ἀπεδέχοντο ὅμως αὐτὰ ὡς κανονικὰ, καὶ οὐδόλως ἐδίσταζον περὶ τῆς αὐτῶν γνησιότητος, τοῦτο γίνεται μάλιστα φανερὸν ἐκ τοῦ ἡμετέρου Κυρίλλου, ὅστις ἐν ᾧ τὴν σοφίαν τοῦ Σολομῶντος ἀποσιωπᾷ ἐν τῷ καταλόγῳ, ῥητῶς ἀποδίδωσι ταύτην τῷ Σολομῶντι ἐν τῇ ἐννάτῃ Κατηχήσει §. 2. Ὁμοίως, ἐν ᾧ ἡ βίβλος τοῦ Σειρὰχ λείπει παντάπασιν ἐκ τοῦ καταλόγου, πυκναῖς ὁ Κύριλλος χρῆται ῥήσεσιν ἀπ' αὐτῆς ἐν Κατηχ. ΣΤʹ. §. 4. Κατηχ. ΙΑʹ. §. 19· Κατηχ. ΙΓʹ. §. 8. Τοῦτ' αὐτὸ ποιοῦσιν ἐν τοῖς ἑαυτῶν συγγράμμασι καὶ οἱ ἄλλοι Πατέρες, ὧν ἐμνήσθημεν ἀνωτέρω. Ὅρα περὶ αὐτῶν Οἰκονόμου περὶ τῶν Οʹ. Ἑρμηνευτῶν Τόμ. Δʹ. σελ. 181—219. Ὁ Κύριλλος λοιπὸν κατέλεξε τὰ βιβλία τῆς Π. Δ. κατὰ τὸν παλαιὸν Ἑβραϊκὸν κανόνα, θεὶς ἔξω τούτου ἐκεῖνα, ὅσων ἡ κανονικότης τότε μὲν εἰσέτι ἦν ἀσυμπαγὴς καὶ καθολικοῦ κύρους ἐστερημένη, ἐν δὲ τοῖς ἔπειτα χρόνοις πανδήμως κρατυνθεῖσα ἐβεβαιώθη, καὶ καθολικῶς ὡμολογήθη, καὶ παρὰ πάντων τῶν Ὀρθοδόξων ἀναντιῤῥήτως ἐπιστεύθη.

[1]) Ψευδεπίγραφα εὐαγγέλια ἐλέγοντο τὰ ὑπὸ αἱρετικῶν μὲν καὶ ἀγνώστων ἀνθρώπων συντεταγμένα, τοῖς ὀνόμασι δὲ τῶν Ἀποστόλων ψευδῶς ἐπιγεγραμμένα. Τοιαῦτα εὐαγγέλια πολλὰ περιεφέροντο τὸ πάλαι, κατ' αὐτοὺς ἤδη τοὺς πρώτους ἀποστολικοὺς χρόνους ἀναφανέντα, ἅπερ καὶ ὁ Λουκᾶς φαίνεται δηλῶν ἐν τῇ ἀρχῇ τοῦ κατ' αὐτὸν Εὐαγγελίου. Τούτων τὰ μὲν ἀπώλοντο εἰς τὸ παντελὲς, τὴν ὀνομασίαν μόνον καταλιπόντα, τὰ δὲ ἐν τεμαχίοις μόλις καὶ ἀποσπάσμασιν ἐτηρήθησαν, τὰ δὲ καὶ ἄχρις ἡμῶν σῶα καὶ τέλεια διεσώ-

θησαν, εἴτε ἐν τῇ ἑλλάδι γλώσσῃ, εἴτε εἰς λατινικὰς μεταφράσεις. Σύντομός τις δεῖξις καὶ ἀπαρίθμησις τῶν ἀποκρύφων καὶ ψευδεπιγράφων τούτων εὐαγγελίων οὐκ ἀσυντελὴς, οὐδὲ περιττὴ ἔσται, νομίζομεν, τοῖς φιλομαθέσι· ά.) Τὸ καθ' Ἑβραίους εὐαγγέλιον, ὅπερ ἐπεγράφετο καὶ τῶν δώδεκα (« τὸ ἐπιγραφόμενον τῶν δώδεκα » Θεοφυλ. εἰς Λουκ. ά. 1.). Τούτῳ ἐχρῶντο οἱ μόλις χριστιανίζοντες Ἐβιωναῖοι καὶ Ναζωραῖοι· ἦν δὲ οὐδὲν ἄλλο, ἢ τὸ εὐαγγέλιον τοῦ Ματθαίου νενοθευμένον καὶ ἐν πολλοῖς παρεμβεβυσμένον (Εἰρην. ά. 26. γ'. 11. Ἐπιφάν. Τόμ. Α'. σελ. 137. Θεοδώρητ. αἱρετ. κακομ. β'. 1. Hieronym. ad Matth. 12, 13)· τεμάχιον ἐκ τοῦ εὐαγγελίου τούτου παρατίθησιν ὁ Ἐπιφάνιος (ἔνθ. ἀνωτέρω). β'.) Τὸ κατ' Αἰγυπτίους εὐαγγέλιον, ἐξ οὗ ἀναφέρουσι ῥήσεις οἱ δύο Κλήμεντες, ὅ τε Ῥώμης (Ἐπιστολ. β'. πρὸς Κορ §. 12) καὶ ὁ Ἀλεξανδρεὺς (Στρωμ. γ'. 13. §. 92)· τούτου τοῦ εὐαγγελίου μνείαν ποιοῦνται καὶ Ὠριγένης (Ὁμιλ. Α'. εἰς Λουκᾶν), καὶ Ἱερώνυμος (Procemio Comment. in Matth.), καὶ Τίτος Βόστρων (εἰς τὸ ά. κεφ. τοῦ Λουκᾶ), καὶ Θεοφύλακτος (εἰς τὸ ά. κεφ. τοῦ Λουκᾶ). Τῷ ἀποκρύφῳ τούτῳ εὐαγγελίῳ ἐχρῶντο ἐν τοῖς ἔπειτα χρόνοις οἱ Σαβελλιανοὶ πρὸς ὑποστήριξιν τῆς ἑαυτῶν πλάνης (Ἐπιφ. Τόμ. Α'. σελ. 514.). γ'.) Τὸ διὰ τεσσάρων εὐαγγελίων, ᾧπερ ἐχρήσατο ὁ Ἐγκρατίτης Τατιανὸς (Εὐσέβ. δ'. 29. Θεοδώρητ. αἱρετ. κακομ. ά. 10)· ἦν δὲ τοῦτο ἴσως ἁρμονία τις εὐαγγελικὴ, συγκεκαττυμένη μὲν ἀτάκτως ἐκ τῶν τεσσάρων Εὐαγγελίων, πολλαῖς δὲ ξέναις προσθήκαις νενοθευμένη ἐκ τοῦ καθ' Ἑβραίους εὐαγγελίου· ὅθεν τινὲς, κατὰ τὸν Ἐπιφάνιον, ἐνόμιζον, ὅτι ἦν αὐτὸ τὸ καθ' Ἑβραίους εὐαγγέλιον (Ἐπιφ. Τόμ. Α'. σελ. 391). δ'.) Τὸ πρωτευαγγέλιον τοῦ Ἰακώβου τοῦ Ἀδελφοθέου σώζεται τοῦτο ἑλληνιστὶ καὶ λατινιστί· ἡ ἑλληνικὴ ἐπιγραφὴ ἔχει οὕτω· « Διήγησις καὶ ἱστορία, πῶς ἐγεννήθη ἡ ὑπεραγία Θεοτόκος εἰς ἡμῶν σωτηρίαν». Τὸ εὐαγγέλιον τοῦτο εὕρηται καὶ ἐν ἑτέραις δυσὶ μεταφράσεσι, κοπτικῇ καὶ ἀραβικῇ. έ.) Τὸ εὐαγγέλιον περὶ τῆς γεννήσεως τῆς ὑπεραγίας Θεοτόκου· σώζεται λατινιστὶ μόνον ὑπὸ τὴν ἐπιγραφήν· « Evangelium de nativitate S. Mariæ ». ς'.) Τὸ εὐαγγέλιον τῆς νηπιότητος τοῦ Σωτῆρος, ὅπερ διηγεῖται θαυμαστά τινα καὶ παράδοξα ἐν τῇ νηπιώδει τοῦ Χριστοῦ ἡλικίᾳ συμβάντα. Σώζεται εἰς ἀραβικὴν μετάφρασιν γενομένην ἐκ τοῦ Συριακοῦ. Τὸ ἀραβικὸν τοῦτο κείμενον μετὰ λατινικῆς μεταφράσεως ἐξεδόθη ὑπὸ τοῦ Σικίου (Sike) ἐν ἔτει 1697. ζ'.) Τὸ εὐαγγέλιον τοῦ Θωμᾶ. Τὸ ἀπόκρυφον τοῦτο, ὑπερβαῖνον πάντα τὰ ἄλλα κατὰ

προσωνυμίας ἐπικεχρωσμένον[1]), διαφθείρει τὰς ψυχὰς τῶν ἁπλουστέρων. Δέχου δὲ καὶ τὰς Πράξεις τῶν δώδεκα Ἀποστόλων· πρὸς τούτοις δὲ καὶ τὰς ἑπτά, Ἰακώβου καὶ Πέτρου, καὶ Ἰωάννου καὶ Ἰούδα καθολικὰς Ἐπιστολάς. Ἐπισφράγισμα δὲ τῶν πάντων, καὶ μαθητῶν τὸ τελευταῖον[2]), τὰς Παύλου δεκατέσσαρας Ἐπιστο-

---

τὸ ἀηδὲς καὶ τερατῶδες τῆς διηγήσεως, ἐκτίθησι τὴν ἱστορίαν τῆς ἀπὸ τοῦ πέμπτου μέχρι τοῦ δεκάτου ἔτους ἡλικίας τοῦ Σωτῆρος· μνείαν τούτου ποιοῦνται καὶ Ὠριγένης (Ὁμιλ. Α΄. εἰς Λουκ.), καὶ Ἱερώνυμος (Prooemium in comment. super Matth.), καὶ Αὐγουστῖνος καὶ ἄλλοι. Ἓν περίεργον τεμάχιον τοῦ εὐαγγελίου τούτου ἐξέδωκεν ὁ Κοτελέριος ἐν τῇ ἐκδόσει τῶν ἀποστολικῶν Πατέρων (Τόμ. Α΄. σελ. 348.). Εὐαγγέλιον κατὰ Θωμᾶν, ὑπὸ Μανιχαίων γεγραμμένον, ἀναφέρει καὶ ὁ ἡμέτερος Κύριλλος ἐνταῦθα τε καὶ ἐν Κατηχ. ΣΤ΄. §. 31· ἔνθα λέγει· «Μηδεὶς ἀναγινωσκέτω τὸ κατὰ Θωμᾶν εὐαγγέλιον· οὐ γάρ ἐστιν ἑνὸς τῶν δώδεκα Ἀποστόλων, ἀλλ' ἑνὸς τῶν κακῶν τριῶν τοῦ Μάνη μαθητῶν». ή.) Τὸ κατὰ Πέτρον εὐαγγέλιον, οὗ μέμνηται καὶ Ὠριγένης (εἰς Ματθ. ιγ΄.), καὶ Εὐσέβ. (Ἐκκλ. Ἱστ. γ΄. 3, 25), καὶ Θεοδώρητος (αἱρετ. κακομ. β΄. 2.) θ΄.) Τὸ κατὰ Ματθίαν εὐαγγέλιον, περὶ οὗ ὁ Ὠριγένης (Ὁμιλ. Α΄. εἰς Λουκᾶν), ὁ Ἀμβρόσιος (Praefat. in Luc.) καὶ ὁ Εὐσέβιος (Ἐκκλ. Ἱστ. γ΄. 25.). ί.) Τὸ εὐαγγέλιον τοῦ Φιλίππου, οὗ μνημονεύει ὁ Ἐπιφάνιος (Τόμ. Α΄. σελ. 94.) καὶ Λεόντιος ὁ Βυζάντιος (περὶ αἱρέσ. πράξ. γ΄.). ιά.) Τὸ εὐαγγέλιον τοῦ Νικοδήμου, οὗ τὸ ἑλληνικὸν κείμενον ἐξεδόθη τῷ 1804. ιβ΄.) Τὸ εὐαγγέλιον τοῦ Βαρθολομαίου, μνημονευόμενον ἐν τοῖς ὑπὸ τοῦ Πάπα Γελασίου καταδεδικασμένοις ἀποκρύφοις. Ὅρα περὶ αὐτοῦ καὶ Ἱερώνυμον (ἐν τῷ προοιμίῳ εἰς τὸν Ματθαῖον), καὶ Ὠριγένην (ἐν τῇ Α΄. Ὁμιλ. εἰς τὸν Λουκᾶν). ιγ΄.) Τὸ εὐαγγέλιον τοῦ Ἰσκαριώτου Ἰούδα (Εἰρην. ά. 35. Θεοδώρητ. αἱρετ. κακομ. ά. 15.). ιδ΄.) Τὸ εὐαγγέλιον τῆς Εὔας, περὶ οὗ ὁ Ἐπιφάνιος (Τόμ. Α΄. σελ. 84.). Πλὴν τούτων περιεφέροντο καὶ ἄλλα πολλὰ εὐαγγέλια, ὀνόμασιν αἱρεσιαρχῶν ἐπιγεγραμμένα· οἷον τὸ εὐαγγέλιον τοῦ Βασιλείδου, τοῦ Ἀπελλοῦ, τοῦ Κηρίνθου, τοῦ Οὐαλεντίνου, τοῦ Μαρκίωνος κτλ.

[1]) Οὕτω μὲν εὕρηται ἡ φράσις ἐν ταῖς ἄχρι τοῦδε ἐκδόσεσιν· ἐν τῷ ἀρχιεπισκοπικῷ ὅμως Κώδηκι ἀντὶ τοῦ «εὐωδίᾳ τῆς εὐαγγελικῆς προσωνυμίας ἐπικεχρωσμένον» κεῖται ἁπλούστερον «ὡς διὰ τῆς εὐαγγελικῆς ἐπωνυμίας ἐπικεχρωσμένον».

[2]) Ἡ φράσις αὕτη ἐν τῷ Α. κεῖται οὕτως· «ἐπισφράγισμα δὲ πάντων τῶν μαθητῶν, τὸ τελευταῖον».

λάς[1])· τὰ δὲ λοιπὰ πάντα ἔξω κείσθω ἐν δευτέρῳ[2]). Καὶ ὅσα

[1]) Σημειώσεώς ἐστιν ἄξιον ἐνταῦθα, ὅτι ἀπεσιώπησεν ὁ Πατὴρ ἐν τῷ καταλόγῳ τὴν Ἀποκάλυψιν τοῦ Ἰωάννου· τοῦτο δὲ ἐξηγεῖται ἐντεῦθεν, ὅτι κατ' ἐκείνους τοὺς χρόνους ὑπῆρχεν ἔτι παρά τισιν Ἀνατολικοῖς ὑπόνοιά τις καὶ δισταγμὸς περὶ τῆς γνησιότητος τοῦ βιβλίου τούτου, καθὼς καὶ ἐν τῇ Δύσει ἐπεκράτει ἀμφιβολία περὶ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς. Τοῦτο μαρτυρεῖ ὁ Ἱερώνυμος λέγων· «Sicut Epistolam ad Hebræos Latinorum consuetudo non recipit inter Scripturas canonicas, ita nec Græcorum quidem Ecclesiæ Apocalypsin Joannis eadem libertate suscipiunt» (Epist. ad Dardanum). Τὴν Ἀποκάλυψιν τοῦ Ἰωάννου ἀπεσιώπησεν ἐν ᾧ ἐξέθετο καταλόγῳ καὶ ἡ ἐν Λαοδικείᾳ Σύνοδος. (Καν. Ξ΄.) Παλαιοὶ δέ τινες ἔπνευσαν καὶ σφοδρότεροι κατὰ τοῦ βιβλίου, παντάπασιν αὐτὸ ἀθετήσαντες καὶ ἀνασκευάσαντες, καὶ φρενὸς ἀποστολικῆς ἀνάξιον ὅλως κρίναντες (βλ. Εὐσεβ. Ἐκκλ. Ἱστ. ζ΄. 25.). Μετριώτερα ἐφθέγξατο κατὰ τῆς γνησιότητος Διονύσιος ὁ τῶν Ἀλεξανδρέων ἐπίσκοπος, οὗ τὰς ἀντιῤῥήσεις βλέπε παρὰ τῷ Εὐσεβίῳ (αὐτόθ.). Ἀλλ' οἱ δισταγμοὶ οὗτοι καὶ αἱ ἐνστάσεις τινῶν οὐδόλως ἐκνευροῦσιν, οὐδὲ καταργοῦσι, πολλοῦ γε καὶ δεῖ, τὸ ἄνωθεν ἐξ ἀποστολικῶν ἀνδρῶν κατεληλυθὸς κῦρος τῆς γνησιότητος τῆς τοῦ Θεολόγου Ἰωάννου Ἀποκαλύψεως. Πρῶτος καὶ ἀρχαιότατος μάρτυς τῆς γνησιότητός ἐστιν ὁ Παπίας, ὁ τῶν ἀποστολικῶν χρόνων ἐγγυτάτω γενόμενος (βλ. Ἀνδρέαν ἐν τῷ Προοιμ. εἰς τὴν Ἀποκάλ.). Μετὰ τὸν Παπίαν ἔρχονται ἄνδρες ἐν τῇ Ἐκκλησίᾳ περιφανέστατοι τῇ γνησιότητι ταύτῃ προσμαρτυροῦντες· οἷον ὁ Ἰουστῖνος (ἐν τῷ πρὸς Τρύφ. Διαλ.), ὁ Εἰρηναῖος (δ΄. 20), Κλήμης ὁ Ἀλεξανδρεὺς (Στρωμ. ς΄. 13.), ὁ Ἱππόλυτος (Ἀνδρ. ἐν τῷ Προοιμ. εἰς τὴν Ἀποκ.), ὁ Μεθόδιος (αὐτόθ.), ὁ Ὠριγένης (Τόμ. Β΄. σελ. 632), ὁ Κυπριανὸς (Opp. p. 354), ὁ Μ. Βασίλειος (κατὰ Εὐνομ. δ΄.), Γρηγόριος ὁ Ναζιανζηνὸς (Ἀνδρ. ἐν τῷ Προοιμ. εἰς τὴν Ἀποκ.), Γρηγόριος ὁ Νύσσης (Τόμ. Α΄. σελ. 323.), ὁ Μ. Ἀθανάσιος (Τόμ. Α΄. σελ. 167 καὶ 317.), ὁ Μ. Μακάριος (Ὁμιλ. Α΄.), ἡ ἐν Καρθαγένῃ Σύνοδος (Καν. λβ΄.), ὁ Ἐπιφάνιος (Τόμ. Α΄. σελ. 457.), ὁ Ἀμβρόσιος (de Virgin. l. 3.), ὁ Ἱερώνυμος (ad Psalm. 149), ὁ Αὐγουστῖνος (Epist. 118 καὶ de civ. Dei XVII, 4.), Κύριλλος Ἀλεξανδρείας (Ἀρέθ. ἐν τῷ Ὑπομνήμ. εἰς τὴν Ἀποκάλ.). Ἀπέναντι τοιαύτης κραταιᾶς καὶ πεπυκνωμένης καὶ θεσπεσίας φάλαγγος πᾶς δισταγμὸς καὶ πᾶσα μεμονωμένη ἀντίστασις πίπτει ἀδύνατος καὶ ἐξαφανίζεται.

[2]) Τὸ «ἔξω» λείπει ἐκ τῶν Κωδ. Α., Roe, Casaub. καὶ κεῖται μόνον «τὰ δὲ λοιπὰ πάντα ἐν δευτέρῳ κείσθω». Ὅρα περὶ τούτου κάλλιον τὸν

μὲν[1]) ἐν Ἐκκλησίαις μὴ ἀναγινώσκεται, ταῦτα μηδὲ κατὰ σαυτὸν ἀναγίνωσκε, καθὼς ἤκουσας. Καὶ περὶ μὲν τούτων ταῦτα.

§. ΛΖ΄. Φεῦγε δὲ πᾶσαν διαβολικὴν ἐνέργειαν, καὶ μὴ πείθου τῷ δράκοντι τῷ ἀποστάτῃ, ὃς ἐξ ἀγαθῆς ὑποστάσεως αὐτοπροαίρετον ἔσχε τὴν μεταβολήν· ὃς ἀναπεῖσαι μὲν δύναται τοὺς θέλοντας, ἀναγκάσαι δὲ οὐδένα[2]). Καὶ μήτε ἀστρολογίαις, μήτε ὀρνεοσκοπίαις, μήτε κληδόσι πρόσεχε, μηδὲ ταῖς μυθώδεσι τῶν Ἑλλήνων[3]) μαντείαις· φαρμακείαν δὲ[4]) καὶ ἐπαοιδίαν καὶ τὰ νεκυομαντειῶν παρανομώτατα πράγματα, μηδὲ μέχρις ἀκοῆς παραδέχου. Ἀπόστηθι παντὸς ἀκολασίας εἴδους, μήτε γαστριμαργῶν, μήτε φιληδονῶν, ὑπεράνω τε φιλαργυρίας ἁπάσης καὶ τοῦ τοκίζειν γενόμενος. Μήτε δὲ θεωριῶν ἐθνικοῖς ἀθροίσμασι παράβαλλε, μηδὲ ἐπιδέσμασιν[5]) ἐν νόσοις χρήσῃ ποτέ[6])· ἀποστρέφου δὲ πᾶσαν καὶ τοῦ καπηλοδυτεῖν[7]) τὴν χυδαιότητα·

Τουτέον καί, εἰ δόξει, ἄφελε τὸ «ἔξω» ἐκ τοῦ κειμένου.

[1]) Ὁ «μὲν» ἐλλείπει ἐκ τοῦ Α.

[2]) Ἀντὶ τοῦ «οὐδένα» ὁ Κώδ. Α. ἔχει «οὐ δύναται».

[3]) Ἀντὶ «Ἑλλήνων» ἐν τοῖς τρισὶ Κώδ. Α., Roe καὶ Casaub. κεῖται «εἰδώλων».

[4]) Τὸν «δὲ» προσεθήκαμεν ἐκ τοῦ Κώδ. Α.

[5]) Τρεῖς ἄλλοι Κώδ. σεσημειωμένοι ὑπὸ τοῦ Τ. ἔχουσιν «ἐπῳδήμασιν»· ἐν δὲ τῷ Κώδ. Α. κεῖται «ἐπιδήμασιν».

[6]) Τὰ ἐν ταῖς νόσοις ἐπιδέσματα καὶ περίαπτα καὶ τὰς ἐπῳδὰς καὶ πᾶσαν τὴν ἄλλην μαγγανείαν τῶν γραϊδίων εὐγλώττως ἐκπομπεύει καὶ αὐστηρῶς καταδικάζεται ὁ ἱερὸς Χρυσορρήμων (Τόμ. Β΄. σελ. 287.). Τὰ τοιαῦτα περίαπτα καὶ φυλακτήρια, δεσμωτήρια τῶν ψυχῶν ὀνομάζει ὁ λς΄. Καν. τῆς ἐν Λαοδικείᾳ Συνόδου, καὶ τοὺς φοροῦντας ῥίπτεσθαι ἐκ τῆς Ἐκκλησίας κελεύει. Ὁ ἱερὸς Γρηγόριος Νύσσης, ἐν τῷ τρίτῳ αὐτοῦ Κανόνι, τὸν ἐν ἀνάγκῃ τινὶ μικροψυχήσαντα καὶ εἰς μάντεις καὶ γόητας ἀπιόντα κανονίζει καθ' ὁμοιότητα τῶν πρὸς τὰς βασάνους ἐν καιρῷ τῆς ὁμολογίας τὸν Χριστὸν ἀρνηθέντων. Ὁ δὲ Μ. Βασίλειος τὰ τῶν φόνων ἐπιτίμια ἐπιβάλλει τοῖς τοιούτοις· «Ὁ μάντεσιν ἑαυτὸν ἐπιδούς, ἤ τισι τοιούτοις, τὸν χρόνον τῶν φονέων καὶ αὐτὸς ἐπιτιμηθήσεται» (Καν. οβ΄.).

[7]) Ἀντὶ τοῦ «καπηλοδυτεῖν», ὅπερ ἔγραψεν ἐνταῦθα ὁ Τουτέος ἐξ αὐθεντίας τεσσάρων Κωδήκων, ἄλλοι Κώδηκες καὶ ὁ Μ. ἔχουσι «τοῦ καπηλοδύτου». Ἔστι δὲ καπηλοδύτης ὁ δύων καὶ εἰσερχόμενος εἰς τὰ καπη-

καὶ μήτε εἰς Σαμαρειτισμὸν, ἢ Ἰουδαϊσμὸν ἐκπέσῃς· ἐλυτρώσατο γάρ σε λοιπὸν Ἰησοῦς ὁ Χριστός [1]). Πάσης σαββάτων παρατηρήσεως ἀπόστηθι, καὶ τοῦ κοινὸν ἢ ἀκάθαρτον λέγειν τι εἶναι τῶν ἀδιαφόρων βρωμάτων. Ἐξαιρέτως δὲ μίσει πάντα τὰ συνέδρια τῶν παρανόμων αἱρετικῶν, καὶ παντοίως τὴν σεαυτοῦ ψυχὴν ἀσφαλίζου, νηστείαις, προσευχαῖς, ἐλεημοσύναις τε [2]) καὶ θείων λογίων ἀναγνώσμασιν· ἵνα, μετὰ σωφροσύνης καὶ δογμάτων εὐσεβῶν τὸν ἐπίλοιπον ἐν σαρκὶ βιώσας χρόνον, τῆς μιᾶς τοῦ λουτροῦ σωτηρίας ἀπολαύσῃς· στρατολογηθεὶς δὲ οὕτως ἐν οὐρανίαις στρατιαῖς [3]) τῷ Πατρὶ καὶ Θεῷ, τῶν οὐρανίων καταξιωθῇς στεφάνων, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

λεῖα. Χυδαίου δὲ τῷ ὄντι καὶ ποταποῦ ἀνθρώπου τοῦτο καὶ πάντη ἀνάξιον ἀνδρῶν ὑψηλοφρόνων, καὶ τοῖς θείοις λόγοις ἐντρεφομένων, καὶ μεγάλα περὶ Θεοῦ διανοουμένων, καὶ βίον ἄμεμπτον πολιτευομένων. Διὰ τοῦτο καὶ ὑπὸ ἱερῶν Κανόνων αὐστηρῶς ἀπαγορεύεται τοῖς Κληρικοῖς καὶ Ἱερωμένοις τὸ εἰς καπηλεῖον εἰσέρχεσθαι. Καν Ἀποστ. νδ΄. Καν. θ΄. τῆς ἕκτης Συνόδ. Καν. κδ΄. τῆς ἐν Λαοδικ. Καν. μζ΄. τῆς ἐν Καρθαγ.

[1]) Πᾶσαι αἱ λέξεις ἀπὸ τοῦ «καὶ μήτε εἰς Σαμαρειτισμὸν» ἕως τοῦ «Ἰησοῦς ὁ Χριςὸς» λείπουσιν ἔκ τινων Κωδήκων, λείπουσι δὲ καὶ ἐκ τοῦ ἡμετέρου Α. Ἐπειδὴ ὅμως ἐξ αὐθεντίας τεσσάρων Κωδήκων κατεχωρήθησαν ἐν τῷ κειμένῳ ὑπὸ τοῦ Τ., ἐτηρήσαμεν αὐτὰς καὶ ἡμεῖς.

[2]) Τὸν «τε» προσεθήκαμεν ἐκ τῶν τριῶν Κωδήκων Α., R., C.

[3]) Ἐν τῷ Α. κεῖται «στρατολογηθεὶς δὲ οὕτως ἐν οὐρανοῖς τῷ Θεῷ καὶ Πατρί».

ΚΑΤΗΧΗΣΙΣ Ε΄.

ΦΩΤΙΖΟΜΕΝΩΝ,

Ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα περὶ πίστεως. Καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Ἑβραίους· «ἔστι δὲ πίστις ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων· ἐν ταύτῃ γὰρ ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι»· καὶ τὰ ἑξῆς.

§. Α΄. Ἡλίκον ὑμῖν ἀξίωμα δίδωσιν ὁ Κύριος ἀπὸ τοῦ τῶν κατηχουμένων τάγματος εἰς τὸ τῶν πιστῶν μετατιθέμενος[1]), Παῦλος ὁ Ἀπόστολος παριστάς, φησί· «Πιστὸς ὁ Θεός, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ». Θεοῦ γὰρ πιστοῦ καλουμένου, καὶ σὺ ταύτην τὴν προσηγορίαν λαμβάνεις, μέγα λαμβάνων ἀξίωμα. Ὥσπερ γὰρ καλεῖται ὁ[2]) Θεὸς ἀγαθός, καὶ δίκαιος, καὶ παντοκράτωρ, καὶ δημιουργὸς τῶν ὅλων, οὕτω καὶ πιστός. Λόγισαι τοίνυν εἰς ὁποῖον ἀξίωμα ἀναβαίνεις, Θεοῦ μέλλων προσηγορίας γίνεσθαι κοινωνός.

§. Β΄. Ὧδε οὖν ζητεῖται λοιπόν, ἵνα τις ἐξ ὑμῶν πιστὸς ἐκ συν-

---

[1]) Εἰς τὸ τάγμα τῶν πιστῶν καὶ εἰς τὸ τάγμα τῶν κατηχουμένων διαιρεῖ τὸν τῆς Ἐκκλησίας λαὸν καὶ ὁ Εὐσέβιος (Εὐαγγελ. Ἀποδ. ζ΄.)· «Τοῦ τῆς Ἐκκλησίας τοῦ Χριστοῦ λαοῦ εἰς δύο τάγματα διῃρημένου, εἴς τε τὸ τῶν πιστῶν, καὶ τῶν μηδέπω τῆς διὰ λουτροῦ παλλιγγενεσίας ἠξιωμένων». Περὶ δὲ τῆς προσηγορίας τοῦ πιστοῦ, περὶ ἧς ὁ λόγος ἐνταῦθα, βλέπε τὴν σημ. εἰς Προκατ. §. 6.

[2]) Τὸ ἄρθρον «ὁ» προσεθήκαμεν ἐκ τῶν τριῶν Κωδ. Α., R., C.

ειδήσεως εὑρεθῇ· «ἄνδρα γὰρ πιστὸν ἔργον ἐστιν εὑρεῖν» φησίν· οὐχ ἵνα ἐμοὶ δείξῃς σου τὴν συνείδησιν (οὐ γὰρ ὑπὸ ἀνθρωπίνης ἡμέρας ἀνακρίνεσθαι μέλλεις), ἀλλ' ἵνα τῷ Θεῷ δείξῃς τῆς πίστεως τὸ ἄδολον, τῷ ἐτάζοντι νεφροὺς καὶ καρδίας, καὶ γινώσκοντι τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων. Μέγα τι πρᾶγμά ἐστι πιστὸς ἀνήρ, παντὸς πλουσίου τυγχάνων πλουσιώτερος· «Τοῦ πιστοῦ γὰρ ὅλος ὁ κόσμος τῶν χρημάτων» [1]), τῷ ὑπερφρονεῖν αὐτὰ καὶ καταπατεῖν· οἱ μὲν γὰρ κατὰ τὸ φαινόμενον πλουτοῦντες καὶ πολλὰ κεκτημένοι πένητές εἰσι τὴν ψυχήν· ὅσῳ γὰρ πολλὰ συνάγουσι, τοσούτῳ τῇ τῶν λειπόντων ἐπιθυμίᾳ τήκονται· ὁ δὲ πιστὸς ἀνήρ, τὸ παραδοξότατον, ἐν πενίᾳ πλουτεῖ [2])· εἰδὼς γὰρ ὅτι δεῖ μόνον ἔχειν σκεπάσματα καὶ τροφάς, καὶ τούτοις ἀρκούμενος, πεπάτηκε τὸν πλοῦτον.

---

[1]) Ἡ ἐκ τῶν Παροιμιῶν αὕτη ῥῆσις, ἣν πλήρη ἐκφέρει ὁ Κύριλλος ἐν Κατ. Η'. §. 6. κεῖται ἐν μόνῃ τῇ μεταφράσει τῶν Ο', λείπουσα ἐκ τοῦ Ἑβραϊκοῦ. Ἀξιοθαύμαστος δέ ἐστιν ἡ τοῦ γνωμικοῦ τούτου ἑρμηνεία, ἡ ὑπὸ τοῦ ἱεροῦ Πατρὸς ἐνταῦθα παρατιθεμένη. Παράβαλε τὸ τοῦ Ἀλεξ. Κλήμεντος· «Πλοῦτος ἄριστος ἡ τῶν ἐπιθυμιῶν πενία, καὶ ἡ μεγαλοφροσύνη ἡ ἀληθὴς, οὐ τὸ ἐπὶ πλούτῳ μεγαλοφρονεῖν, τούτου δὲ καταφρονεῖν κτλ. (Παιδαγ. β'. 3.).

[2]) Παραπλήσια τοῖς τοῦ ἱεροῦ Κυρίλλου καὶ ὠφελιμώτατά εἰσιν ὅσα ἐν ταῖς τῷ μεγάλῳ Ἀντωνίῳ ἀποδιδομέναις παραινέσεσιν ἀναγινώσκομεν· «Ὅσον τις μετριώτερον ἔχει τὸν βίον, τοσοῦτον ὑπάρχει εὐδαιμονέστερος, ὅτι μὴ φροντίζει περὶ πολλῶν δούλων, γεωργῶν καὶ κτήσεως ἀλόγων· τούτοις γὰρ ἑαυτοὺς προσηλοῦντες, καὶ εἰς τὰ ἐκ τούτων συμβαίνοντα δυσχερῆ περιπίπτοντες, μεμφόμεθα τὸν Θεόν. Τὴν τῶν χρημάτων κτῆσιν, καὶ τὴν πλουσίαν χρῆσιν, φαντασίαν μόνην ὀλιγοχρόνιον λογιζόμενος, καὶ γινώσκων ὅτι ἡ ἐνάρετος καὶ τῷ Θεῷ ἀρέσκουσα πολιτεία, τοῦ πλούτου διαφέρει, τοῦτο ἀσφαλῶς μελετῶν καὶ διὰ μνήμης ἔχων, οὐ στενάξεις, οὐκ οἰμώξεις, οὐ μέμψῃ οὐδένα, ἀλλὰ περὶ πάντων εὐχαριστήσεις τῷ Θεῷ». Φιλοκαλ. τῶν ἱερῶν Πατέρων σελ. 12. Θαυμάσια δὲ καὶ τῶν τοῦ Κυρίλλου λόγων διασαφητικά εἰσι καὶ ὅσα λέγει ὁ μακάριος Κλήμης (ἐν τῷ Παιδαγωγῷ σελ. 608.). Πρβλ. καὶ Χρυσόστ. Τόμ. Α'. σελ. 891. Ἔλεγον δὲ καὶ οἱ Στωϊκοὶ (παρὰ τῷ Στοβαίῳ Ἐκλογ. ἠθ. βιβλ. β'.) «τὸν σπουδαῖον εἶναι μόνον πλούσιον καὶ ἐλεύθερον, τὸν δὲ φαῦλον τοὐναντίον πένητα».

§. Γ'. Καὶ οὐ παρ' ἡμῖν γε μόνοις, τοῖς τὴν τοῦ Χριστοῦ προσηγορίαν ἔχουσι, μέγα τὸ τῆς πίστεώς ἐστιν. ἀξίωμα, ἀλλὰ γὰρ καὶ πάντα τὰ ἐν τῷ κόσμῳ τελούμενα, καὶ τὰ[1]) ὑπὸ τῶν ἀλλοτρίων τῆς Ἐκκλησίας, τῇ πίστει τελεῖται[2]). Πίστει τοὺς ἀπεξενωμένους γαμικοὶ

---

[1]) Ἐν τῷ Κώδ. Α. λείπει τὸ ἄρθρον «τά».

[2]) Οὐ μόνον ἐν τοῖς μυστηρίοις τῆς εὐσεβείας, ἀλλὰ καὶ ἐν αὐτοῖς τοῖς κατὰ τὸν βίον πράγμασιν ἡ πίστις ἐστὶν ἀναγκαία. Τοῦτο δείκνυσιν ἐφεξῆς ὁ Πατὴρ διὰ πολλῶν παραδειγμάτων, ἐκ τοῦ κοινοῦ βίου εἰλημμένων. Καὶ ἄλλοι δὲ ἱεροὶ συγγραφεῖς, ἀγωνιζόμενοι μάλιστα κατὰ ἀπίςων, τὸ ἁπλοῦν καὶ ἀβασάνιστον τῆς ἡμετέρας πίστεως ὀνειδιζόντων, ἔχουσιν ὁμοίας ἐκθέσεις, ἵνα δείξωσιν, ὅτι καὶ αὐτὰ τὰ ἀνθρώπινα πράγματα ἀκατόρθωτα ἀποβαίνουσιν, ἂν μὴ προηγηθῇ καὶ ὡς ὑποβάθρα τεθῇ ἡ ἀνθρωπίνη πίστις. Παρατίθεμεν ἐνταῦθα τὰ τοῦ Εὐσεβίου ἐκ τῆς Εὐαγγελικῆς προπαρασκευῆς, πολλὴν ἔχοντα τὴν ὁμοιότητα πρὸς ἐκεῖνα τοῦ Κυρίλλου· «Οὕτω καὶ τέχνας ἄνθρωποι τὰς μέσας μετῆλθον, καὶ ἄλλοι τὸν στρατιωτικὸν, ἄλλοι δὲ τὸν ἐμπορικὸν βίον, πίστει πάλαι προειληφότες βιοποριστικὸν αὐτοῖς ἔσεσθαι τὸ ἐπιτήδευμα. Καὶ γάμον δὲ αἱ πρῶται σύνοδοι καὶ κοινωνίαι τῆς κατὰ παιδοποιΐαν ἐλπίδος ἐξ ἀγαθῆς ἐνήρξαντο πίστεως. Καὶ πλεῖ τις αὖθις εἰς ἄδηλον, οὐδ' ἄλλην προβεβλημένος τῆς σωτηρίας ἄγκυραν, ἢ μόνην τὴν πίστιν καὶ τὴν ἀγαθὴν ἐλπίδα. Καὶ γεωργεῖ πάλιν ἄλλος, καὶ τὸν σπόρον εἰς γῆν ἀποῤῥίψας κάθηται, τῆς ὥρας τὴν τροπὴν ἐκδεχόμενος, πιστεύων τὸ φθαρὲν ἐπὶ γῆς καὶ πλημμυρίσιν ὑετῶν καλυφθὲν, αὖθις ὥσπερ ἐκ νεκρῶν ἀναβιώσεσθαι. Πορείαν δέ τις μακρὰν ἐπ' ἀλλοδαπὴν ἐκ τῆς οἰκείας στελλόμενος, πάλιν τὴν ἐλπίδα καὶ τὴν πίςιν ἀγαθὰς ὁδηγοὺς ἑαυτῷ συνεπάγεται. Καὶ τί γὰρ ἄλλ' ἢ τὸν πάντα τῶν ἀνθρώπων βίον δυοῖν τούτων ἀνηρτημένον, ἐλπίδος τε καὶ πίςεως, καταλαμβάνομεν» ; Εὐαγγελ. Προπαρασκ. βιβλ. Α'. Ὅμοια περὶ ταύτης τῆς ὑποθέσεως ἔγραψαν καὶ Ὠριγένης (κατὰ Κέλσου βιβλ. ά.), καὶ Θεοδώρητος (Ἑλλην. Θεραπευτ. παθημάτων Λογ. ά. Τόμ. Δ'. σελ. 480), καὶ Χρυσόστομος (Ὁμιλ. Α'. εἰς τὴν ά. πρὸς Τιμ.). Φησὶ δὲ καὶ ὁ Ῥουφῖνος (in Symbolum) «nihil est quod in vita geri possit, si non credulitas ante præcesserit.». Ὁ δὲ Μ. Βασίλ. δείκνυσι τὴν ἀνάγκην τῆς πίστεως καὶ ἐν αὐταῖς ταῖς ἐπιστήμαις, ὧν αἱ ἀρχαί εἰσιν ἀνεξέταστοι καὶ ἀναπόδεικτοι καὶ πίστει μόνῃ παραδεκταί· «Μηδεὶς καταχλευαζέτω τὸν λόγον, ὡς ἀβασανίστως ἡμῶν εἰς τὴν ὑπὲρ ὧν λέγομεν συγκατάθεσιν τοὺς ἀκούοντας ἐναγόντων· ἀνάγκη γὰρ ἑκάστης μαθήσεως ἀνεξετάστους εἶναι τὰς ἀρχὰς

νόμοι συνάπτουσιν εἰς ταὐτὸν, καὶ ἄνθρωπος ἀλλότριος σωμάτων καὶ χρημάτων ἀλλοτρίων διὰ τὴν ἐν γαμικοῖς συμβολαίοις πίστιν γίνεται κοινωνός. Πίστει καὶ γεωργία συνίσταται· ὁ γὰρ μὴ πιστεύων λήψεσθαι καρποφορίαν, οὐχ ὑπομένει τοὺς καμάτους. Πίστει θαλαττεύοντες ἄνθρωποι, μικροτάτῳ ξύλῳ πιστεύσαντες, τὴν ἄστατον τῶν κυμάτων φορὰν τοῦ στεῤῥοτάτου στοιχείου, τῆς γῆς, ἀντικαταλλάττονται, ἀδήλοις ἑαυτοὺς ἐπιδιδόντες ἐλπίσι, καὶ πάσης ἀγκύρας ἀσφαλεστέραν ἐπαγόμενοι τὴν πίστιν. Κατὰ πίστιν τοίνυν συνέστηκε τὰ πλεῖστα τῶν ἀνθρώπων πράγματα· καὶ οὐ παρ' ἡμῖν μόνοις τοῦτο πεπίστευται, ἀλλὰ καὶ παρὰ τοῖς ἔξωθεν, καθὼς εἴρηται· κἂν γὰρ μὴ δέχωνται τὰς Γραφὰς, οἰκεῖα δέ τινα προσφέρωσι διδάγματα, πίστει κἀκεῖνα παραδέχονται.

§. Δ'. Ἐπὶ τὴν πίστιν ὑμᾶς τὴν ἀληθῆ καλεῖ καὶ ἡ σήμερον ἀνάγνωσις γενομένη, τὴν ὁδὸν ὑμῖν παραστήσασα, πῶς δεῖ τῷ Θεῷ καὶ ὑμᾶς εὐαρεστῆσαι· φησὶ γὰρ, ὅτι χωρὶς πίστεως ἀδύνατόν ἐστιν εὐαρεστῆσαι. Πότε γὰρ προθήσεται ἄνθρωπος δουλεῦσαι τῷ Θεῷ, μὴ πιστεύων ὅτι γίνεται μισθαποδότης; πότε παρθενεύσει κόρη, καὶ[1]) σωφρονήσει νέος, μὴ πιστεύων ὅτι τῆς ἁγνείας ἀμάραντός ἐστι στέφανος; Ὀφθαλμὸς πάσης συνειδήσεώς ἐστι φωτιστικὸς ἡ πίστις καὶ συνέσεως ἐμποιητικὸς[2])· λέγει γὰρ ὁ Προφήτης· «Καὶ ἐὰν μὴ πι-

τοῖς μανθάνουσι· ἐπεὶ ἀμήχανον τοὺς περὶ τὰ πρῶτα ζυγομαχοῦντας δυνηθῆναι ὁδῷ καὶ τάξει προελθεῖν εἰς τὸ τέλος . . . (Τόμ. Α'. σελ. 526.).

[1]) Ἐν ταῖς ἐκδόσεσι τοῦ Μ. καὶ Τ. πρὸ τοῦ «καὶ» κεῖται ὁ διαζευκτικὸς «ἢ»· ἀλλὰ λείπει ὁ διαζευκτικὸς οὗτος ἐκ τοῦ ἡμετέρου ἀρχιεπισκοπικοῦ Κώδηκος, λείπει δὲ καὶ ἐκ τῶν Κωδ. Roe καὶ Casaub: διὰ τοῦτο παρελίπομεν τοῦτον καὶ ἡμεῖς.

[2]) Ἄριστα ὁ Κύριλλος ἀπεκάλεσε τὴν πίστιν ὀφθαλμὸν φωτιστικὸν καὶ συνέσεως ἐμποιητικόν· «ἡ γὰρ πίστις, λέγει ὁ Χρυσόστομος, ὄψις ἐστὶ τῶν ἀδήλων, καὶ εἰς τὴν αὐτὴν τοῖς ὁρωμένοις φέρει πληροφορίαν τὰ μὴ ὁρώμενα» (Ὁμιλ. ΚΑ'. εἰς τὴν πρὸς Ἑβρ.). Τὴν ἔννοιαν τοῦ θείου Κυρίλλου θαυμασίως ἐξηγοῦσι καὶ ἀναπτύσσουσι τὰ ἑξῆς τοῦ μακαρίου Θεοδωρήτου· «Χρεία ἡμῖν νοερῶν ὀμμάτων εἰς τὴν τῶν νοητῶν κατανόησιν· καὶ καθάπερ δεόμεθα τῶν τοῦ σώματος ὀφθαλμῶν εἰς τὴν θεωρίαν τῶν ὁρατῶν, οὕτω δήπου χρῄζομεν πίστεως εἰς τὴν ἐπο-

στεύσητε, οὐδὲ μὴ συνῆτε». Ἐμφράττει στόματα λεόντων ἡ πίστις κατὰ τὸν Δανιήλ· φησὶ γὰρ ἡ Γραφὴ περὶ αὐτοῦ, ὅτι «ἀνηνέχθη Δανιὴλ ἐκ τοῦ λάκκου, καὶ πᾶσα διαφθορὰ οὐχ εὑρέθη ἐν αὐτῷ, ὅτι ἐπίστευσεν ἐν τῷ Θεῷ αὐτοῦ». Ἔστι τι τοῦ Διαβόλου δεινότερον; ἀλλὰ καὶ πρὸς τοῦτον οὐδὲν ἕτερον ὅπλον ἔχομεν, ἢ τὴν πίστιν, ἀσώματον θυρεὸν κατ' ἐχθροῦ μὴ φαινομένου[1])· ἀποστέλλει μὲν γὰρ βέλη ποικίλα, καὶ κατατοξεύει ἐν σκοτομήνῃ τοὺς μὴ νήφοντας· ἀλλ' ἐπειδὴ μὴ φαίνεται ὁ ἐχθρός, περίβλημα κραταιὸν ἔχομεν τὴν πίστιν κατὰ τὸν Ἀπόστολον λέγοντα· «ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι». Πεπυρωμένον πολλάκις βέλος ἐπιθυμίας αἰσχρᾶς ἡδονῆς ἐκ Διαβόλου πέμπεται, ἀλλ' ἡ πίστις ὑπογράφουσα τὴν κρίσιν, καταψύξασα τὸν νοῦν, σβέννυσι τὸ βέλος.

§. Ε΄. Καὶ πολὺς ὁ περὶ τῆς πίστεως λόγος, καὶ οὐκ ἀρκετὸς ἡμῖν ὁ πᾶς τῆς ἡμέρας διηγουμένοις χρόνος· αὐτάρκης δὲ τέως[2]) ἡμῖν ἔστω τῶν ἐκ τῆς Παλαιᾶς τύπων μόνος Ἀβραάμ, ἐπειδὴ κἀκείνου γεγόναμεν υἱοὶ διὰ τῆς πίστεως. Ἐκεῖνος οὐκ ἐξ ἔργων μόνον ἐδικαιώθη, ἀλλὰ καὶ[3]) ἐκ πίστεως· πολλὰ μὲν γὰρ κατώρθωσεν, ἀλλ'

πτείαν τῶν θείων· ὅπερ γάρ δή ἐστιν ὀφθαλμὸς ἐν σώματι, τοῦτο ἄρα πίστις ἐν διανοίᾳ· μᾶλλον δὲ ὥσπερ ὀφθαλμὸς δεῖται φωτὸς ἐπιδεικνῦντος τὰ ὁρατὰ, οὕτω δὴ αὖ καὶ ὁ νοῦς δεῖται πίστεως ἐπιδεικνυούσης τὰ θεῖα, καὶ τὴν περὶ τούτου δόξαν φυλαττούσης βεβαίαν» (Ἑλλην. Θεραπευτ. παθημ. Λόγ. ά. Τόμ. Δ΄. σελ. 477.).

[1]) «Θυρεός ἐστιν ἡ πίστις, λέγει ὁ Χρυσόστομος, πρῶτος δεχόμενος τὰς τῶν ἐναντίων προσβολὰς, καὶ τὰ ὅπλα τηρῶν ἄτρωτα» (Τόμ. ΙΑ΄. σελ. 208.). Οὐ μόνον δὲ πρὸς τὸν θυρεὸν, ἀλλὰ καὶ πρὸς πολλὰ ἄλλα παρομοιάζεται ἡ πίστις, στερεότητα καὶ ἀσφάλειαν δηλοῦντα· οἷον πρὸς ἄγκυραν ἀσφαλῆ καὶ βεβαίαν (Χρυσοστ. Τόμ. Γ΄. σελ. 514.), πρὸς πέτραν ἀῤῥαγῆ (Χρυσόστ. Ὁμιλ. ΙΗ΄. εἰς τὴν ά. Τιμόθ.), πρὸς λιμένα ἀσφαλῆ (Χρυσός. Ὁμιλ. ΝΓ΄. εἰς τὰς Πράξ.), πρὸς θεμέλιον (Θεοφύλακτ. εἰς τὸ ϛ΄. κεφ. τῆς πρὸς Ἑβρ.), πρὸς βακτηρίαν (Χρυσόστ. Τόμ. Γ΄. σελ. 313.).

[2]) Οἱ Κώδ. Α., R., C. ἔχουσι «νῦν τέως».

[3]) Καλῶς ἐποίησεν ὁ Τ. προσθεὶς τὸν «καὶ»· ἐκ τῶν Κωδ. Roe καὶ Casaub. ἔχει τοῦτον καὶ ὁ Κώδηξ Α.

οὐδέποτε φίλος Θεοῦ ἐκλήθη, ἀλλ' ὅτε ἐπίστευσε· καὶ πᾶν δὲ ἔργον αὐτοῦ κατὰ πίστιν τετέλεσται[1])· κατέλιπε γονέας διὰ πίστιν· κατέλιπε πατρίδα καὶ χώραν καὶ οἰκίαν διὰ τὴν πίστιν. Ὥσπερ οὖν ἐκεῖνος ἐδικαιώθη, καὶ σὺ δικαιώθητι. Νεκρὸς ἦν λοιπὸν τῷ σώματι εἰς τεκνογονίαν· πρεσβύτης γὰρ ἦν, καὶ πρεσβύτιδα λοιπὸν εἶχε[2]) τὴν γαμετὴν Σάῤῥαν, καὶ τεκνογονίας ἐλπὶς οὐδεμία κατελείπετο· ὁ Θεὸς τῷ πρεσβύτῃ τεκνογονίαν ἐπαγγέλλεται, καὶ μὴ ἀσθενήσας τῇ πίςει ὁ Ἀβραάμ, καὶ κατανοήσας τὸ ἑαυτοῦ σῶμα ἤδη νενεκρωμένον, οὐ τῇ τοῦ σώματος ἀσθενείᾳ, ἀλλὰ τῇ δυνάμει τοῦ ἐπαγγελλομένου[3]) προσέχων, πιστὸν ἡγησάμενος τὸν ἐπαγγειλάμενον, ὥσπερ[4]) ἐκ νενεκρωμένων σωμάτων παραδόξως τὸ τέκνον ἐκτήσατο. Καὶ μετὰ τὸ κτήσασθαι κελευσθεὶς προσενέγκαι τὸν υἱὸν (καίτοι γε ἀκούσας τὸ, ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα) προσέφερε τὸν υἱὸν τὸν μονογενῆ

---

[1]) Πολλοὶ μὲν καὶ ἄλλοι δίκαιοι καὶ Προφῆται τῇ πίστει τελειωθέντες τῷ Θεῷ εὐηρέστησαν, ἀλλ' οὐδενὸς ἄλλου ἡ πίστις τοσοῦτον ἐξυμνεῖται καὶ ἐγκωμίοις γεραίρεται, ὅσον ἡ πίστις τοῦ Ἀβραάμ. Ταύτην θεωρεῖ ὁ Χρυσόστομος ὡς γνήσιον τύπον καὶ παράδειγμα τῆς ἡμετέρας πίστεως (Χρυσος. Τόμ. Θ'. σελ. 561.). «Μιμοῦ τὴν πίςιν τοῦ Ἀβραὰμ» κράζει καὶ ὁ Μ. Βασίλειος (Τόμ. Β'. σελ. 773.). Τὸ παράδειγμα τοῦ Ἀβραὰμ προβάλλει κατωτέρω καὶ ὁ ἡμέτερος Κύριλλος· «ὥσπερ οὖν ἐκεῖνος ἐδικαιώθη, καὶ σὺ δικαιώθητι». Ὁ Ἱερὸς Χρυσοῤῥήμων δίδωσι τὸν λόγον, διὰ τί ἡ πίστις τοῦ Ἀβραὰμ ἦν τοσοῦτον μεγάλη καὶ τὴν πίστιν πολλῶν ἄλλων πρὸ τοῦ νόμου δικαίων ὑπερβαίνουσα· «Μεγάλη ὄντως ἡ πίστις τοῦ Ἀβραάμ. Ἐπὶ μὲν γὰρ τοῦ Ἄβελ καὶ τοῦ Νῶε καὶ τοῦ Ἐνὼχ λογισμῶν ἦν μάχη μόνων, καὶ τοὺς ἀνθρωπίνους ὑπερβῆναι ἐχρῆν λογισμούς· ἐνταῦθα δὲ οὐ τοὺς ἀνθρωπίνους μόνον ὑπερβῆναι ἐχρῆν λογισμούς, ἀλλὰ καὶ ἕτερόν τι πλέον ἐπιδείξασθαι· τὰ γὰρ τοῦ Θεοῦ ἐδόκει τοῖς τοῦ Θεοῦ μάχεσθαι, καὶ πίστις ἐμάχετο πίστει, καὶ πρόσταγμα ἐπαγγελίᾳ».

[2]) Οὕτω προσφυῶς εἰς παρατατικὸν χρόνον κεῖται τὸ ῥῆμα ἐν τῷ Κώδ. Α. αἱ δὲ ἄχρι τοῦδε ἐκδόσεις ἔχουσιν «ἔσχε».

[3]) Οὕτως ἐν τῷ Κώδ. Α., ὁμοίως καὶ ἐν τοῖς Κώδ. Roe καὶ Casaub., ἐν δὲ τοῖς ἐκδεδομένοις κεῖται «τοῦ ἐπαγγέλλοντος».

[4]) Τὸ «ὥσπερ» λείπει ἐκ τοῦ Κώδηκος Α.

τῷ Θεῷ, πιστεύσας ὅτι καὶ ἐκ νεκρῶν ἐγεῖραι δύναται ὁ Θεός· καὶ συμποδίσας τὸν υἱὸν, καὶ τοῖς ξύλοις ἐπιθεὶς, τῇ προαιρέσει μὲν προσήνεγκεν, ἀγαθωσύνῃ δὲ Θεοῦ τὸν υἱὸν ἔλαβε ζῶντα, ἀμνὸν αὐτῷ παραδόντος ὑπὲρ τοῦ τέκνου. Ἐπὶ τούτοις πιστὸς ὢν, ἐσφραγίσθη εἰς δικαιοσύνην, καὶ περιτομὴν ἔλαβε, σφραγῖδα τῆς πίστεως τῆς ἐν τῇ ἀκροβυστίᾳ [1]), λαβὼν ἐπαγγελίαν ὅτι πατὴρ ἔσται πολλῶν ἐθνῶν.

§. ϛ'. Πῶς τοίνυν ἐστὶ πατὴρ πολλῶν ἐθνῶν ὁ Ἀβραὰμ, ἴδωμεν· Ἰουδαίων μὲν γάρ ἐστιν ὁμολογουμένως διὰ τὴν κατὰ σάρκα διαδοχήν· εἰ δὲ τῇ κατὰ σάρκα προσέχωμεν, ψευδὲς εἰπεῖν ἀναγκασθησόμεθα τὸ λόγιον· οὐκέτι γὰρ κατὰ σάρκα ἡμῶν πάντων ἐστὶ πατὴρ, ἀλλ᾽ ὁ τύπος τῆς ἐκείνου πίστεως πάντας ἡμᾶς υἱοὺς ποιεῖ τοῦ Ἀβραάμ. Πῶς καὶ τίνα τρόπον; Ἄπιστον παρὰ ἀνθρώποις τὸ

---

[1]) Ἡ περιτομὴ τοῦ Ἀβραὰμ ἦν σφραγὶς, τουτέστιν ἀπόδειξις καὶ σημεῖον τῆς ἐν τῇ ἀκροβυστίᾳ πίστεως αὐτοῦ· «Οὐ διά τι ἕτερον περιετμήθη, λέγει ὁ Οἰκουμένιος, ἢ διὰ τὸ σημεῖον καὶ ἀπόδειξιν ἐπιφέρεσθαι τὴν περιτομὴν τῆς ἐν τῇ ἀκροβυστίᾳ ὑπαρξάσης αὐτῷ δικαιοσύνης. Εἰ δὲ σημείων ἕνεκεν καὶ σφραγῖδος ἔλαβεν αὐτὴν, οὐδὲν αὕτη πρὸς τὴν δικαιοσύνην συνετέλεσεν, ἀλλὰ μόνον τὸ τοιῶσδε δεδικαιῶσθαι ἐσήμαινε, τουτέστιν, ὅτι ἐν τῇ ἀκροβυστίᾳ ὢν, ἠξιώθη τῆς δικαιοσύνης», (εἰς τὸ δ'. κεφ. τῆς πρὸς Ῥωμ.). Κατὰ ταῦτα ἡ περιτομὴ ἦν τύπος τοῦ ἁγίου Βαπτίσματος, ὡς διαληψόμεθα παρακατιόντες· ἀλλὰ πλὴν τοῦ σκοποῦ τούτου ἡ περιτομὴ ἦν καὶ δύο ἄλλων πραγμάτων ἐνδεικτική· ά.) τοῦ χωρισμοῦ καὶ τῆς διακρίσεως ἀπὸ πάντων τῶν ἄλλων ἐθνῶν· «ἡ περιτομὴ, οἱονεὶ σημείῳ τινὶ καὶ σφραγῖδι τοὺς ἐκγόνους Ἀβραὰμ ἀφορίζουσα, καὶ τῶν λοιπῶν διαστέλλουσα ἐθνῶν» Φώτιος (Ἐπιστ. 205.) «Ἰουδαίους, λέγει καὶ ὁ Χρυσόστομος, τὸ περιτομῆς σημεῖον ἐχώριζε τῶν λοιπῶν ἐθνῶν, καὶ τὴν οἰκείωσιν αὐτῶν τὴν πρὸς τὸν Θεὸν ἐδείκνυ». Βλ. καὶ Θεοδώρητ. (Ἐρωτ. ΞΗ'. εἰς Γέν.), Δαμασκ. (Ὀρθοδ. πίς. δ'., 26.)· β'.) ἡ περιτομὴ ἦν σύμβολον καὶ αἴνιγμα πολιτείας καθαρᾶς καὶ σώφρονος, ὡς λέγει ὁ Οἰκουμένιος (εἰς τὸ δ'. κεφ. τῆς πρὸς Ῥωμ.)· ἢ, κατὰ τὸν Φώτιον, ἦν «σύμβολον τῶν ἐν χάριτι καθισταμένων πιστῶν, οἳ τῶν σαρκικῶν ἡδονῶν καὶ παθῶν τὰς ἐπαναστάσεις τῷ τμητικῷ τῆς πίστεως λόγῳ καὶ πόνοις ἀσκητικοῖς ἐκτέμνουσι καὶ ἀπονεκροῦσιν, οὐ σῶμα τέμνοντες, ἀλλὰ τὴν καρδίαν» (Ἐπιστ. 205.)· βλ. καὶ Ἐπιφάνιον (Τόμ. Α'. σελ. 17.), καὶ Θεοδώρητ. (Ἐρωτ. ΞΗ'. εἰς Γέν.).

ἐκ νεκρῶν ἀναστῆναί τινα, ὥσπερ ὁμοίως ἄπιστον καὶ τὸ ἐκ νενεκρωμένων πρεσβυτῶν τεκνογονίαν γενέσθαι· ἀλλὰ Χριστοῦ καταγγελλομένου, ἐν ξύλῳ μὲν ἐσταυρωμένου, ἀποθανόντος δὲ καὶ ἀναστάντος, ἡμεῖς πιστεύομεν. Τῇ τοίνυν ὁμοιότητι τῆς πίστεως εἰς υἱοθεσίαν ἐρχόμεθα τοῦ Ἀβραάμ[1])· καὶ τότε μετὰ τὴν πίστιν ὁμοίως ἐκείνῳ τὴν πνευματικὴν λαμβάνομεν σφραγῖδα[2]), ἁγίῳ Πνεύματι διὰ τοῦ λουτροῦ περιτεμνόμενοι, οὐ τοῦ σώματος[3]) τὴν ἀκροβυστίαν, ἀλλὰ τὴν καρδίαν κατὰ τὸν Ἱερεμίαν λέγοντα· «Καὶ περιτεμεῖσθε τῷ Θεῷ τὴν ἀκροβυστίαν τῆς καρδίας ὑμῶν»[4])· καὶ κατὰ τὸν Ἀπόστο-

---

[1]) Πόσον καθαρῶς καὶ εὐλήπτως ἐξήγησεν ὁ Πατὴρ ἐνταῦθα τὴν ὁμοιότητα τῆς ἡμετέρας πίστεως πρὸς ἐκείνην τοῦ Ἀβραάμ! ἡ ὁμοιότης αὕτη, λέγει, ὑφίσταται ἐν τούτῳ, ὅτι καθὼς ὁ Ἀβραὰμ ἐπίστευσεν, ὅτι ἐκ νενεκρωμένων σωμάτων δύναται γενέσθαι τεκνογονία, οὕτω καὶ ἡμεῖς ἐπιστεύσαμεν, ὅτι ἐγήγερται ἐκ νεκρῶν ὁ Χριστός. Ὁμοιότατα τοῖς τοῦ ἱεροῦ Κυρίλλου εἰσὶ τὰ τοῦ μακαρίου Θεοδωρήτου· «Ὁ πατριάρχης νεκρὰν ὁρῶν τὴν τῆς ὁμοζύγου μήτραν, ἐπίςευσεν ὡς εὐπετὲς τῷ Θεῷ τὴν ἐπαγγελίαν πληρῶσαι· καὶ Ἰουδαίων ἡμεῖς ἀκούοντες, νεκρὸν ἀποκαλούντων τὸν ἡμέτερον Δεσπότην, πιστεύομεν ὡς ἐγήγερται· τρυγήσωμεν τοιγαροῦν καὶ ἡμεῖς τῆς πίστεως τοὺς καρπούς, καὶ τὴν ἐκ ταύτης φυομένην δικαιοσύνην δρεψώμεθα» (εἰς τὸ δ΄. κεφ. τῆς πρὸς Ῥωμ.).

[2]) Σφραγῖδα μὲν πίστεως ἔλαβεν ὁ Ἀβραὰμ τὴν περιτομήν, σφραγῖδα δὲ πίστεως λαμβάνομεν καὶ ἡμεῖς τὸ ἅγιον Βάπτισμα· ἄρα ἡ περιτομὴ ἦν τύπος καὶ σύμβολον τοῦ Βαπτίσματος· «Ἡ περιτομή, λέγει ὁ ἱερὸς Φώτιος, ἐν ἑαυτῇ τὴν τοῦ θείου Βαπτίσματος προδιατυποῦσα καὶ προανακηρύττουσα χάριν καὶ δύναμιν· ὥσπερ γὰρ ὁ περιτεμνόμενος εἰς λαὸν Θεοῦ διὰ τῆς σφραγῖδος πάλαι ἐχρημάτιζεν, οὕτως ὁ βαπτιζόμενος σφραγῖδα τοῦ Χριστοῦ ἐν ἑαυτῷ τυπωσάμενος, εἰς υἱοθεσίαν Θεοῦ ἀναγράφεται» (Ἐπιστ. 205. ὅρα καὶ Ἐπιστ. 248.). Λέγει δὲ καὶ ὁ θεῖος Δαμασκηνὸς (δ΄, 26.)· «Τύπος ἦν τοῦ Βαπτίσματος· καθάπερ γὰρ ἡ περιτομὴ οὐ χρειῶδες μέλος ἀποτέμνει τοῦ σώματος, ἀλλὰ περίττωμα ἄχρηστον, οὕτω διὰ τοῦ ἁγίου Βαπτίσματος τὴν ἁμαρτίαν περιτεμνόμεθα». Βλ. καὶ Ἐπιφαν. (Τόμ. Α΄. σελ. 17.), καὶ Ἀθανάσ. (Τόμ. Α΄. σελ. 763.).

[3]) Τὸ ἄρθρον «τοῦ» προσεθήκαμεν ἐκ τῶν τριῶν Κωδ. A., R., C.

[4]) Ἐν τῷ ἱερῷ τῆς Γραφῆς κειμένῳ οὕτως ἀναγινώσκεται ἡ προφητικὴ

λον· «Ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι» καὶ τὰ ἑξῆς.

§. Ζ΄. Ταύτην ἐὰν τηρήσωμεν τὴν πίστιν, ἀκατάγνωστοι ἐσόμεθα, καὶ παντοίοις ἀρετῶν εἴδεσι κοσμηθησόμεθα· τοσοῦτον γὰρ ἰσχύει ἡ πίστις, ὡς καὶ ἀνθρώπους ἐπὶ θαλάσσης κουφίζειν περιπατοῦντας. Ἄνθρωπος ὅμοιος ἡμῖν ἦν ὁ Πέτρος, ἐξ αἵματος καὶ σαρκὸς συγκείμενος, καὶ ἐκ τῶν ὁμοίων τροφῶν διαγινόμενος· ἀλλ᾽ εἰπόντι τῷ Ἰησοῦ[1]) «ἐλθὲ», πιστεύσας, περιπάτησεν· ἐπὶ τὰ ὕδατα, πάσης κρηπῖδος ἀσφαλεστέραν ἐπὶ τοῖς ὕδασιν ἔχων τὴν πίστιν· καὶ τὸ βαρὺ σῶμα τῇ κουφότητι τῆς πίστεως ἦν μετεωριζόμενον. Ἀλλὰ μέχρι μὲν ὅτου ἐπίστευσεν[2]), ὑπὲρ τὸ ὕδωρ εἶχεν ἀσφαλῆ τὴν βάσιν· ὅτε δὲ ἐδίστασε, τότε ἤρξατο καταποντίζεσθαι· χαυνουμένης γὰρ κατὰ μέρος τῆς πίστεως, συγκατεσπᾶτο καὶ τὸ σῶμα· καὶ συνιδὼν αὐτοῦ τὸ πάθος, ἔλεγεν ὁ τῶν ψυχῶν τὰ πάθη διορθούμενος Ἰησοῦς· «Ὀλιγόπιστε, εἰς τί ἐδίστασας»; καὶ πάλιν, νευρωθεὶς ὑπὸ τοῦ κρατήσαντος αὐτοῦ τὴν δεξιὰν, ἀφ᾽ οὗ πάλιν ἐπίστευσε, χειραγωγούμενος ὑπὸ τοῦ Δεσπότου, τὸν αὐτὸν ἐπὶ τῶν ὑδάτων ἀπέλαβε περίπατον· τοῦτο γὰρ πλαγίως[3]) ἐμνημόνευσε τὸ Εὐαγγέλιον εἰπὼν, ὅτι «ἀναβάντων δὲ αὐτῶν ἐπὶ τὸ πλοῖον»· οὐ γὰρ εἶπεν, ὅτι διακολυμβήσας ὁ Πέτρος ἀναβέβηκεν, ἀλλὰ δίδωσι νοεῖν, ὅτι ὅσον ἦλθε πρὸς τὸν Ἰησοῦν διάστημα, τοσοῦτον ἐπιστρέψας, πάλιν ἀνέβη ἐπὶ τὸ πλοῖον[4]).

αὕτη ῥῆσις· «Περιτμήθητε τῷ Θεῷ ὑμῶν, καὶ περιτέμνεσθε τὴν σκληροκαρδίαν ὑμῶν».

[1]) Ἐν τῷ Κώδ. Α. καὶ ἐν ἄλλοις κεῖται κατὰ γενικὴν πτῶσιν ἡ μετοχὴ «εἰπόντος τοῦ Ἰησοῦ».

[2]) Οἱ Κώδ. Α., Roe, Casaub. ἔχουσιν «ὅτε ἐπίστευσεν».

[3]) Ἀντὶ τοῦ «πλαγίως» ἐν ἄλλαις καὶ ἐν τῷ Κώδ. Α. κεῖται «ἀρτίως», ὅπερ ἐτήρησεν ἐν τῷ κειμένῳ καὶ ὁ Μ., ἀλλὰ προσφυέστερον ἀποδίδωσι νόημα τὸ «πλαγίως».

[4]) Τοῦτ᾽ αὐτὸ λέγει καὶ ὁ Ζυγαδηνός· «Οὐκ εὐθὺς ἀνέβησαν εἰς τὸ πλοῖον, ἀλλὰ, καὶ τοῦ ἀνέμου σφοδρῶς ἐγκειμένου, πολὺ διάστημα περιεπάτησαν ἔτι πρὸς πληροφορίαν τοῦ Πέτρου, καὶ ἔλεγχον τῆς ὀλιγοπιστίας αὐτοῦ»· Καιν. Διαθ. Τόμ. Α΄. σελ. 302. ἐκδ. Φαρμακ.

§. Η'. Τοσοῦτον δὲ ἔχει δυνάμεως ἡ πίστις, ὥστε οὐ μόνος ὁ πιστεύων σώζεται, ἀλλὰ γὰρ καὶ ἄλλοι[1]) ἄλλων πιστευσάντων ἐσώθησαν. Οὐκ ἦν πιστὸς ὁ παραλυτικὸς ὁ ἐν Καπερναοὺμ, ἀλλ' οἱ βαστάζοντες[2]) καὶ χαλάσαντες διὰ τῶν κεράμων ἐπίστευον· συνενόσει γὰρ τῷ σώματι τοῦ νοσοῦντος καὶ ἡ ψυχή. Καὶ μή με νομίσῃς ἐκείνου κατηγορεῖν μάτην· αὐτὸ τὸ Εὐαγγέλιον εἴρηκεν· «Ἰδὼν ὁ Ἰησοῦς» οὐ τὴν πίστιν αὐτοῦ, ἀλλὰ «τὴν πίστιν αὐτῶν, λέγει τῷ παραλυτικῷ· Ἔγειραι». Οἱ βαστάζοντες ἐπίστευσαν, καὶ ὁ παραλυτικὸς ἀπήλαυσε τῆς ἰάσεως[3]).

§. Θ'. Καὶ θέλεις ἰδεῖν ἀσφαλέστερον, ὅτι πίστεσιν ἄλλων ἄλλοι διασώζονται; Ἐτελεύτησεν ὁ Λάζαρος· παρεληλύθει μία, καὶ δευτέρα, καὶ τρίτη ἡμέρα· διελύθη τὰ νεῦρα αὐτοῦ, καὶ σηπεδὼν λοιπὸν ἐπενέμετο τὸ σῶμα. Πῶς ἐδύνατο πιστεῦσαι νεκρὸς τετραήμερος, καὶ ὑπὲρ ἑαυτοῦ παρακαλέσαι τὸν λυτρωτήν; ἀλλ' ὅπερ ἔλειπε τῷ τελευτηκότι, τοῦτο διὰ τῶν γνησίων ἀδελφῶν ἐπληροῦτο. Ἐλθόντι γὰρ τῷ Κυρίῳ προσέπεσεν ἡ ἀδελφὴ, καὶ λέγοντι, «ποῦ τεθείκατε αὐτόν»; ἀποκριναμένης ἐκείνης, «Κύριε ἤδη ὄζει, τεταρταῖος γάρ ἐστι», φησὶν ὁ Κύριος· «Ἐὰν πιστεύσῃς, ὄψει τὴν δόξαν τοῦ Θεοῦ», μονονουχὶ λέγων ὅτι, σὺ τοῦ νεκροῦ τὸ λεῖπον τῆς πίστεως ἀναπλήρωσον. Καὶ τοσοῦτον ἴσχυσε τῶν ἀδελφῶν ἡ πίστις, ὥστε

---

[1]) Ἐν ἁπάσαις ταῖς ἐκδόσεσιν ἐφέρετο «οἱ ἄλλοι»· ἡμεῖς, ἐπὶ τῆς αὐθεντίας τοῦ Κώδ. Α. στηριζόμενοι, ἐξωβελίσαμεν τὸ ἀκαταλλήλως κείμενον ἄρθρον «οἱ».

[2]) Ἐν τῷ Κώδ. Α. «βασάσαντες».

[3]) Οὐκ ἀποδέχεται τὴν γνώμην ταύτην ὁ ἱερὸς Χρυσοῤῥήμων· ναὶ μὲν, λέγει, εὕρηνται καὶ περιστάσεις, ἐν αἷς, ἄλλων πιστευσάντων, ἄλλοι ἐσώθησαν· οὐδὲν τοιοῦτον ὅμως συνέβη ἐν τῷ παραλυτικῷ τῆς Καπερναούμ· ἀλλὰ καὶ αὐτὸς μετὰ τῶν βασταζόντων ἐπίστευσε καὶ διὰ ταύτην αὐτοῦ τὴν πίστιν ἰάθη. Ἔξεστι παραθεῖναι αὐτὰς τὰς λέξεις τοῦ Χρυσοῦ Διδασκάλου· «Τινὲς μὲν οὖν φασὶν, ὅτι, τῶν προσενεγκάντων πιστευσάντων μόνον, οὗτος ἐθεραπεύετο· ἀλλ' οὐκ ἔστι τοῦτο. Ἰδὼν γὰρ τὴν πίστιν αὐτῶν, οὐχὶ τῶν προσενεγκάντων μόνον, ἀλλὰ καὶ τοῦ προσενεχθέντος κτλ.» (Τόμ. Γ'. σελ. 49.). Ἀλλὰ πρὸς τὸν ἡμέτερον Κύριλλον συνᾴδει καὶ Ἱερώνυμος (epistola 122 ad Rusticum).

τὸν νεκρὸν ἐξ ᾅδου πυλῶν ἀνεκαλέσατο. Εἶτα ἕτεροι ὑπὲρ ἑτέρων πιστεύσαντες, ἐκ νεκρῶν ἀναστῆσαι[1]) ἴσχυσαν· σὺ δὲ, ἐὰν περὶ σεαυτοῦ πιστεύσῃς εἰλικρινῶς, ἆρ' οὐχὶ μᾶλλον ὠφεληθήσῃ; ἀλλὰ κἂν ἄπιστος ᾖς ἢ ὀλιγόπιστος, φιλάνθρωπός ἐστιν ὁ Κύριος, συμπεριφέρεταί σοι μετανοοῦντι· μόνον εἰπὲ καὶ αὐτὸς εὐγνωμόνως· «Πιστεύω, Κύριε, βοήθει μου τῇ ἀπιστίᾳ». Εἰ δὲ καὶ πιστὸς εἶναι νομίζεις, ἀλλ' οὔπω τὸ τέλειον τῆς πίστεως ἔχεις· χρεία καὶ σοὶ κατὰ τοὺς Ἀποστόλους εἰπεῖν· «Κύριε, πρόσθες ἡμῖν πίστιν». Τὸ μὲν γάρ τι παρὰ σεαυτοῦ ἔχεις, τὸ δέ τι παρ' ἐκείνου πολὺ λαμβάνεις.

§. Ι'. Τὸ γὰρ τῆς πίστεως ὄνομα ἓν μέν ἐστι κατὰ τὴν προσηγορίαν, διχῇ δὲ διαιρεῖται[2])· ἔστι μὲν γὰρ ἓν εἶδος τῆς πίστεως, τὸ

---

[1]) Οὕτω διωρθωσάμεθα ἐκ τῶν Κωδ. Roe καὶ Casaub. τὸ ἐν ταῖς ἐκδόσεσιν ἀκαταλλήλως φερόμενον «ἀναστῆναι».

[2]) Δύο εἴδη πίστεως διδάσκει ἐνταῦθα ὁ Κύριλλος, τὸ δογματικὸν καὶ τὸ χάριτι δωρούμενον. Καὶ δογματικὴ μὲν πίστις ἐστὶν ἐκείνη, καθ' ἣν συγκατατιθέμεθα εἴς τι καὶ ἀποδεχόμεθά τι ὡς τοιόν δε· ἀποδεχόμεθα φέρ' εἰπεῖν καὶ πιστεύομεν, ὅτι Ἰησοῦς ὁ Χριστός ἐστιν ἀληθινὸς Θεός· τοῦτο πίστις δογματική. Κατὰ χάριν δὲ δωρουμένη πίστις ἐστὶν ἐκείνη, καθ' ἣν ἐνεργοῦνται τὰ ὑπὲρ ἄνθρωπον, μεθίστανται δηλαδὴ ὄρη, θεραπεύονται νόσοι κτλ. Πάντα ταῦτα καθαρώτατα ἀναπτύσσει καὶ παραδείγμασι σαφηνίζει προϊὼν ὁ θεσπέσιος Κύριλλος. Τὴν αὐτὴν διαίρεσιν τῆς πίστεως ἔχει καὶ ὁ θεῖος Χρυσόστομος· καὶ ἣν μὲν ὁ Κύριλλος ὀνομάζει δογματικὴν, ταύτην ὁ Χρυσορρήμων καλεῖ «τῆς εἰς τὸν Θεὸν γνώσεως παρασκευαστικήν»· ἣν δ' ἐκεῖνος καλεῖ χάριτι δωρουμένην, ταύτην οὗτος ὀνομάζει «τῶν σημείων καὶ τῶν θαυμάτων ποιητικήν. Ἄξιοι δέ εἰσιν ἀναγνώσεως αὐτοὶ τοῦ Διδασκάλου οἱ μελίῤῥυτοι λόγοι· «Ἀλλὰ ποίαν πίστιν ἐνταῦθα λέγει ὁ Παῦλος; τὸ γὰρ τῆς πίστεως ὄνομα διπλῆν ἔχει τὴν σημασίαν. Καὶ γὰρ πίστις λέγεται, καθ' ἣν τὰ σημεῖα ἐποίουν τότε οἱ Ἀπόστολοι, περὶ ἧς ὁ Χριστὸς ἔλεγεν . . . Λέγεται τοίνυν πίστις ἡ τῶν σημείων καὶ τῶν θαυμάτων ποιητική· λέγεται δὲ πίςις καὶ ἡ τῆς εἰς τὸν Θεὸν γνώσεως παρασκευαστικὴ, καθ' ἣν ἕκαςος ἡμῶν ἐςι πιςός» (Τόμ. Γ'. σελ. 315). Τὴν αὐτὴν διάκρισιν τῆς πίςεως ποιεῖ ὁ Διδάσκαλος καὶ ἐν τῇ εἰκοστῇ ἐννάτῃ Ὁμιλ. εἰς τὴν Α. πρὸς Κορινθ. Τὰ δύο ταῦτα εἴδη τῆς πίςεως ἐκτίθησι καὶ ὁ Δαμασκ. (Ὀρθοδ. πίς. δ', 11.). Πρβ. Ἀποστολ. Διαταγ. ή, 1.

δογματικὸν, συγκατάθεσιν τῆς ψυχῆς ἔχον περὶ τοῦδέ τινος, καὶ ὠφελεῖ τὴν ψυχὴν, καθὼς φησιν ὁ Κύριος· «Ὁ ἀκούων μου τὰ ῥήματα[1]), καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον, καὶ εἰς κρίσιν οὐκ ἔρχεται». Καὶ πάλιν· «Ὁ πιστεύων εἰς τὸν Υἱὸν, οὐ κρίνεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν»[2]). Ὢ μεγάλης Θεοῦ φιλανθρωπίας· οἱ δίκαιοι μὲν γὰρ ἐν πολλοῖς ἔτεσιν εὐηρέστησαν· ὅπερ δὲ ἐκεῖνοι δι' εὐαρεστήσεως πολλῶν ἐτῶν κατορθώσαντες ἐκτήσαντο, τοῦτό σοι νῦν Ἰησοῦς διὰ μιᾶς ὥρας χαρίζεται· ἐὰν γὰρ πιστεύσῃς ὅτι Κύριος Ἰησοῦς Χριστὸς, καὶ ὅτι ὁ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν, σωθήσῃ, καὶ μετατεθήσῃ εἰς τὸν Παράδεισον ὑπὸ τοῦ τὸν λῃστὴν εἰς τὸν Παράδεισον εἰσαγαγόντος[3]). Καὶ μὴ ἀπιστήσῃς, εἰ δυνατόν ἐστιν· ὁ γὰρ τὸν λῃστὴν διὰ μιᾶς ὥρας πιστεύσαντα σώσας ἐν τῷ ἁγίῳ τούτῳ Γολγοθᾶ, ὁ αὐτὸς καὶ σὲ πιστεύσαντα διασώσει.

§. ΙΑ'. Δεύτερον δέ ἐστιν εἶδος πίστεως τὸ ἐν χάριτος μέρει παρὰ τοῦ Χριστοῦ δωρούμενον· «Ὧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ Πνεῦμα, ἑτέρῳ δὲ πίστις ἐν τῷ αὐτῷ Πνεύματι, ἄλλῳ δὲ χαρίσματα ἰαμάτων». Αὕτη τοίνυν ἡ κατὰ χάριν δωρουμένη πίστις ἐκ τοῦ Πνεύματος οὐ δογματικὴ μόνον ἐστὶν, ἀλλὰ καὶ τῶν ὑπὲρ ἄνθρωπον ἐνεργητική· ὃς γὰρ ἂν ἔχῃ τὴν πίστιν ταύτην, ἐρεῖ τῷ ὄρει τούτῳ, «μετάβα[4]) ἐντεῦθεν ἐκεῖ, καὶ μεταβήσεται»· ὅταν γὰρ κατὰ πίστιν εἴπῃ τόδε τις, πιστεύων ὅτι γίνεται, καὶ μὴ διακριθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ, τότε λαμβάνει τὴν χάριν. Καὶ περὶ τῆς πίστεως ταύτης εἴρηται τὸ «Ἐὰν

---

[1]) Ἐν τῷ ἱερῷ κειμένῳ κεῖται «ὁ τὸν λόγον μου ἀκούων».

[2]) Συνῆψεν ὁ Πατὴρ ἐν τῇ γραφικῇ ταύτῃ περικοπῇ δύο κεχωρισμένα ῥητὰ τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου, τὸ «ὁ πιστεύων εἰς αὐτὸν οὐ κρίνεται» Ἰωάν. γ', 18. καὶ τὸ «ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωὴν» Ἰωάν. ἑ, 24.

[3]) Περὶ τοῦ Παραδείσου, εἰς ὃν ὁ λῃστὴς εἰσῆλθε, βλέπε τὴν σημείωσιν εἰς Κατήχ. ΙΓ'. §. 31.

[4]) Ἐν τῷ ἱερῷ κειμένῳ «μετάβηθι».

ἔχητε πίστιν ὡς κόκκον σινάπεως»· ὃν γὰρ τρόπον[1]) ὁ κόκκος τοῦ σινάπεως μικρὸς μέν ἐστι τὸ μέγεθος, διάπυρος δὲ τὴν ἐνέργειαν, καὶ ἐν ὀλίγῃ ἐσπαρμένος περιγραφῇ μεγάλους κλάδους περιέχει, ὃς αὐξηθεὶς δύναται καὶ τὰ πετεινὰ σκεπάζειν, οὕτω καὶ ἡ πίστις ἐν τῇ ψυχῇ ἐν ὀξυτάτῃ ῥοπῇ τὰ μέγιστα κατορθοῖ. Περὶ Θεοῦ μὲν γὰρ φαντάζεται, καὶ Θεὸν κατοπτεύει, καθ' ὃ ἐγχωρεῖ[2]), τῇ πίστει φωτισθεῖσα· κόσμου τε τὰ πέρατα περιπολεῖ, καὶ πρὸ τῆς συντελείας τοῦ αἰῶνος τούτου τὴν κρίσιν ἤδη βλέπει, καὶ τὴν μισθαποδοσίαν τῶν ἐπαγγελιῶν. Ἔχε τοίνυν τὴν παρὰ σεαυτοῦ[3]) πίστιν τὴν εἰς αὐτὸν, ἵνα λάβῃς καὶ παρ' ἐκείνου τὴν τῶν ὑπὲρ ἄνθρωπον ἐνεργητικήν.

§. ΙΒ'. Πίστιν δὲ ἐν μαθήσει καὶ ἐπαγγελίᾳ κτῆσαι[4]), καὶ τήρησον μόνην τὴν ὑπὸ τῆς Ἐκκλησίας νυνί σοι παραδιδομένην, τὴν ἐκ πάσης Γραφῆς ὠχυρωμένην. Ἐπειδὴ γὰρ οὐ πάντες δύνανται τὰς Γραφὰς ἀναγινώσκειν, ἀλλὰ τοὺς μὲν ἰδιωτεία, τοὺς δὲ ἀσχολία τις ἐμποδίζει πρὸς τὴν γνῶσιν, ὑπὲρ τοῦ μὴ τὴν ψυχὴν ἐξ ἀμαθίας ἀπολέσθαι[5]), ἐν ὀλίγοις τοῖς στίχοις τὸ πᾶν δόγμα τῆς πίστεως περιλαμβάνομεν· ὅπερ καὶ ἐπ' αὐτῆς τῆς λέξεως μνημονεῦσαι ὑμᾶς βούλομαι, καὶ παρ' ἑαυτοῖς μετὰ πάσης σπουδῆς ἀπαγγεῖλαι, οὐκ εἰς χάριτας ἀπογραφομένους[6]), ἀλλ' ἐν καρδίᾳ τὴν μνήμην[7]) στηλογρα-

---

[1]) Ἐν τοῖς Κώδ. Roe, Casaub. κεῖται «ὥσπερ γάρ».

[2]) Ταύτην τὴν γραφὴν προειλόμεθα, εὑρισκομένην καὶ ἐν τέσσαρσι Κώδηξι· ταύτην προτιμητέαν νομίζει καὶ ὁ Τουτέος, καίτοι οὐ καταχώρησεν αὐτὴν ἐν τῷ κειμένῳ. Αἱ ἐκδόσεις ἔχουσι «καθ' ὃ ἐὰν ἐγχωρῇ».

[3]) Τὸ «παρὰ σεαυτοῦ» λείπει ἐκ τοῦ Κώδ. Α.

[4]) Ἡ φράσις αὕτη ἐν τῷ ἀρχιεπισκοπικῷ Κώδηκι κεῖται οὕτω· «Πίστιν δὲ ἐὰν μαθήσῃ, καὶ ἀπαγγελίαν κτῆσαι».

[5]) Ἀντὶ τοῦ «ἀπολέσθαι» οἱ Κώδ. Roe, Casaub. ἔχουσι «κινδύνῳ πλάνης περιπεσεῖν».

[6]) Πρὸς ταῦτα τοῦ ἱεροῦ Κυρίλλου παραβάλλονται τὰ τοῦ Ἱερωνύμου ἔχοντα οὕτω· «Symbolum fidei et spei nostræ, quod ab Apostolis traditum, non scribitur in Charta aut Atramento, sed in tabulis cordis carnalibus» (epist. 61)· καὶ τὰ τοῦ Ῥουφίνου· « idcirco haec non scribi chartulis atque membranis, sed retineri cordibus tradiderunt » (Exposit. in symbol. apostol.).

[7]) «Τὴν μνήμην» ἔχουσιν αἱ ἄ-

φοῦντας· φυλαττομένους ἐν τῷ μελετᾷν, μή που τις κατηχούμενος ἐπακούσῃ τῶν παραδεδομένων· ἔχειν τε ταύτην ἐφόδιον ἐν παντὶ τῷ χρόνῳ τῆς ζωῆς, καὶ παρὰ ταύτην ἄλλην μηκέτι δέξασθαι· μήτε ἂν ἡμεῖς αὐτοὶ μεταθέμενοι, τοῖς νῦν διδασκομένοις ἐναντιολογῶμεν· μήτε ἂν ἄγγελος ἐναντίος, εἰς ἄγγελον φωτὸς μετασχηματισθείς, πλανῆσαί σε βούληται· «Κἂν γὰρ ἡμεῖς, ἢ Ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίσηται ὑμᾶς παρ' ὃ νῦν παρελάβετε, ἀνάθεμα ἔστω[1])». Καὶ τέως μὲν ἐπ' αὐτῆς λέξεως[2]) ἀκούων, μνημόνευσον τῆς πίστεως· ἐκδέχου δὲ κατὰ τὸν δέοντα καιρὸν τὴν ἀπὸ τῶν θείων Γραφῶν περὶ ἑκάστου τῶν ἐγκειμένων σύστασιν· οὐ γὰρ ὡς ἔδοξεν ἀνθρώποις συνετέθη τὰ τῆς πίστεως, ἀλλ' ἐκ πάσης τῆς Γραφῆς τὰ καιριώτατα συλλεχθέντα, μίαν ἀναπληροῖ τὴν τῆς πίστεως διδασκαλίαν. Καὶ ὃν περ τρόπον ὁ τοῦ σινάπεως σπόρος ἐν μικρῷ κόκκῳ πολλοὺς περιέχει τοὺς κλάδους, οὕτω καὶ ἡ πίστις αὕτη ἐν ὀλίγοις ῥήμασι πᾶσαν τὴν ἐν τῇ Παλαιᾷ καὶ Καινῇ τῆς εὐσεβείας γνῶσιν ἐγκεκόλπισται. Βλέπετε οὖν, ἀδελφοί, καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς νῦν παραλαμβάνετε, καὶ ἀπογράψασθε αὐτὰς εἰς τὸ πλάτος τῆς καρδίας ὑμῶν.

§. ΙΓ'. Τηρήσατε μετ' εὐλαβείας, μή που συλήσῃ τινὰς χαυνωθέντας ὁ ἐχθρός, μή τις αἱρετικὸς παρατρέψῃ τι τῶν παραδιδομένων ὑμῖν. Πίστις μὲν γάρ ἐστι τὸ βαλεῖν τὸ ἀργύριον ἐπὶ τὴν τράπεζαν, ὅπερ ἡμεῖς νῦν πεποιήκαμεν· Θεὸς δὲ παρ' ὑμῶν ἀπαιτεῖ τῆς παρακαταθήκης τοὺς λόγους· «Διαμαρτύρομαι, καθώς φησιν ὁ Ἀπόστο-

---

χρι τοῦ Τουτέου ἐκδόσεις· «τὴν μνήμην» ἔχει καὶ ὁ Κώδηξ A. ὁ δὲ Τουτέος ἐξ αὐθεντίας τινῶν Κωδήκων ἔγραψε δοτικὴν «τῇ μνήμῃ»· ἡμεῖς ὅμως τηρητέαν ἐνομίσαμεν τὴν παλαιὰν γραφήν.

[1]) Ἐν τοῖς ἐκδεδομένοις κεῖται «ἀνάθεμα ὑμῖν ἔστω»· ἀλλὰ τὸ «ὑμῖν» λείπει ἐκ τῶν Κωδ. R., C., ὁμοίως καὶ ἐκ τοῦ Κώδ. A., λείπει δὲ καὶ ἐκ τοῦ ἱεροῦ τῆς Γραφῆς κειμένου.

[2]) Οὕτω κεῖται ἐν τοῖς Κώδ. R., C., ἐν δὲ τοῖς ἐκδεδομένοις φέρεται «ταύτης τῆς λέξεως»· ὁ δὲ Τουτέος ἐξ ἀμφοῖν μίαν μορφώσας ἔγραψεν «ἐπ' αὐτῆς τῆς λέξεως». Ἀλλὰ σύνηθες τοῖς Ἕλλησιν ἄνευ ἄρθρου ἐκφέρειν τὴν φράσιν ταύτην· οὕτω λέγουσιν· «ἐπὶ λέξεως» ἀντὶ «κατὰ λέξιν».

λος, ἐνώπιον τοῦ Θεοῦ τοῦ ζωοποιοῦντος τὰ πάντα, καὶ Χριστοῦ Ἰησοῦ, τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν», τηρῆσαι ταύτην ὑμᾶς τὴν παραδεδομένην πίστιν ἄσπιλον μέχρι τῆς ἐπιφανείας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Θησαυρὸς ζωῆς νῦν σοι παρεδόθη, καὶ κατὰ τὴν ἐπιφάνειαν αὐτοῦ ζητεῖ τὴν παρακαταθήκην ὁ Δεσπότης, «ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος καὶ μόνος δυνάστης, ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον· ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται», ᾧ ἡ δόξα, τιμὴ καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΑΤΗΧΗΣΙΣ ϛ′.

ΦΩΤΙΖΟΜΕΝΩΝ,

Ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα περὶ Θεοῦ μοναρχίας· εἰς τὸ, Πιστεύω εἰς ἕνα Θεόν· καὶ περὶ αἱρέσεων· καὶ ἀνάγνωσις ἐκ τοῦ Ἡσαΐου· «Ἐγκαινίζεσθε πρός με νῆσοι· Ἰσραὴλ σώζεται ὑπὸ Κυρίου σωτηρίαν αἰώνιον, οὐκ αἰσχυνθήσονται, οὐδ᾽ οὐ μὴ ἐντραπῶσιν ἕως τοῦ αἰῶνος»· καὶ τὰ ἑξῆς.

§. Α′. Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· εὐλογητὸς καὶ ὁ τούτου μονογενὴς Υἱός· ἅμα γὰρ τῷ νοεῖσθαι Θεὸς νοείσθω καὶ Πατὴρ, ἵνα ἀδιαίρετος[1]) ἡ Πατρὸς καὶ Υἱοῦ σὺν ἁγίῳ Πνεύματι[2]) δοξολογία τελῆται· οὐ γὰρ ἄλλην δόξαν Πατὴρ, καὶ ἄλλην Υἱὸς ἔχει, ἀλλὰ μίαν καὶ τὴν αὐτὴν (τῷ ἁγίῳ Πνεύ-

---

[1]) Οὐκ ἐκινήσαμεν τὴν λέξιν καλῶς ἔχουσαν. Ὁ Τουτέος ἐξ αὐθεντίας ἑνὸς Κώδηκος ἔγραψεν «ἀδιαιρέτως».

[2]) Αἱ λέξεις «σὺν ἁγίῳ Πνεύματι» λείπουσιν ἐκ τῶν Κωδ. Roe, Casaub. ἀλλ᾽ ἐπειδὴ ἐνταῦθα περὶ δοξολογίας ὁ λόγος, ὁ δὲ τύπος τῆς δοξολογίας παρίστησι καὶ ἐκφράζει συνήθως καὶ τὰ τρία θεαρχικὰ πρόσωπα τῆς ἁγίας Τριάδος, οὐ παρὰ τῷ Κυρίλλῳ μόνον (Κατήχ. Γ′, ιή, 35. ιζ′, 38.), ἀλλὰ καὶ παρὰ πᾶσι τοῖς θείοις Πατράσι, διὰ τοῦτο ἐτηρήσαμεν καὶ ἡμεῖς τὰς λέξεις ἐκείνας, μηδόλως διστάζοντες περὶ τῆς αὐτῶν γνησιότητος. Πρβ. Κατ. ΣΤ′. §. 6. (Ἀλλὰ μικρὸν κατωτέρω μετὰ τὸ «μίαν καὶ τὴν αὐτὴν» ἔχουσιν αἱ ἐκδόσεις πάλιν «τῷ ἁγίῳ Πνεύματι». Αἱ λέξεις αὗται λείπουσιν ὁμοίως ἐκ τῶν Κωδ. Roe, Casaub., ἐθήκαμεν δὲ αὐτὰς καὶ ἡμεῖς ἐν παρενθέσει, ἐπειδὴ ὁ λόγος ἐνταῦθα περὶ Πατρὸς μόνον καὶ Υἱοῦ).

ματι)· ἐπειδὴ Πατρός ἐστιν Υἱὸς μονογενής[1]), καί, Πατρὸς δοξαζομένου, συναπολαύει τῆς δόξης καὶ ὁ Υἱός· ἐπειδὴ δόξα Υἱοῦ ἐκ τιμῆς Πατρὸς αὐτοῦ· καὶ πάλιν, Υἱοῦ δοξαζομένου, μεγάλως τιμᾶται ὁ τοῦ τοσούτου Πατὴρ ἀγαθοῦ.

§. Β'. Καὶ ἡ μὲν διάνοια ὀξύτατα νοεῖ, ἡ δὲ γλῶσσα ῥημάτων δεῖται καὶ διηγήσεως πολλῆς τῶν μεταξὺ λόγων. Ἅμα μὲν γὰρ ὀφθαλμὸς χορὸν ἄστρων περιλαμβάνει πολύν, ἀλλ' ὅταν τὸ καθ' ἕκαστον διηγήσασθαι βουληθῇ τις, τί μέν ἐστι φωσφόρος, τί δὲ ἕσπερος, τί δὲ τὸ καθ' ἕν, πολλῶν ἐπιδεῖται τῶν ῥημάτων. Πάλιν ὁμοίως γῆν καὶ θάλατταν καὶ πάντα τὰ τοῦ κόσμου τέρματα ἐν ὀξυτάτῃ ῥοπῇ περιλαμβάνει ἡ διάνοια· ἀλλ' ὅπερ ἐν ἀκαριαίῳ[2]) νοεῖ, τοῦτο ἐν ῥήμασι πολλοῖς διηγεῖται. Μέγα μὲν οὖν καὶ τὸ ῥηθὲν παράδειγμα, ἀλλ' ἔτι ἀσθενὲς καὶ ἀνίσχυρον· λέγομεν γὰρ οὐχ ὅσα δεῖ περὶ Θεοῦ· μόνῳ γὰρ αὐτῷ ταῦτα γνώριμα· ἀλλ' ὅσα κεχώρηκεν ἡ ἀνθρωπίνη φύσις, καὶ ὅσα ἡ ἡμετέρα ἀσθένεια βαστάσαι δύναται[3])· οὐ

---

[1]) Μίαν καὶ τὴν αὐτὴν μετὰ τοῦ Πατρὸς ἔχει δόξαν ὁ Υἱός, οὐ μόνον καθὸ Υἱός, ἀλλὰ καὶ καθὸ μονογενής. Τὴν λέξιν «μονογενής» ἀνέπτυξεν ὁ Κύριλλος ἐν Κατηχ. ΙΑ'. §. 3. πρβ. Κατ. Ι'. 1. Πρὸς τοὺς Ἀρειανοὺς ἐνίσταται ὁ Πατὴρ ἐνταῦθα, τοὺς ἄλλην μὲν λέγοντας τὴν τοῦ Πατρὸς δόξαν, ἄλλην δὲ τὴν τοῦ Υἱοῦ, καὶ περὶ τούτων μαρτυρεῖ ὁ Μ. Βασίλειος· «Οἵγε προδήλως ἡμῖν χαλεπαίνουσιν, ὅτι μετὰ Πατρὸς ἀποπληροῦμεν τῷ Μονογενεῖ τὴν δοξολογίαν, καὶ τὸ ἅγιον Πνεῦμα μὴ διϊστῶμεν· οὐ μετὰ Πατρός, φασίν, Υἱός, ἀλλὰ μετὰ τὸν Πατέρα· διόπερ ἀκόλουθον δι' αὐτοῦ τὴν δόξαν προσάγειν τῷ Πατρί, ἀλλ' οὐχὶ μετ' αὐτοῦ» (Περὶ τοῦ ἁγ. Πνεύμ. κεφ. ς'.). Πρὸς ταῦτα τῶν αἱρετικῶν ἀποκρίνεται ὁ μέγας Πατήρ· «Ὅπερ ἔλεγον οἱ πατέρες ἡμῶν, καὶ ἡμεῖς λέγομεν, ὅτι ἡ δόξα κοινὴ Πατρὶ καὶ Υἱῷ· διὸ μετὰ τοῦ Υἱοῦ τὴν δοξολογίαν προσάγομεν τῷ Πατρί» (περὶ τοῦ ἁγ. Πνεύμ. κεφ. ζ'.). Φησὶ δὲ καὶ ὁ Χρυσόστομος· «Εἶδες πῶς δόξα μία Πατρὸς καὶ Υἱοῦ; εἰ δὲ δόξα μία, εὔδηλον ὅτι καὶ οὐσία μία» (Τόμ. Ζ'. σελ. 630.)· «Οὐ γὰρ τὸ μὲν μᾶλλον, τὸ δὲ ἧττον Θεός, οὐδὲ τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον, οὐδὲ βουλήσει τέμνεται, οὐδὲ δυνάμει μερίζεται» κτλ. Γρηγ. Ναζ. (Λόγ. ΛΖ'.).

[2]) Τρεῖς Κώδηκες ὁ Κοισλ. Roe καὶ Casaub. ἔχουσιν «ἐν ἀκαρεῖ».

[3]) Τοῦτ' αὐτὸ διδάσκει καὶ ὁ Θεολόγος Γρηγόριος ἐν οἷς γράφει ἐν τῷ τριακοστῷ αὐτοῦ Λόγῳ· «οὔτε ἀέρα

γὰρ τὸ, τί ἐστι Θεὸς, ἐξηγούμεθα[1])· ἀλλ' ὅτι τὸ ἀκριβὲς περὶ αὐτοῦ οὐκ οἴδαμεν, μετ' εὐγνωμοσύνης ὁμολογοῦμεν. Ἐν τοῖς γὰρ περὶ Θεοῦ μεγάλη γνῶσις, τὸ τὴν ἀγνωσίαν ὁμολογεῖν[2]). «Μεγαλύνατε

τις ἔπνευσεν ὅλον πώποτε οὔτε οὐσίαν Θεοῦ παντελῶς, ἢ νοῦς ἐχώρησεν, ἢ φωνὴ περιέλαβεν· ἀλλ' ἐκ τῶν περὶ αὐτὸν σκιαγραφοῦντες τὰ κατ' αὐτὸν, ἀμυδράν τινα καὶ ἀσθενῆ καὶ ἄλλην ἀπ' ἄλλου φαντασίαν συλλέγομεν· καὶ οὗτος ἡμῖν ἄριστος θεολόγος, οὐχ ὃς εὗρε τὸ πᾶν, οὐδὲ γὰρ δέχεται τὸ πᾶν ὁ δεσμὸς, ἀλλ' ὃς ἂν ἄλλου φαντασθῇ πλέον, καὶ πλεῖον ἐν ἑαυτῷ ἀναγάγῃ τὸ τῆς ἀληθείας ἴνδαλμα ἢ ἀποσκίασμα, ἢ ὅ,τι καὶ ὀνομάσωμεν».

[1]) Τὸ, τί ἐστι Θεὸς, τῇ τε γλώττῃ ἀνεξήγητον καὶ τῷ νῷ ἀπερίληπτον εἰρήκασιν οἱ Πατέρες· «Ἡ θεία φύσις, λέγει ὁ θεῖος Γρηγόριος, ἄληπτός τε καὶ ἀπερίληπτος· λέγω δὲ οὐχ ὅτι ἐστιν, ἀλλ' ἥτις ἐστι» (Λόγ. ΚΗ'.)· καὶ πάλιν· «Θεὸν ὅ,τι ποτε μέν ἐστι τὴν φύσιν καὶ τὴν οὐσίαν, οὔτε τις εὗρεν ἀνθρώπων πώποτε, οὔτε μὴν εὕρῃ» (ἔνθ. ἀνωτ.). Καὶ ὁ Μ. Βασίλειος· «πίστις αὐτάρκης εἰδέναι ὅτι ἐστὶν ὁ Θεὸς, οὐχὶ τί ἐστιν» (Ἐπιστ. 400), ὁ Ἀθανάσιος (Τόμ. Α'. σελ. 627.)· «Καὶ γὰρ εἰ μὴ δυνατὸν καταλαβέσθαι, τί ἐστι Θεὸς, ἀλλὰ δυνατὸν εἰπεῖν, τί οὐκ ἔστι». Βλ. καὶ Χρυσόστομον (περὶ ἀκαταλήπτου Λόγ. Α'.), Κλημ. Ἀλεξ. (Στρωμ. β'.), Γρηγ. Νύσ. (Λόγ. ΙΒ'. κατὰ Εὐνομ.), Ἰσίδωρ. Πηλ. (Βιβλ. Β'. Ἐπιστ. 299.), Φώτιον (Ἀμφιλοχ. Ζήτ. 130.), Διονύσ. Ἀρεοπαγ. (περὶ θείων ὀνομ. κεφ. 7.), Δαμασκ. (ὀρθοδ. πίστ. ά. 4.). Ἀπέναντι δὲ τῆς ὀρθῆς ταύτης καὶ τῷ λόγῳ συμφώνου φωνῆς καὶ γνώμης τῆς Ἐκκλησίας ἀπίστευτον καταντᾷ τὸ θράσος τῶν περὶ Εὐνόμιον καὶ Ἀέτιον, οἵτινες λίαν δυσσεβῶς ἐφλυάρουν, ὅτι ἐγνώριζον τὸν Θεὸν καὶ τὴν φύσιν αὐτοῦ οὕτως ἐναργῶς καὶ καλῶς, ὅπως καὶ ἑαυτοὺς καὶ πᾶν ἄλλο πρᾶγμα χερσὶ ψηλαφώμενον. Ἡ δυσσέβεια τῶν ἀνθρώπων τούτων προεχώρησεν εἰς τοσοῦτον παραφροσύνης, ὥστε ἔλεγον ὅτι κάλλιον καὶ τελαυγέστερον γνωρίζουσι τὸν Θεὸν, ἢ ἑαυτοὺς, καὶ ὅτι οὕτω καλῶς γνωρίζουσι τὴν οὐσίαν τοῦ Θεοῦ, καὶ τοιαύτην γνῶσιν ἔχουσι περὶ Θεοῦ, οἵαν αὐτὸς ὁ Θεὸς περὶ ἑαυτοῦ. Ἐπιφάνιος (Αἱρεσ. 76.), Θεοδώρητ. (Αἱρετ. κακομυθ. δ', 3.).

[2]) Καθὼς τὸ λέγειν εἰδέναι, τί κατ' οὐσίαν ἐστὶν ὁ Θεὸς, ἐσχάτης ἐστὶ παραφροσύνης καὶ σμικροῦ καὶ ποταποῦ νοὸς, μὴ καταλαβόντος μηδ' ὁπωσοῦν κατιδόντος τὸ ἄπειρον πέλαγος τῆς οὐσίας ἐκείνης, οὕτω τὸ τὴν ἀγνωσίαν ὁμολογεῖν ἐν τοῖς περὶ Θεοῦ, μεγάλης ἐστὶ δεῖγμα σοφίας, καὶ νοὸς ὑψηλόφρονος καὶ μεγαλοφυοῦς, συνιδόντος τὴν ἄπειρον διάστασιν τὴν μεταξὺ τοῦ πεπερασμένου ἀνθρωπί-

τοίνυν τὸν Κύριον σὺν ἐμοὶ, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτὸ» κοινῇ πάντες· ὁ γὰρ εἷς ἀδυνατεῖ, μᾶλλον δὲ κἂν πάντες ὁμοῦ συναχθῶμεν, οὔπω τὸ καθ' ὃ δεῖ ποιήσομεν· οὐ λέγω τοὺς παρόντας ἡμᾶς[1]) μόνους, ἀλλὰ γὰρ κἂν πάσης τῆς οἰκουμενικῆς Ἐκκλησίας, τῆς τε νῦν οὔσης καὶ τῆς μελλούσης, πάντα τὰ θρέμματα συνέλθοι, τὸν ποιμένα κατ' ἀξίαν ὑμνῆσαι οὐ δυνήσεται[2]).

§. Γ'. Μέγας ἦν Ἀβραὰμ καὶ τίμιος, ἀλλὰ μέγας πρὸς ἀνθρώπους· ὅτε δὲ ἔφθασε πρὸς τὸν Θεὸν, τότε φησὶν εὐγνωμόνως ἀληθεύων· « Ἐγώ εἰμι γῆ καὶ σποδός»[3]). Οὐκ εἶπε, γῆ, καὶ ἐσίγησεν,

---

νου νοὸς καὶ τῆς ἀκτίστου καὶ ἀπεριλήπτου ἐκείνης φύσεως, ἣν μόνον δι' ἀφαιρέσεων δυνάμεθα ὁπωσοῦν νοῆσαι, τουτέστι λέγοντες οὐχὶ τί ἐστι, ἀλλὰ τί οὐκ ἔστι. Ὅθεν ἄριστα εἶπε καὶ ὁ πολὺς Διονύσιος· «Δι' ἀβλεψίας καὶ ἀγνωσίας ἰδεῖν καὶ γνῶναι τὸ ὑπὲρ θέαν καὶ γνῶσιν αὐτὸ τὸ μὴ ἰδεῖν μηδὲ γνῶναι. Τοῦτο γάρ ἐστι τὸ ὄντως ἰδεῖν καὶ γνῶναι καὶ τὸν ὑπερούσιον ὑπερουσίως ὑμνῆσαι διὰ τῆς πάντων τῶν ὄντων ἀφαιρέσεως· ὥσπερ οἱ αὐτοφυὲς ἄγαλμα ποιοῦντες, ἐξαιροῦντες πάντα τὰ ἐπιπροσθοῦντα τῇ καθαρᾷ τοῦ κρυφίου θέᾳ κωλύματα, καὶ αὐτὸ ἀφ' ἑαυτοῦ τῇ ἀφαιρέσει μόνῃ τὸ ἀποκεκρυμμένον ἀναφαίνοντες κάλλος» (περὶ μυστικῆς Θεολογ. κεφ. β'.). Πρὸς πλείονα διασάφησιν τῶν λόγων τοῦ ἱεροῦ Κυρίλλου ἐνταῦθα παρατίθεμεν τὰ ἀξιάγαστα ἐκεῖνα τοῦ θείου Χρυσοστόμου, ἅπερ ὁ Πατὴρ, κατὰ τῶν δυσσεβῶν Ἀνομοίων ἀγωνιζόμενος, εἴρηκεν· «Ἔστι γὰρ καὶ ἐν ἀγνοίᾳ γνῶσιν, καὶ ἐν γνώσει ἄγνοιαν εἶναι· καὶ εἰ βούλεσθε, ἐπὶ τῶν αἰσθητῶν αὐτὸ γυμνάσωμεν. Εἰπὲ γάρ μοι, ἄν τις λέγῃ τὴν θάλασσαν δύνασθαι ἐκμετρεῖν, καὶ εἰδέναι πόσους ἔχει κυάθους, ἆρα οὐχ οὗτός ἐστι μάλιστα ὁ ἀγνοῶν, τί ποτέ ἐστι θάλασσα; Ὁ δὲ λέγων μὴ εἰδέναι, ἀλλ' ἄπειρον αὐτῆς τὸν ἀριθμὸν διατεινόμενος, οὗτος μάλιστά ἐστιν ὁ εἰδὼς, τί ποτέ ἐστι θάλασσα» (Τόμ. Ε'. σελ. 555.).

[1]) Ἐν τοῖς ἐκδεδομένοις κεῖται «ὑμᾶς», ἀλλ' ἡ σειρὰ τοῦ νοήματος ἀπαιτεῖ ἐνταῦθα τὴν πρωτοπροσωποῦσαν ἀντωνυμίαν «ἡμᾶς», ἣν ἔχει καὶ ὁ Γροδέκιος, καὶ ἣν ἐσημείωσεν ἐν τῷ περισελίδῳ καὶ ὁ Τ.

[2]) «Περὶ ἧς (μακαρίας φύσεως) πάντα τις ἃ δύναται λέγων, λέγει τῶν κατ' ἀξίαν οὐδέν· οὔτε γὰρ ἡ διάνοια καθικνεῖται τοῦ ὄντος· κἂν τι περὶ αὐτοῦ τῶν ὑψηλοτέρων νοῆσαι χωρήσωμεν, οὐδενὶ λόγῳ τὸ νοηθὲν ἐξαγγέλλεται»· Γρηγορ. Νυσ. εἰς τοὺς Μακαρισμοὺς Λόγ. Α'.

[3]) Ἐν τῷ ἱερῷ κειμένῳ «Ἐγὼ δέ εἰμι γῆ καὶ σποδός»· ἔχουσι τὸν «δὲ» καὶ δύο Κώδηκες τῶν Κατηχήσεων.—Τὸ παράδειγμα τοῦ Πατριάρ-

ἵνα μὴ τὸ μέγα στοιχεῖον ἑαυτὸν ὀνομάσῃ· ἀλλὰ ἐπήγαγε, καὶ σποδὸς, ἵνα τὸ εὐδιάλυτον αὐτοῦ καὶ σαθρὸν παραστήσῃ. Ἔστι τι, φησὶ, σποδοῦ σμικρότερον ἢ λεπτότερον; λάβε[1]), φησὶ, τὴν σύγκρισιν σποδοῦ πρὸς οἰκίαν, καὶ οἰκίας πρὸς πόλιν, καὶ πόλεως πρὸς ἐπαρχίαν, καὶ ἐπαρχίας πρὸς τὴν Ῥωμαίων χώραν, καὶ τῆς Ῥωμαίων χώρας πρὸς πᾶσαν τὴν γῆν καὶ πάντα τὰ τέρματα· πᾶσαν δὲ τὴν γῆν πρὸς τὸν ἐγκεκολπισμένον αὐτὴν οὐρανὸν, ἥτις τοσαύτην ἔχει πρὸς οὐρανὸν τὴν σύγκρισιν, ὅσην[2]) τὸ μέσον πρὸς πᾶσαν τὴν περιφέρειαν τοῦ τροχοῦ ἔχει[3])· τοσαύτη γὰρ γῆς πρὸς οὐρανὸν ἡ σύγκρισις· καὶ τὸν

χου φέρει καὶ ὁ θεῖος Χρυσόστομος, ἐλέγχων τοὺς τὴν φύσιν τοῦ Θεοῦ εἰδέναι τε καὶ καταλαμβάνειν λέγοντας. «Ἄκουσον γοῦν τί φησιν ὁ δίκαιος Πατριάρχης περὶ ἑαυτοῦ· ἐγὼ δέ εἰμι γῆ καὶ σποδός· Θεῷ διελέγετο καὶ οὐκ ἐπῆρεν αὐτὸν ἡ παῤῥησία· αὕτη μὲν οὖν αὐτὴ μετριάζειν αὐτὸν ἀνέπειθεν, οὗτοι δὲ οὐδὲ τῆς σκιᾶς ὄντες ἄξιοι τῆς ἐκείνου κτλ.» (περὶ ἀκαταλήπτου Λόγ. Β΄. Τόμ. Α΄· σελ. 557.). Λέγει δὲ καὶ ὁ Μ. Βασίλειος· «Καὶ ὁ Ἀβραὰμ, ὅτε ὤφθη αὐτῷ ὁ Θεὸς, τότε ἀναγέγραπται εἰρηκὼς τὸ, ἐγὼ δέ εἰμι γῆ καὶ σποδός. Οὕτω δὲ καὶ Μωσῆς παιδευόμενος μὲν πάσῃ σοφίᾳ Αἰγυπτίων, καὶ ὡς εἰκὸς διαβαίνων πάντας αὐτοὺς τῇ εὐφυΐᾳ καὶ τῇ συνέσει, οὐκ ᾐσθάνετο ἑαυτοῦ ἰσχνοφώνου ἢ βραδυγλώσσου· ὅτε δὲ ἤκουσε τοῦ χρηματίζοντος, τότε τῆς ἀφωνίας αὐτοῦ καὶ τῆς περὶ τὴν γλῶσσαν βραδύτητος ᾔσθετο» (Τόμ. Α΄. σελ. 722.).

[1]) Ἐν τοῖς ἐκδεδομένοις μετὰ τὸ «λάβε» ἔκειτο «γάρ»· ἐπειδὴ δὲ ὁ «γὰρ» οὗτος οὔτε ἀναγκαῖός ἐστιν, οὐδὲ ἐν τοῖς Κώδ. R. καὶ C. κεῖται, παρελίπομεν καὶ ἡμεῖς αὐτόν.

[2]) Οἱ Κώδ. A., Roe καὶ Casaub. ἔχουσιν «ὅσον».

[3]) Φησὶ δὲ ὁ Κύριλλος καὶ ἐν τῇ ΙΕ΄. Κατηχ. §. 24. «Ἡ οἰκουμενικὴ γῆ κέντρον ὥσπερ ἐστὶν ἐν μέσῳ τοῦ ἑνὸς οὐρανοῦ». Γνωστὸν ὅτι παρὰ τοῖς Πατράσι δύο περὶ κόσμου συστήματα εὕρηνται, ὧν τὸ μὲν ἐκ τῶν ἑλλήνων εἴληπται φιλοσόφων, καθ' ὃ σφαιροειδὴς ἐξελήφθη ὁ οὐρανός· τὸ δὲ ἐκ χωρίων τινῶν γραφικῶν συγκεκρότηται, καθ' ὃ ὁ οὐρανὸς οὐχὶ ὡς σφαιροειδὴς, ἀλλ' ὡς σκηνοειδὴς καὶ ὡς ἡμισφαίριον ἐνομίσθη. Δῆλον δὲ ἐκ τῶν εἰρημένων, ὅτι ὁ ἡμέτερος Κύριλλος ἀσπάζεται τὸ πρῶτον. Τοῦτ' αὐτὸ ποιοῦσι καὶ ἄλλοι Πατέρες, οἷον ὁ Μ. Βασίλειος (Ὁμιλ. Γ΄. εἰς τὴν ἑξαήμ.), ὁ Ἱερώνυμος (in cap. 40. Esaïæ)· πρβλ. καὶ Ἰωσὴφ Βρυέννιον (Τόμ. Β΄. σελ. 31.). Ἀλλ' ὅμως πολλοὶ ἄλλοι ἑτέρωθεν ἀντιλέγουσι πρὸς τὴν γνώμην ταύτην, ἣν, ὡς μὴ γραφικὴν, ἀποδο-

πρῶτον οὐρανὸν τὸν φαινόμενον τοῦτον μικρότερον εἶναι νόησον τοῦ δευτέρου, καὶ τὸν δεύτερον τοῦ τρίτου (μέχρι γὰρ ταύτου ὠνόμασεν ἡ Γραφή, οὐχ ὅτι τοσοῦτοι μόνοι τυγχάνουσιν[1]), ἀλλ' ὅτι το-

---

κιμάζει καὶ ὁ ἱερὸς Χρυσοῤῥήμων, ἐν οἷς λέγει· «Ποῦ τοίνυν εἰσὶν οἱ λέγοντες κινεῖσθαι τὸν οὐρανόν; ποῦ εἰσιν οἱ σφαιροειδῆ αὐτὸν ἀποφαινόμενοι; ἀμφότερα γὰρ ταῦτα ἀνῄρηται ἐνταῦθα» (Ὁμιλ. ΙΔ'. εἰς τὴν πρὸς Ἑβρ.). Τῷ Χρυσοστόμῳ κατηκολούθησε καὶ Προκόπιος, ταῖς αὐταῖς ἐκείνῳ λέξεσι καταδικάζων τὸ πρῶτον σύστημα (εἰς Γένεσ. κεφ. ά.). Τὴν αὐτὴν ἔνστασιν δείκνυσι καὶ Σεβηριανὸς (ἐν τῷ γ'. περὶ δημιουργίας), καὶ Ἀπολλινάριος (ἐν τῇ εἰς τὸν Ἰὼβ Σειρᾷ κεφ. λή.), καὶ ὁ συγγραφεὺς τοῦ Χρονικοῦ Πασχαλίου (σελ. 444. ἔκδ. Βόνν.), καὶ ὁ Ἰνδικοπλεύστης Κοσμᾶς (ἐν τῷ ιβ'. Βιβλ. τῆς χριστιανικῆς Τοπογραφίας), καὶ εἴ τις ἕτερος. Τὴν δευτέραν ταύτην γνώμην, τὴν καὶ γραφικωτέραν δοκοῦσαν, ἔχων φαίνεται καὶ Γρηγόριος ὁ Νύσσης (Ὁμιλ. Α'. εἰς τὸν Ἐκκλησιαστήν). Ὁ δὲ θεῖος Δαμασκηνὸς (ὀρθοδ. πίσ. β'. 6.), ἀμφότερα ἐκθέμενος τὰ συστήματα, ἀδιάφορον θεωρεῖ, ἄν τε τοῦτο, ἄν τ' ἐκεῖνο, παραδεξώμεθα· «Εἴτε οὕτως, εἴτε ἐκείνως, ἅπαντα τῷ θείῳ προστάγματι γέγονέ τε καὶ ἥδρασται, καὶ τὸ θεῖον θέλημά τε καὶ βούλημα θεμέλιον ἀσάλευτον κέκτηται».

[1]) Πλείονας τῶν τριῶν οὐρανῶν ἀποδέχεται ὁ μακάριος Κύριλλος· πρὸς ταύτην τὴν γνώμην κλίνει καὶ ὁ Μ. Βασίλειος ἐν οἷς λέγει· «Ἡμεῖς δὲ τοσοῦτον ἀπέχομεν τῷ δευτέρῳ ἀπιστεῖν, ὥστε καὶ τὸν τρίτον ἐπιζητοῦμεν, οὗ τῆς θέας ὁ μακάριος Παῦλος ἠξιώθη· ὁ δὲ Ψαλμὸς, ὀνομάζων οὐρανοὺς οὐρανῶν, καὶ πλειόνων ἡμῖν ἔννοιαν ἐνεποίησε» (Ὁμιλ. Γ'. εἰς τὴν Ἑξαήμ.). Ταύτην τὴν γνώμην ἀποδέχεται καὶ ὁ Καισάριος (ἐν τῷ ά. Διαλόγ. ἀποκρ. 90.)· «Ἀριθμὸν μὲν οὐδεὶς τῶν θεσπεσίων πώποτε ἀπεφήνατο, πλὴν τοῦ ὑψηλοῦ Ἀποστόλου, ἕως τρίτου διαπεφοιτηκέναι βοῶντος, οὐ μέν τοι μέχρις αὐτῶν στήσας τὸν ἀριθμόν· τὸ γὰρ φῆσαι ἁρπαγέντα ἕως τρίτου οὐρανοῦ, δι' ἄρθρου τοῦ, ἕως, ὑπηνίξατο ὑπερκεῖσθαι καὶ ἑτέρους τῶν τριῶν». Πάντων δὲ μάλιστα συνᾴδει τῷ ἡμετέρῳ Κυρίλλῳ ὁ Ἱλάριος· «Nobis, γράφει, sufficit plures coelos scire esse, quippe cum et coeli coelorum» (in Psalm. 135. n. 10). Τινὲς δὲ καὶ προσδιώρισαν τὸν ἀριθμὸν ἑπτά· οἷον ὁ Ἀμασείας Ἀστέριος (Ὁμιλ εἰς τοὺς Ἀπος. Πέτρον καὶ Παῦλον), ὁ Φιλάστριος (de haeres. cap. 94.) Ἀλλ' ὁ ἱερὸς Θεοδώρητος, καὶ μετ' αὐτοῦ Κοσμᾶς ὁ Ἰνδικοπλεύστης (βιβλ. γ'. σελ. 177. καὶ βιβλ. ζ'. σελ. 276.) καὶ ἄλλοι πολλοὶ δύο μόνον ἀποδέχονται οὐρανούς. Ὁ Θεοδώρητος διατείνεται,

σούτους μόνους[1]) ἡμῖν γνῶναι συνέφερε). Καὶ ὅταν ἴδῃς τῷ νῷ πάντας τοὺς οὐρανούς, οὔπω[2]) οὐδὲ οἱ οὐρανοὶ αἰνέσαι τὸν Θεόν, καθ' ὅ ἐστιν, δυνήσονται, οὐδ' ἂν βροντῆς μεγαλοφωνότερα ἠχῶσιν. Εἰ δὲ τὰ τοσαῦτα κύτη τῶν οὐρανῶν τὸν Θεὸν ὑμνῆσαι κατ' ἀξίαν οὐ δύνανται, πότε ἄρα γῆ καὶ σποδὸς, τὸ μικρότατον καὶ τῶν ὄντων[3]) ἐλαχιστότατον, ἄξιον ὕμνον ἀναπέμψαι τῷ Θεῷ δυνήσεται, ἢ ἀξίως εἰπεῖν περὶ Θεοῦ, τοῦ κατέχοντος τὸν γύρον τῆς γῆς, καὶ ἔχοντος τοὺς ἐνοικοῦντας ἐν αὐτῇ ὡς ἀκρίδας;

§. Δ'. Εἴ τις ἐπιχειρεῖ τὰ περὶ Θεοῦ λέγειν, πρῶτον διηγείσθω τῆς γῆς τὰ τέρματα. Γῆν οἰκεῖς, καὶ τὸ τέλος τῆς σῆς οἰκίας, τῆς γῆς, οὐ γινώσκεις· καὶ πῶς τὸν κατασκευαστὴν ἀξίως νοῆσαι δυνήσῃ; Θεωρεῖς τοὺς ἀστέρας, τὸν δὲ ποιητὴν οὐ θεωρεῖς· ἀρίθμησον[4]) τοὺς φαινομένους, καὶ τότε τὸν μὴ φαινόμενον ἐξήγησαι, τὸν ἀριθμοῦντα

ὅτι μύθοις ἕπεται ὁ πλείους τῶν δύο ἀριθμῶν οὐρανούς· «Καὶ ὁ τῷ δευτέρῳ διαπιστῶν οὐρανῷ ἔξω βαίνει τῆς εὐθείας ὁδοῦ, καὶ ὁ πλείους πειρώμενος ἀριθμεῖν μύθοις ἕπεται, τῆς τοῦ θείου Πνεύματος διδασκαλίας καταφρονῶν· πληθυντικῶς δὲ ἡ θεία Γραφὴ τοὺς οὐρανοὺς ὀνομάζει λέγουσα, οἱ οὐρανοὶ τῶν οὐρανῶν, ἐπειδὴ τῶν Ἑβραίων ἡ γλῶττα οὔτε τὸν οὐρανὸν, οὔτε τὸ ὕδωρ οἶδεν ἑνικῶς ὀνομάσαι» (εἰς Γένεσ. Ἐρώτ. ιά.). Ἀλλὰ καὶ ὁ μακάριος Χρυσοῤῥήμων μετὰ πολλῆς σφοδρότητος καταδικάζει τοὺς πολλοὺς οὐρανοὺς λέγειν ἐπιχειροῦντας· «Τίς ἂν οὖν λοιπὸν μετὰ τὴν τοιαύτην διδασκαλίαν ἀνάσχοιτο τῶν ἁπλῶς ἐξ οἰκείας διανοίας φθέγγεσθαι βουλομένων, καὶ ἀπεναντίας τῇ θείᾳ Γραφῇ πολλοὺς οὐρανοὺς λέγειν ἐπιχειρούντων» (Ὁμιλ. Δ'. εἰς Γέν.); Ἐν τοιαύτῃ δὲ διαφορᾷ δοξῶν ὁ Φιλάστριος ἐπιτρέπει καὶ ἀκίνδυνον νομίζει τὸ δοξάζειν καὶ παραδέχεσθαι ἢ ἑπτὰ, ἢ τρεῖς, ἢ καὶ δύο μόνον· «Sive ergo septem quis acceperit, ut David, sive tres, sive duos, non errat»· καταδικάζει ὅμως ὡς αἵρεσιν τὸ ἕνα καὶ μόνον ὁμολογεῖν οὐρανόν· «de coelorum diversitate est haeresis quæ ambigat».

[1]) Τὸ «μόνους», τεθειμένον ὑπὸ τοῦ Τ. ἐκ τῶν Κωδ. Roe, Casaub., λείπει ἐκ τοῦ Κώδ. Α.

[2]) Οἱ Κώδ. Roe καὶ Casaub. μετὰ τὸ «οὐρανούς» ἔχουσι «τότε νόησον, ὅτι οὔπω οὐδὲ . . . .».

[3]) Ἀντὶ «τῶν ὄντων» ὁ Κώδ. Α. ἔχει «πάντων».

[4]) «Ἀρίθμησον», ἔχουσιν οἱ Κώδ. Α., Roe καὶ Casaub., ὡς καὶ κατωτέρω, ὁ Τ. ἔχει «ἀρίθμησαι».

πλήθη ἄστρων, καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλοῦντα[1]). Σταγόνες ὑετῶν λαβροτέρων προσφάτως ἐπελθοῦσαι[2]) μικροῦ δεῖν ἀπώλεσαν ἡμᾶς. Ἀρίθμησον ταύτης μόνης τῆς πόλεως τὰς σταγόνας· καὶ οὐ λέγω τῆς πόλεως, ἀλλὰ τοῦ σοῦ σώματος εἰς μίαν ὥραν τὰς σταγόνας ἀρίθμησον, εἴ σοι δυνατόν· ἀλλὰ ἀδύνατον· γίνωσκε σεαυτοῦ τὴν ἀσθένειαν. Ἐκ τούτου γνῶθι τοῦ Θεοῦ τὴν δύναμιν· ἠρίθμηνται γὰρ αὐτῷ σταγόνες ὑετοῦ, αἱ κατὰ πάσης τῆς οἰκουμένης οὐ νῦν χυθεῖσαι μόνον, ἀλλὰ γὰρ καὶ πάντοτε[3]). Ποίημα Θεοῦ ἥλιος, μέγα μέν, μικρότατον δὲ πρὸς σύγκρισιν τοῦ παντὸς οὐρανοῦ. Ἐνατένισον πρῶτον τῷ[4]) ἡλίῳ, καὶ τότε τὸν δεσπότην πολυπραγμόνησον· «Βαθύτερά σου[5]) μὴ ζήτει, καὶ ἰσχυρότερά σου μὴ ἐξέταζε· ἃ προσετάγη σοι, ταῦτα διανοοῦ».

---

[1]) Ἐκ τῆς περὶ τὰ ὁρώμενα ταῦτα κτίσματα ἀβλεψίας καὶ ἀγνωσίας τοῦ ἀνθρωπίνου νοὸς συμπεραίνουσι τὸ ἀκατάληπτον τῆς θείας φύσεως καὶ Γρηγόριος ὁ Θεολόγος, καὶ Βασίλειος ὁ Μέγας, καὶ ἄλλοι συχνοί. Ὅλος σχεδὸν ὁ κή. Λόγος τοῦ Γρηγορίου ἐν τούτῳ καταναλίσκεται, ἵνα δείξῃ καὶ παραστήσῃ τὴν περὶ ἕκαστον τῶν φαινομένων κτισμάτων ἡμετέραν ἄγνοιαν καὶ ἀκαταληψίαν· ὁ δὲ Μ. Βασίλειος φέρει καὶ ἓν θαυμαστὸν παράδειγμα τῆς τοῦ μύρμηκος φύσεως, ὅπερ παρατίθεμεν ἐνταῦθα χάριν τῶν φιλοθέων ἀναγνωστῶν· «Ὁ τὴν περὶ τῶν ὄντων εἴδησιν κατειληφέναι μεγαλαυχούμενος, τὸ σμικρότατον τῶν προφαινομένων, ὅπως ἔχει φύσεως, ἑρμηνευσάτω, καὶ τίς ἡ τοῦ μύρμηκος φύσις, εἰπάτω· εἰ πνεύματι καὶ ἄσθματι συνέχεται αὐτοῦ ἡ ζωή· εἰ ὀστέοις τὸ σῶμα διείληπται· εἰ νεύροις καὶ συνδέσμοις τὰς ἁρμονίας τετόνωται· εἰ μυῶν περιβολῇ καὶ ἀδένων ἡ τῶν νεύρων περικρατεῖται θέσις· εἰ τοῖς νωτιαίοις σπονδύλοις ἐκ τοῦ βρέγματος ἐπὶ τὸ οὐραῖον ὁ μυελὸς συμπαρατείνεται· εἰ τῇ περιοχῇ τοῦ νευρώδους ὑμένος τοῖς κινουμένοις μέλεσι τὴν ὁρμητικὴν ἐνδίδωσι δύναμιν κτλ.» (Τόμ. Γ΄. σελ. 135.).

[2]) Ἡ φράσις αὕτη ἐν τῷ Κώδ. Α. εὑρίσκεται οὕτω· «σταγόνες ὑετοῦ λαβρότερον προσφάτως ἐπελθοῦσαι».

[3]) Ἡ περίοδος αὕτη ἐν τῷ Ἀρχιεπισκοπικῷ Κώδηκι κεῖται οὕτω· «Ἀριθμοῦνται γὰρ αὐτῷ σταγόνες ὑετοῦ κατὰ πάσης τῆς οἰκουμένης, οὐχ αἱ νῦν χυθεῖσαι μόνον, ἀλλὰ γὰρ καὶ αἱ πάντοτε».

[4]) Τὸ ἄρθρον «τῷ» προσεθήκαμεν ἐκ τοῦ Κώδ. Α.

[5]) Τὸ κείμενον τῆς Γραφῆς ἔχει «χαλεπώτερά σου»· τὸ δὲ «ἃ προσε-

§. Ε΄. Ἀλλ' ἐρεῖ τις, εἰ ἀκατάληπτός ἐστιν ἡ θεία ὑπόστασις [1]), καὶ τί σὺ περὶ τούτων διηγῇ; Ἆρα οὖν ἐπειδὴ πάντα τὸν ποταμὸν ἐκπιεῖν ἀδυνατῶ, μηδὲ τὸ συμφέρον ἐμαυτῷ ἐμμέτρως λάβω; Ἆρα ἐπειδὴ πάντα τὸν ἥλιον τῇ τῶν ὀμμάτων καταστάσει χωρῆσαι οὐ

τάγη σοι κτλ.» ἀναφέρει ὁ Κύριλλος καὶ ἐν Κατηχ. ΙΑ΄. §. 19.

[1]) Οὕτως ἐν τῷ Κώδ. Α. ἐν δὲ ταῖς ἐκδόσεσιν «ἡ ὑπόστασις ἡ θεία». —Ἡ λέξις «ὑπόστασις» ἐνταῦθα καὶ κατωτέρω (§. 7.) εἴληπται ὡς ταυτόσημος τῇ φύσει καὶ οὐσίᾳ, καθὰ καὶ ἀλλαχοῦ ὁ Κύριλλος ταυτίζει τὴν φύσιν καὶ τὴν ὑπόστασιν Κατ. ΙΣΤ΄. §. 24. Καὶ παρ' ἄλλοις δὲ Πατράσι, καὶ παρ' αὐτῷ τῷ Μ. Ἀθανασίῳ ἀπαντᾶται ἡ ἐκδοχὴ αὕτη τῆς λέξεως· «Ἡ τῷ ὄντι καὶ ἀληθῶς καὶ ὄντως οὖσα οὐσία καὶ ὑπόστασις μία ἐστὶν» (Ἀθαν. Τόμ. Α΄. σελ. 302)· καὶ οἱ τῆς ἐν Σαρδικῇ Συνόδου Πατέρες ἐν τῇ ἐπιστολῇ αὐτῶν (παρὰ τῷ Θεοδωρητ. Ἐκκλ. Ἱστορ. β΄. 6.) λέγουσι· «Ἡμεῖς δὲ ταύτην παρειλήφαμεν καὶ δεδιδάγμεθα, καὶ ταύτην ἔχομεν τὴν καθολικὴν παράδοσιν καὶ πίστιν καὶ ὁμολογίαν, μίαν εἶναι ὑπόστασιν, ἣν αὐτοὶ οἱ αἱρετικοὶ οὐσίαν προσαγορεύουσι». Μάλιστα δὲ πάντων οἱ Λατῖνοι ἐξελάμβανον τὴν ὑπόστασιν ὡς οὐσίαν, καὶ μετέφραζον αὐτὴν substantiam· τοῦτο δὲ ἐποίουν «διὰ τὴν στενότητα τῆς παρ' αὐτοῖς γλώττης καὶ ὀνομάτων πενίαν» ὡς γράφει ὁ Θεολόγος Γρηγόριος ἐν τῷ εἰκοστῷ πρώτῳ λόγῳ. Ἐγένετο δὲ καὶ διάστασίς τις τὸ πάλαι καὶ φιλονεικία περὶ τῆς λέξεως ταύτης· οἱ μὲν μίαν ὡμολόγουν ὑπόστασιν ἐπὶ τῆς ἁγίας Τριάδος, οἱ δὲ τρεῖς· ἀλλ' ἡ διαφορὰ αὕτη ἦν ἀληθῶς γελοία καὶ ἐλεεινή, ὡς ἀποκαλεῖ αὐτὴν ὁ Γρηγόριος (ἔνθ. ἀνωτ.)· ἑκάτερα γὰρ τὰ μέρη εὐσεβῶς καὶ ὀρθοδόξως ἐξεδέχοντο τὴν λέξιν· καὶ οἱ μὲν μίαν λέγοντες ὑπόςασιν, ἐνόουν μίαν φύσιν καὶ μίαν οὐσίαν· οἱ δὲ τρεῖς αὐτὰς λέγοντες, ἐνόουν τὰ τρία θεαρχικὰ πρόσωπα τῆς ἁγίας Τριάδος. Τὴν φιλονεικίαν ταύτην κατέπαυσεν ὁ Μ. Ἀθανάσιος, συγκροτήσας Σύνοδον ἐν Ἀλεξανδρείᾳ τῷ 362, ἔνθα ἀμφότερα τὰ μέρη προσκαλεσάμενος, καὶ τὸν νοῦν τῶν λεγομένων ἀκριβῶς ἐξετάσας, εὗριν ἅπαντας συμφρονοῦντας καὶ εἰς τὸ αὐτὸ συντρέχοντας ὀρθόδοξον νόημα. Βλ. Γρηγορ. Ναζ. Λόγ. ΚΑ΄, καὶ Λόγ. ΜΒ΄. Ἐκ τῶν εἰρημένων δὲ γίνεται δῆλον, ὅτι καθ' ὃν χρόνον ἐδίδασκεν ὁ Κύριλλος τὰς Κατηχήσεις ἐν Ἱεροσολύμοις ἐπεκράτει ἤδη πανταχοῦ ζέουσα καὶ ἀκμαία ἡ φιλονεικία· καὶ διὰ τοῦτο ἴσως, σοφῶς καὶ φρονίμως ποιῶν ὁ ἱερὸς ἀνήρ, ἀπέφυγεν ἐπίτηδες τὴν λέξιν ἐν τῇ σημασίᾳ τοῦ προσώπου, καὶ οὐδαμοῦ τῶν Κατηχήσεων τίθησι τὴν ὑπόστασιν ὡς πρόσωπον, περιττὸν νομίζων καὶ ἄσκοπον τὸ παρα-

δύναμαι, μηδὲ πρὸς τὴν ἐμαυτοῦ χρείαν αὔταρκες[1]) ἐμβλέψω; ἢ καὶ ἐπειδὴ εἰς παράδεισον μέγαν εἰσελήλυθα, καὶ πᾶσαν τὴν τῶν ἀκροδρύων ὑπόστασιν φαγεῖν οὐ δύναμαι, βούλει με πεινῶντα τελείως ἐξελθεῖν[2]); Αἰνῶ καὶ δοξάζω τὸν ἡμᾶς ποιήσαντα· κέλευσμα γάρ ἐστι θεῖον τὸ λέγον· «Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον». Δοξάζειν τὸν Δεσπότην, ἀλλ' οὐχ ἐξηγεῖσθαι νῦν ἐπιχειρῶ· εἰδὼς μὲν ὅτι καὶ τοῦ δοξάζειν[3]) τῆς ἀξίας ἀπολειφθήσομαι[4]), ἔργον δὲ εὐσεβείας ἡγούμενος τὸ κἂν ὅλως ἐπιχειρεῖν· παραμυθεῖται γάρ μου τὴν ἀσθένειαν ὁ Κύριος Ἰησοῦς λέγων[5])· «Θεὸν οὐδεὶς ἑώρακε πώποτε».

θεῖναι τοῖς Κατηχουμένοις λέξιν τοσαύτην διάστασιν καὶ φιλονεικίαν προξενοῦσαν.

[1]) Ὁ Κώδ. Α. «αὐτάρκως».

[2]) Τὴν περὶ τὰ ἀκατάληπτα τοῦ Θεοῦ θρασεῖαν πολυπραγμοσύνην τοῦ ἀνθρωπίνου νοὸς περικόπτων καὶ τὰς περὶ τοῦ θείου ἐρεύνας ἐντὸς τῶν καθηκόντων ὅρων σοφῶς περιστέλλων καὶ ὁ θεῖος Μακάριος, λέγει· «Ἀλλὰ σὺ ὅσον εὑρίσκεις ἄρτον φάγε, καὶ ἄφες ὅλην τὴν γῆν· καὶ ἄπελθε εἰς τὸ χεῖλος τοῦ ποταμοῦ, καὶ πίε ὅσον χρείαν ἔχεις, καὶ πάρελθε καὶ μὴ ζητήσῃς, πόθεν ἔρχεται ἢ πῶς ῥέει. Σπούδασον θεραπευθῆναι τὸν πόδα ἢ τὸν πόνον τοῦ ὀφθαλμοῦ σου, ἵνα ἴδῃς τὸ φῶς τοῦ ἡλίου· μὴ ζητήσῃς δὲ, πόσον ἔχει φῶς ὁ ἥλιος, ἢ πόσον ἀνατέλλει;— τὸ παιδίον, ὅτε προσέρχεται τῷ μαζῷ τῆς μητρὸς, λαμβάνει τὸ γάλα καὶ τρέφεται· οὐκ οἶδε δὲ ἐρευνᾷν τὴν ῥίζαν ἢ τὴν πηγὴν, πόθεν οὕτως ἐπιρρέει» (Ὁμιλ. ΙΒ΄.). Ὅμοια εἶπε καὶ ὁ Μ. Βασίλειος· «Ἐροῦμεν δὲ οὐχ ὅσος ἐστὶν ὁ Θεὸς, ἀλλ' ὅσον ἡμῖν ἐφικτόν· οὐδὲ γὰρ ἐπειδὴ τὸν μεταξὺ οὐρανοῦ καὶ γῆς τόπον διαβῆναι ὅλον τοῖς ὀφθαλμοῖς ἀδυνατοῦμεν, ἤδη καὶ ὅσον δυνάμεθα καθορᾷν παραιτούμεθα» (Τόμ. Β΄. σελ. 183.).

[3]) Οὕτω σαφεστέρα κεῖται ἡ φράσις ἐν τῷ Ἀρχιεπισκοπικῷ Κώδηκι· ἐν δὲ τοῖς ἐκδεδομένοις εὑρίσκεται οὕτω· «εἰδὼς μέν τοι γε ὡς τοῦ δοξάζειν».

[4]) Φησὶ καὶ ὁ Μ. Βασίλειος· «Ἡ μὲν τοῦ δοξάζειν τὸν Θεὸν ἐπιθυμία πᾶσι τοῖς λογικοῖς κατὰ φύσιν ἐνέσπαρται, τοῦ δὲ πρὸς ἀξίαν εἰπεῖν, πάντες ὁμοίως ἀπολιμπάνονται (Τόμ. Β΄. σελ. 182.).

[5]) Ἡ ἐφεξῆς ἑπομένη ῥῆσίς ἐστιν οὐχὶ τοῦ Χριστοῦ, ἀλλὰ τοῦ εὐαγγελιστοῦ Ἰωάννου. Ὁ Τουτέος νομίζει τὸν Κύριλλον ὑποπεσόντα ἐνταῦθα εἰς ἁμάρτημα μνήμης, ἀλλ' ἴσως μᾶλλον νομιστέον, ὅτι ὁ Κύριλλος ἐν γνώσει καὶ ἐπίτηδες ἀπέδωκε τὴν ῥῆσιν εἰς τὸν Χριστόν· οὐ γὰρ Ἰωάννης ἦν ὁ κυρίως λαλῶν καὶ γράφων, ἀλλ' αὐτὸς ὁ Θεὸς, ὁ τὰ θεσπέσια

§. ϛ΄. Τί οὖν, ἐρεῖ τις, οὐ γέγραπται ὅτι «οἱ ἄγγελοι τῶν μικρῶν βλέπουσι διὰ παντὸς τὸ πρόσωπον τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς»; Ἀλλὰ βλέπουσιν οἱ ἄγγελοι, οὐ καθὼς ἐστιν ὁ Θεός, ἀλλὰ καθόσον καὶ αὐτοὶ χωροῦσιν[1]· αὐτὸς γάρ ἐστιν Ἰησοῦς ὁ λέγων· «Οὐχ ὅτι τὸν Πατέρα ἑώρακέ τις, εἰ μὴ ὁ ὢν ἐκ τοῦ Θεοῦ, οὗτος ἑώρακε τὸν Πατέρα». Βλέπουσιν οὖν οἱ ἄγγελοι καθ' ὃ χωροῦσι, καὶ ἀρχάγγελοι καθ' ὃ δύνανται· Θρόνοι δὲ καὶ Κυριότητες μειζόνως μὲν παρὰ τοὺς πρώτους, ἔλαττον δὲ τῆς ἀξίας. Μόνον δὲ βλέπειν δύναται ὡς χρὴ ἅμα τῷ Υἱῷ τὸ Πνεῦμα τὸ ἅγιον· ἐκεῖνο γὰρ πάντα ἐρευνᾷ καὶ γινώσκει, καὶ τὰ βάθη τοῦ Θεοῦ· ὥς γε καὶ ὁ μονογενὴς Υἱὸς γινώσκει καθ' ὃ δεῖ ἅμα τῷ Πνεύματι τῷ ἁγίῳ τὸν Πατέρα. «Οὐδὲ γὰρ τὸν Πατέρα τις ἐπιγινώσκει, φησὶν, εἰ μὴ ὁ Υἱὸς, καὶ ᾧ ἂν ὁ Υἱὸς ἀποκαλύψῃ»· βλέπει γάρ[2]) καθ' ὃ δεῖ, καὶ ἀποκαλύπτει σὺν τῷ Πνεύματι, καὶ διὰ τοῦ Πνεύματος, καθ' ὃ ἕκαστος χωρεῖ, τὸν Θεόν[3]).

ἐκεῖνα ῥητὰ τῇ καθαρᾷ διανοίᾳ τοῦ Ἀποστόλου ἐμπνέων.

[1]) Γνώμη αὕτη πλείστων ἐπιφανῶν διδασκάλων τῆς Ἐκκλησίας, ὅτι οὔτε οἱ ἄγγελοι βλέπουσι τὸν Θεὸν καθώς ἐςι, ἀλλὰ καθ' ὅσον χωροῦσιν. Οὕτω λέγει ὁ Χρυσοῤῥήμων (Ὁμιλ. ΙΕ΄. εἰς Ἰωάννην)· «Ἐπεὶ αὐτὸ, ὅπερ ἐστὶν ὁ Θεὸς, οὐ μόνον Προφῆται, ἀλλ' οὐδὲ ἄγγελοι εἶδον, οὔτε ἀρχάγγελοι· ἀλλ' ἐὰν ἐρωτήσῃς αὐτοὺς, ἀκούσῃ περὶ μὲν τῆς οὐσίας οὐδὲν ἀποκρινομένους, δόξαν δὲ ἐν ὑψίστοις ἀναπέμποντας Θεῷ»· καὶ ὁ Μ. Βασίλειος (κατὰ Εὐνομ. Λόγ. Α΄.)· «Οἶμαι δὲ οὐκ ἀνθρώπου, μόνον, ἀλλὰ καὶ πᾶσαν λογικὴν φύσιν ὑπερβαίνειν αὐτοῦ τὴν κατάληψιν». Ὅρα καὶ Γρηγόρ. Ναζ. (Λόγ. ΛΔ΄.) καὶ Βασίλ. Σελευκ. (Ὁμιλ. Α΄.) Φώτιον (Ἀμφιλ. Ζήτ. 130). Ἐπὶ πᾶσι τούτοις πρόσθες τὰ τοῦ μακαρίου Θεοδωρήτου (Διαλογ. Α΄.)· «Οὕτω τοίνυν καὶ περὶ τῶν ἀγγέλων νοήσωμεν, ἀκούοντες ὅτι καθ' ἡμέραν ὁρῶσι τὸ πρόσωπον τοῦ Πατρὸς ἡμῶν· οὐ γὰρ τὴν θείαν οὐσίαν ὁρῶσι, τὴν ἀπερίγραπτον, τὴν ἀκατάληπτον, τὴν ἀπερινόητον, τὴν περιληπτικὴν τῶν ὅλων· ἀλλὰ δόξαν τινὰ τῇ αὐτῶν φύσει συμμετρουμένην»· καὶ Θεοφύλακτος (εἰς Ἰωάννην κεφ. ά.)· «Ἀλλ' οὐδὲ οἱ ἄγγελοι βλέπουσι Θεοῦ οὐσίαν, εἰ καὶ λέγονται τὸ πρόσωπον τοῦ Θεοῦ ὁρᾷν· τοῦτο γὰρ ἐνδεικτικόν ἐστι μόνου τοῦ φαντάζεσθαι ἀεὶ Θεόν».

[2]) Προσεθήκαμεν τὸν «γάρ», κείμενον μὲν ἐν τοῖς Κώδηξιν Α., Roe καὶ Casaub., λείποντα δὲ ἐκ τῶν ἐκδεδομένων.

[3]) Ἡ περίοδος αὕτη ἐν τῷ ἀρχιεπι-

Ἐπειδὴ καὶ τῆς θεότητος τῆς πατρικῆς ἐστι σὺν τῷ Πνεύματι τῷ ἁγίῳ κοινωνὸς ὁ Υἱὸς ὁ μονογενής· ὁ γεννηθείς, οἶδε τὸν γεννήσαντα[1]), καὶ ὁ γεννήσας οἶδε τὸν γεγεννημένον. Ἀγγέλων τοίνυν ἀγνοούντων, (κατὰ γὰρ τὴν οἰκείαν ἑκάστῳ δύναμιν ἀποκαλύπτει[2]) διὰ τοῦ Πνεύματος τοῦ ἁγίου ὁ Μονογενής, ὡς εἰρήκαμεν), μηδεὶς ἀνθρώπων ἐπαισχυνέσθω τὴν ἄγνοιαν ὁμολογεῖν. Λαλῶ νῦν ἐγὼ καὶ οἱ πάντες κατὰ καιρὸν, ἀλλὰ τὸ πῶς λαλοῦμεν[3]), εἰπεῖν ἀδυνατοῦμεν. Πῶς οὖν τὸν δόντα τὸ λαλεῖν δύναμαι διηγήσασθαι; Ὁ ψυχὴν ἔχων ἐγὼ, καὶ τοὺς χαρακτῆρας αὐτῆς εἰπεῖν μὴ δυνάμενος, πῶς τὸν δοτῆρα τῆς ψυχῆς ἐξειπεῖν δυνήσομαι;

§. Ζ΄. Αὔταρκες ἡμῖν εἰς εὐσέβειάν ἐστι[4]) τοῦτο μόνον, τὸ εἰδέναι ὅτι Θεὸν ἔχομεν, Θεὸν ἕνα, Θεὸν ὄντα, ἀεὶ ὄντα, ὅμοιον ἀεὶ ἑαυτῷ ὄντα, οὗ πατὴρ οὐκ ἔστιν ἄλλος, οὗ μηδεὶς ἰσχυρότερος, ὃν οὐδεὶς διαδεξάμενος ἐκβάλλει τῆς βασιλείας[5]), τὸν πολυώνυμον, καὶ

σκοπικῷ Κώδηκι εὑρίσκεται οὕτω· «Βλέπει γὰρ καθ' ὃ δεῖ, καὶ διηγεῖται διὰ τοῦ Πνεύματος καθ' ὃ ἕκαστος χωρεῖ τὸν Θεόν». Ἐν δὲ τοῖς Κώδ. Roe, Casaub. ἀναγινώσκεται οὕτω· «Βλέπει γὰρ καθ' ὃ δεῖ ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ διηγεῖται τοῖς λογικοῖς καθ' ὃ ἕκαστος χωρεῖν δύναται τὸν Θεόν».

[1]) Οὕτως ἁπλουστέρα κεῖται ἡ φράσις αὕτη ἔν τε τῷ ἀρχιεπισκοπικῷ Κώδηκι καὶ ἐν τοῖς Κώδ. Roe καὶ Casaub., ἐν δὲ τοῖς ἐκδεδομένοις τετύπωται οὕτω· «Ὁ γεννηθεὶς ἀπαθῶς πρὸ τῶν χρόνων αἰωνίων οἶδε τὸν γεννήσαντα». Οὐδεμία ἀνάγκη ἦν τῆς προσθήκης ταύτης, καὶ γραμματικῶς χωλαινούσης.

[2]) Μετὰ τὸ «ἀποκαλύπτει» αἱ ἐκδόσεις ἔχουσι «σὺν τῷ Πνεύματι»· ἀλλ' ἡ προσθήκη αὕτη οὐδόλως ἐστὶν ἀναγκαία ἐνταῦθα, οὐδ' ἐν τῷ ἀρχιεπισκοπικῷ Κώδηκι κεῖται, οὐδ' ἐν τοῖς Κώδ. Roe, Casaub. εὕρηται.

[3]) Τὸ ῥῆμα «λαλοῦμεν» προσεθήκαμεν ἐκ τοῦ ἀρχιεπισκοπικοῦ Κώδηκος· οὕτω δὲ σαφέστερος ἀπέβη ὁ λόγος.

[4]) «Ἔσται» ἔχουσιν οἱ τρεῖς Κώδ. Α., Roe καὶ Casaub.

[5]) Τοὺς Μανιχαίους αἰνίττεται ὁ Πατὴρ ἐνταῦθα, τοὺς δυσσεβῶς ληροῦντας, ὅτι ὁ ἄρχων τοῦ σκότους, ἐπαναστὰς κατὰ τοῦ ἀγαθοῦ Θεοῦ, ἀφήρπασεν ἀπ' αὐτοῦ πολλὴν δύναμιν. Ἐπιφάν. (Τόμ. Α΄. σελ. 672), Αὐγουστῖνος (Contra Manich. cap. 13. et cap. 16.). Ὁμοίας ἀνοίας μεστὰ ἐλήρουν καὶ οἱ Γνωστικοὶ λεγόμενοι αἱρετικοὶ, οἷον Σίμων ὁ μά-

παντοδύναμον, καὶ μονοειδῆ τὴν ὑπόστασιν· οὐ γὰρ ὅτι καλεῖται ἀγαθὸς, καὶ δίκαιος, καὶ παντοκράτωρ, καὶ Σαβαὼθ, παρὰ τοῦτο διάφορός ἐστι καὶ ἀλλοῖος [1])· ἀλλ' εἷς ὢν καὶ ὁ αὐτὸς, μυρίας ἐκπέμπει τὰς τῆς θεότητος ἐνεργείας· οὐκ ἐν μέρει πλέον ἔχων, καὶ ἐν μέρει ἐλαττούμενος· ἀλλ' ἐν πᾶσιν ὅμοιος ὢν αὐτὸς ἑαυτῷ· οὐ μέγας ἐν φιλανθρωπίᾳ μόνον, καὶ μικρὸς ἐν σοφίᾳ, ἀλλ' ἰσοδύναμον ἔχων τὴν σοφίαν καὶ τὴν φιλανθρωπίαν [2])· οὐκ ἐν μέρει βλέπων, ἐν μέρει δὲ τοῦ βλέπειν ἀπεστερημένος, ἀλλ' ὅλος ὢν ὀφθαλμὸς, καὶ ὅλος ἀκοὴ [3]),

---

γος (Εἰρην. ά, 23.), Σατουρνῖνος (Εἰρην. ά. 24.), Βασιλείδης (αὐτ.), Μαρκίων (αὐτ. 27.).

[1]) Κατὰ τῶν ἀφρόνων Γνωστικῶν διδάσκει ταῦτα ὁ Κύριλλος, οἵτινες ἐκ τῶν διαφόρων τοῦ Θεοῦ ὀνομάτων διαφόρους δεῖξαι ἐσπούδαζον ἐνεργείας καὶ θεούς. Ταῦτα ἱστορεῖ ὁ μακάριος Εἰρηναῖος (β', 35)· «Si autem quidam secundum hebraeam linguam diverse dictiones positas in Scripturis opponant, quale est Sabaoth et Eloë et Adonaï et alia quæcunque sunt talia, ex his ostendere elaborantes diversas virtutes atque deos: discant quoniam unius et ipsius significationes et nuncupationes sunt omnia hujusmodi». Παραπλήσια τοῖς ὑπὸ τοῦ ἱεροῦ Κυρίλλου ἐνταῦθα εἰρημένοις εἰσὶ καὶ τὰ τοῦ Μ. Βασιλείου (Ἐπιστ. 189.)· «Πάντα τὰ θεοπρεπῆ νοήματά τε καὶ ὀνόματα ὁμοτίμως ἔχει πρὸς ἄλληλα τῷ μηδὲν περὶ τὴν τοῦ ὑποκειμένου διαφέρειν σημασίαν· οὐ γὰρ ἐπ' ἄλλο τι ὑποκείμενον χειραγωγεῖ τὴν διάνοιαν τοῦ ἀγαθοῦ ἡ προσηγορία, ἐφ' ἕτερον δὲ ἡ τοῦ σοφοῦ, καὶ τοῦ δυνατοῦ, καὶ τοῦ δικαίου· ἀλλ' ὅσα περ ἂν εἴπῃς ὀνόματα, ἓν διὰ πάντων ἐστὶ τὸ σημαινόμενον· κἂν Θεὸν εἴπῃς, τὸν αὐτὸν ἐνεδείξω, ὃν διὰ τῶν λοιπῶν ὀνομάτων ἐνόησας». Πρόσθες τούτοις καὶ ὅσα ὑψηλῶς καὶ θεηγόρως γράφει Γρηγόριος ὁ Ναζιανζηνὸς (Λόγ. 45)· «Τινὲς δὲ, ταῖς προσηγορίαις ὁμοῦ καὶ τὴν οὐσίαν παχυμερῶς συνδιαιρεῖσθαι δοξάζοντες, ἀνάξια παντάπασι τῶν θείων ταῖς ἑαυτῶν ἐννοίαις δοξάζουσιν. Εἰδέναι δὲ ἀκόλουθον ἡμᾶς τοὺς τῆς ἀληθείας ἐπιγνώμονας, ὡς ἀδιαίρετός ἐστι καὶ μονοειδὴς ἡ θεία τε καὶ ἀμερὴς τοῦ κρείττονος οὐσία, πρὸς δὲ τὸ χρήσιμον τῆς ἡμετέρας τῶν ψυχῶν σωτηρίας· καὶ μερίζεσθαι ταῖς ὀνομασίαις δοκεῖ».

[2]) Ἐν τῷ Κώδ. Α. καὶ ἐν ἄλλοις κεῖται· «ἰσοδύναμον ἔχων τῇ σοφίᾳ τὴν φιλανθρωπίαν».

[3]) «Ὅλος ἀκοὴ καὶ ὅλος ὀφθαλμὸς» φησὶ καὶ ὁ Κλημ. Ἀλεξ. (Στρωμ. Ζ', 7. §. 37). Τὰ αὐτὰ εἶπε καὶ ὁ μακάριος Εἰρηναῖος (ά, 12.)· «Ὅλος

καὶ ὅλος νοῦς· οὐχ ὡς ἡμεῖς ἐν μέρει νοῶν, καὶ ἐν μέρει μὴ[1]) γινώσκων[2])· βλάσφημος γὰρ ὁ λόγος, καὶ θείας ὑποςάσεως ἀνάξιος. Προγνώστης ἐστὶ τῶν ὄντων, καὶ ἅγιος, καὶ παντοκράτωρ, καὶ πάντων ἀγαθώτερος[3]), καὶ πάντων μείζων, καὶ πάντων σοφώτερος· οὗ μήτε

νοῦς, ὅλος φῶς, ὅλος ὀφθαλμὸς, ὅλος ἀκοὴ, ὅλος πηγὴ πάντων τῶν ἀγαθῶν». Τὴν αὐτὴν ἔννοιαν ἐξέφρασε καὶ ὁ ἱερὸς Θεοδώρητος (εἰς Ψαλμ. 129.)· «Ἡμῶν γὰρ οἱ ὀφθαλμοὶ τὴν ὀπτικὴν ἔχουσι δύναμιν, τὰ δὲ ὦτα τὴν ἀκουστικὴν ἐνέργειαν ἐπιστεύθη· ὁ δὲ Θεὸς ᾗ ἀκούει, ταύτῃ καὶ βλέπει, καὶ ᾗ βλέπει, ταύτῃ καὶ ἀκούει».

[1]) Τὸ ἀρνητικὸν «μὴ» λείπει ἐκ τοῦ Κώδ. Α. οὐδ' ἔστιν ἀναγκαῖον· ἀλλ' ἐπειδὴ ἔχουσι τοῦτο ἅπασαι αἱ ἐκδόσεις καὶ οἱ γνωστοὶ Κώδηκες, ἐτηρήσαμεν αὐτὸ καὶ ἡμεῖς.

[2]) Ὑψηλὰ καὶ θαυμάσιά εἰσιν, ὅσα ὁ μέγας Διονύσιος περὶ ταύτης τῆς ἁπλῆς καὶ ἀμερίστου καὶ ἑνιαίας καὶ πάντων περιληπτικῆς γνώσεως τοῦ Θεοῦ θεηγόρως ἐλάλησεν· «Ὁ θεῖος νοῦς πάντα συνέχει τῇ πάντων ἐξῃρημένῃ γνώσει, κατὰ τὴν πάντων αἰτίαν ἐν ἑαυτῷ τὴν πάντων εἴδησιν προειληφώς· πρὶν ἀγγέλους γενέσθαι εἰδὼς, καὶ παράγων ἀγγέλους· καὶ πάντα τὰ ἄλλα ἔνδοθεν καὶ ἀπ' αὐτῆς, ἵν' οὕτως εἴπω, τῆς ἀρχῆς εἰδὼς, καὶ εἰς οὐσίαν ἄγων· καὶ τοῦτο οἶμαι παραδιδόναι τὸ λόγιον, ὁπόταν φησίν· ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν· οὐ γὰρ ἐκ τῶν ὄντων τὰ ὄντα μανθάνων οἶδεν ὁ θεῖος νοῦς, ἀλλ' ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ κατὰ αἰτίαν τὴν πάντων εἴδησιν καὶ γνῶσιν καὶ οὐσίαν προέχει καὶ προσυνείληφεν· οὐ κατ' ἰδέαν ἑκάστοις ἐπιβάλλων, ἀλλὰ κατὰ μίαν τῆς αἰτίας ὑπεροχὴν τὰ πάντα εἰδὼς καὶ συνέχων» (περὶ θείων ὀνομ. κεφ. 7.). Φησὶ δὲ καὶ κατωτέρω ὁ αὐτὸς θεολόγος, ὅτι ὁ Θεὸς γινώσκει «ἀμερίστως τὰ μεριστὰ, καὶ τὰ πολλὰ ἑνιαίως». Ἄριςα καὶ τὰ τοῦ Ἀλεξανδρέως Κλήμεντος (Στρωμ. ς', 17. §. 156.)· «Ὁ γάρ τοι Θεὸς πάντα οἶδεν, οὐ μόνον τὰ ὄντα, ἀλλὰ καὶ τὰ ἐσόμενα, καὶ ὡς ἔσται ἕκαστον, τάς τε ἐπὶ μέρους κινήσεις προορῶν, πάντ' ἐφορᾷ, καὶ πάντ' ἐπακούει, γυμνὴν ἔσωθεν τὴν ψυχὴν βλέπων, καὶ τὴν ἐπίνοιαν τὴν ἑκάστου τῶν κατὰ μέρος ἔχει δι' αἰῶνος· καὶ ὅπερ ἐπὶ τῶν θεάτρων γίνεται, καὶ ἐπὶ τῶν ἑκάστου μερῶν κατὰ τὴν ἐνόρασίν τε καὶ περιόρασιν καὶ συνόρασιν, τοῦτο ἐπὶ τοῦ Θεοῦ γίνεται· ἀθρόως γὰρ πάντα, καὶ ἕκαστον ἐν μέρει μιᾷ προσβολῇ προσβλέπει».

[3]) Πάντων ἀγαθώτερον λέγει τὸν Θεὸν ὁ Κύριλλος, οὐχὶ σύγκρισιν εἰσάγων, ἀλλὰ τὸ ἄκρον καὶ πανέξοχον καὶ πανυπερτέλειον τῆς τοῦ Θεοῦ ἀγαθότητος δεῖξαι βουλόμενος· ἡ γὰρ θεία φύσις «παντὸς ἀγαθοῦ ἐπέκεινα καὶ πᾶσαν ἀγαθὴν ἔννοιαν ὑπερέχουσα» κατὰ τὸν θεσπέσιον Γρηγόριον

ἀρχὴν, μήτε μορφὴν, μήτε εἶδος ἐξειπεῖν[1]) δυνησόμεθα· «οὔτε γὰρ φωνῆς αὐτοῦ πώποτε ἀκηκόατε[2]), οὔτε εἶδος αὐτοῦ ἑωράκατε», φησὶν ἡ θεία Γραφή· διὸ καὶ πρὸς τοὺς Ἰσραηλίτας φησὶν ὁ Μωσῆς· «Καὶ φυλάξασθε σφόδρα ταῖς ψυχαῖς ἡμῶν, ὅτι ὁμοίωμα οὐκ εἴδετε». Εἰ γὰρ ὅλως τὴν ὁμοιότητα δυνατὸν φαντασθῆναι, ἐγγὺς ἔσται ἡ διάνοια τῆς ὑποστάσεως[3]).

§. Η΄. Ἐφαντάσθησαν πολλοὶ πολλὰ, καὶ πάντες ἀποτετυχήκασι. Καὶ οἱ μὲν πῦρ ἐνόμισαν εἶναι τὸν Θεόν[4])· ἕτεροι δὲ πτερωτὸν

Νύσσης (Τόμ. Β΄. σελ. 635.). Ἵνα δὲ φανερωτέρα γένηται ἡ ἄπειρος διάστασις τῆς ἀγαθότητος τοῦ Θεοῦ καὶ τῶν κτισμάτων, κείσθωσαν ἐνταῦθα τὰ τοῦ ἱεροῦ Μαξίμου· «Ὅτι ὁ Θεὸς τὸ ἀγαθὸν οὐ συμβεβηκότως ἔχει, καθάπερ τινὰ ποιότητα, ὡς ἡμεῖς τὰς ἀρετάς· ἀλλ' οὐσία τοῦ ἀγαθοῦ αὐτὸς ὁ Θεὸς ὑπάρχων» (εἰς τὸ δ΄. κεφ. τοῦ περὶ θείων ὀνομ. τοῦ Διονυσίου). Ὅμοιά φησιν αὐτόθι καὶ ὁ Παχυμέρης· «Οὐ μὴν δὲ, ἀλλ' ὅτι οὐκ ἐπίκτητον καὶ συμβεβηκὸς ἔχει τὸ ἀγαθὸν ὁ Θεὸς, ὥστε ἄλλο τι ὂν, ἐπισύμβαμα ἔχειν τὸ ἀγαθὸς, ἀλλ' οὐσία τοῦ ἀγαθοῦ αὐτὸς ὑπάρχων, ἐκτείνει περὶ πάντας τὴν τῆς ἀγαθότητος αἴγλην φυσικῶς ἐν τῷ εἶναι ἀγαθόν». Διὰ τοῦτο καὶ ὁ Θεολόγος Γρηγόριος τὴν ἀγαθότητα μόνῳ τῷ Θεῷ ἀνήκουσαν εἶπε· «καὶ τὴν ἀγαθότητα, ἣ μάλιστα μόνου Θεοῦ» (Λόγ. 30)· καὶ μικρὸν δὲ κατωτέρω ἐξηγούμενος τὸ «οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεὸς» λέγει· «τὸ γὰρ ἄκρως ἀγαθὸν, φησὶ, μόνου Θεοῦ, κἂν τοῦτο καὶ ἄνθρωπος ὀνομάζεται».

[1]) Ἀντὶ τοῦ «ἐξειπεῖν» οἱ Κώδ. A., R., C. ἔχουσιν «ἐξηγήσασθαι».

[2]) Τὸ ἱερὸν κείμενον «οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε πώποτε».

[3]) Οὕτω καταφατικῶς ἐκφέρει τὸν λόγον ὁ ἀρχιεπισκοπικὸς Κώδηξ, καθὰ καὶ οἱ Κώδ. Roe, Casaub. καὶ ἄλλοι· ὁ Μ. καὶ Τ. ἐξ αὐθεντίας ἄλλων Κωδήκων ἐκφέρουσι τὴν περίοδον ἐρωτηματικῶς, τιθέντες ἀντὶ τοῦ «δυνατὸν» «ἀδύνατον», καὶ προστιθέντες «ἄρα» οὕτως· «Εἰ γὰρ ὅλως τὴν ὁμοιότητα ἀδύνατον φαντασθῆναι, ἐγγὺς ἔσται ἄρα ἡ διάνοια τῆς ὑποστάσεως»; Κατ' ἀμφοτέρους τοὺς τρόπους τὸ νόημα μένει σχεδὸν τὸ αὐτό.

[4]) Πολλοὶ ἦσαν οἱ τὸ πῦρ ὡς Θεὸν λατρεύοντες. Πάντων μάλιστα ἐπὶ πυρολατρείᾳ διάσημοι τυγχάνουσιν οἱ Πέρσαι, περὶ ὧν φησιν ὁ Χρυσόστομος (Ὁμιλ. Δ΄. εἰς τοὺς Ἀντιοχεῖς)· «Θεὸς παρὰ τοῖς Πέρσαις εἶναι νομίζεται τὸ πῦρ, καὶ τιμῶσιν αὐτὸ μετὰ πολλῆς τῆς θεραπείας οἱ βάρβαροι, οἱ τὴν χώραν ἐκείνην οἰκοῦντες ἔτι καὶ

ὡς ἄνθρωπον[1]) διὰ τὸ γεγράφθαι μὲν καλῶς, νοεῖσθαι δὲ κακῶς τό, «ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με». Ἐπελάθοντο τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ μονογενοῦς, λέγοντος ὁμοίως καὶ περὶ ἑαυτοῦ πρὸς τὴν Ἱερουσαλήμ· «Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ὄρνις τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε»[2]); Τῆς γὰρ φρουρητικῆς αὐτοῦ δυνάμεως εἰς πτέ-

---

νῦν», καὶ ὁ Θεοδώρητος (Ἐκκλ. Ἱστορ. ἑ. 38.)· «Πυρεῖα καλοῦσιν οἱ Πέρσαι τοῦ πυρὸς τοὺς νεώς· Θεὸν γὰρ τὸ πῦρ ὑπειλήφασι». Ἡ τοῦ πυρὸς αὕτη λατρεία διεδόθη καὶ εἰς τοὺς Καππαδόκας, Φρύγας, Αἰγυπτίους, Ἕλληνας καὶ Ῥωμαίους. Βλ. Wossium (de Idololatr. II. 64.). Suiceri (Thesaurum ἐν λ. πῦρ). Ὁ Μ. Βασίλειος (Ἐπιστ. 158. Τόμ. Γ΄. σελ. 572.) περὶ τῶν Μαγουσαίων ἱστόρησεν ὅτι «τὸ πῦρ ἡγοῦνται Θεόν». Γνωστὴ ἡ θεοποίησις τοῦ πυρὸς παρ' Ἕλλησιν ὑπὸ τὸ ὄνομα τοῦ Ἡφαίστου, παρὰ Ῥωμαίοις δὲ ὑπὸ τὸ ὄνομα τοῦ Vulcani· ἀλλὰ δὴ καὶ φιλόσοφοι ἱστόρηνται τὸ πῦρ ὡς Θεὸν ὑπειληφότες· τοιοῦτοι ἦσαν Ἵππασος καὶ Ἡράκλειτος, καθὰ φησὶν ὁ Κλήμης ἐν τῷ Προτρεπτικῷ (ἑ. §. 64)· «Τὸ πῦρ Θεὸν ὑπειλήφατον Ἵππασός τε ὁ Μεταποντῖνος καὶ ὁ Ἐφέσιος Ἡράκλειτος». Ὅμοιόν τι ἐνόσουν καὶ οἱ Στωϊκοί. Πλούταρχ. (Ἀρέσκ. τοῖς φιλοσόφ. βιβλ. α΄. κεφ. 7.).

[1]) Τοὺς ἀνθρωπομορφίτας ἐννοεῖ πάντως ὁ Κύριλλος ἐνταῦθα, τοὺς εἶδος καὶ μορφὴν ἀνθρωπίνην καὶ ὑλικὴν τῷ Θεῷ περιτιθέντας. Ἡ αἵρεσις αὕτη ἤκμασε κατὰ τὸν τέταρτον αἰῶνα, ἀρχηγὸν σχοῦσα Αὐδαῖόν τινα ἐκ Μεσοποταμίας, περὶ οὗ φησιν ὁ Θεοδώρητος (αἱρετ. κακομ. δ΄. 10.)· «Αὐδαῖος δέ τις ἐκ τῆς πέραν Εὐφράτου Συρίας ὁρμώμενος, ἀνθρωπόμορφον ἔφησε τὸν Θεόν, καὶ τὰ τοῦ σώματος αὐτῷ περιτέθεικε μόρια, τὰ συγκαταβατικῶς παρὰ τῆς θείας εἰρημένα Γραφῆς ἀνοήτως νενοηκώς». Ὅρα καὶ Ἐπιφ (Τόμ. Α΄. σελ. 813). Ἀλλ' ὁ ἀνθρωπομορφισμὸς πολὺ φαίνεται ἀρχαιότερος τοῦ Αὐδαίου, καὶ ἤδη κατὰ τὴν τρίτην ἑκατονταετηρίδα βλέπομεν τὸν Ὠριγένην ἀνασκευάζοντα καὶ πολεμοῦντα τὴν πλάνην ταύτην. Βλέπε τεμάχιον Ὠριγένους παρὰ τῷ Θεοδωρήτῳ (εἰς Γέν. Ἐρώτ. κ΄.). Ἡ αἵρεσις ἀπαντᾶται καὶ ἐν τοῖς Κλημεντίοις (Ὁμιλ. ΙΖ΄.). Πιθανὸν δὲ, ὅτι ὁ Κύριλλος πρὸς ταύτην μᾶλλον τὴν ἀρχαιοτέραν πλάνην ἀπέβλεπε γράφων, ἢ πρὸς τοὺς νεωστὶ τότε ἀναφανέντας Αὐδιανούς. Κατὰ τοῦ ἀνθρωπομορφισμοῦ γράφει καὶ ὁ Θεολόγος Γρηγόριος (ἐν τῷ λδ΄. Λόγῳ), καὶ ὁ Κύριλλος Ἀλεξανδρείας (Τόμ. ΣΤ΄. σελ. 364.).

[2]) «Ἠθελήσατε» ἔχει καὶ ὁ Κώδ. Α. καὶ ἄλλοι, καθὼς καὶ ἡ Γραφή· αἱ δὲ ἐκδόσεις «ἠθέλησας».

ρυγὰς λαμβανομένης, οὗτοι μὴ νοήσαντες, εἰς ἀνθρώπινα πράγματα καταπεσόντες, ἀνθρωπίνως ὑπέλαβον εἶναι τὸν ἀνεξιχνίαστον. Οἱ δὲ ἑπτὰ[1]) ὀφθαλμοὺς ἔχειν αὐτὸν εἰπεῖν ἐτόλμησαν διὰ τὸ γεγράφθαι· « Ἑπτὰ ὀφθαλμοὶ Κυρίου, ἐπιβλέποντες ἐπὶ πᾶσαν τὴν γῆν »· εἰ γὰρ ἑπτὰ ὀφθαλμοὺς μόνους ἐν μέρει περίκειται, μερικὸν ἄρα τὸ βλέπειν αὐτῷ καὶ οὐ παντελές· ὅπερ ἐπὶ Θεοῦ λέγειν δύσφημόν ἐστι· τὸν γὰρ Θεὸν τέλειον ἐν πᾶσιν εἶναι δεῖ πιστεύειν κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν τὴν λέγουσαν· « Ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστι ». Τέλειος ἐν τῷ βλέπειν, τέλειος ἐν τῷ δύνασθαι, τέλειος ἐν μεγέθει, τέλειος ἐν προγνώσει[2]), τέλειος ἐν ἀγαθωσύνῃ, τέλειος ἐν δικαιοσύνῃ, τέλειος ἐν φιλανθρωπίᾳ· οὐκ ἐν τόπῳ περιωρισμένος, ἀλλὰ τῶν τόπων ποιητής· ἐν πᾶσιν ὤν, καὶ ὑπ' οὐδενὸς περιγραφόμενος. Θρόνος αὐτῷ ὁ οὐρανός, ἀλλ' ὑπερανέχει ὁ καθεζόμενος[3])· ὑποπόδιον[4]) ἡ γῆ, ἀλλὰ φθάνει ἡ δύναμις καὶ μέχρι καταχθονίων[5]).

§. Θ΄. Εἷς ἐστι πανταχοῦ παρών, πάντα βλέπων, πάντα νοῶν, πάντα διὰ Χριστοῦ κατασκευάζων· « Πάντα γὰρ δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν »[6])· πηγὴ παντὸς ἀγαθοῦ μεγίστη

---

[1]) Ἐν τῷ Κώδ. Α. πρὸ τοῦ « ἑπτὰ ». κεῖται « καί ».

[2]) Ἐν τῷ Κώδ. Α. κεῖται « τέλειος ἐν γνώσει », ὅπερ καταλληλότερον.

[3]) Ἐν τῷ Κώδ. Α. γράφεται· « ἀλλ' ὑπερβαίνει ὁ καθήμενος »

[4]) Οὕτως ἀσυνδέτως κεῖται ἡ φράσις ἐν τῷ Κώδ. Α., καθὼς ἀσυνδέτως ἐξηνέχθησαν καὶ αἱ ἀνωτέρω· ἐν τοῖς ἐκδεδομένοις πρὸ τοῦ « ὑποπόδιον » τίθεται ὁ « καί ». Κατωτέρω δὲ εἰς τὸ « καὶ μέχρι καταχθονίων » τὸν « καὶ », ἐλλείποντα ἐκ τῶν ἐκδόσεων, προσεθήκαμεν ἐκ τῶν τριῶν Κωδ. Α., R., C.

[5]) Κείσθωσαν ἐνταῦθα τὰ ἐπίσης κατὰ ἀνθρωπομορφιτῶν λεγόμενα ὑπὸ τοῦ ὁμωνύμου φωστῆρος τῆς Ἀλεξανδρείας· « Ὁ γὰρ Θεὸς ὑπὲρ πᾶσαν κτίσιν ἐστίν, οὔτε σῶμα νοούμενος, οὔτε ἐν τύποις ἢ σχήμασι σωματικοῖς, ἀλλ' ἔστιν ἁπλοῦς, ἄϋλος, ἀνείδεος καὶ ἀσύνθετος, οὐκ ἐκ μελῶν ἢ μορίων συγκείμενος, καθάπερ ἡμεῖς, πνεῦμα δὲ μᾶλλον κατὰ τὰς Γραφάς, καὶ τὰ πάντα ἐφορῶν, πανταχοῦ ὤν, καὶ τὰ πάντα πληρῶν, καὶ οὐδενὸς ἀπολιμπανόμενος· πληροῖ γὰρ οὐρανὸν καὶ γῆν »· Κύριλ. Ἀλεξ. (κατὰ ἀνθρωπομορφ. κεφ. α΄.).

[6]) Ἡ εὐαγγελικὴ αὕτη ῥῆσις ἐλλείπει ἐκ τοῦ Κώδηκος Α. καθὼς καὶ ἐκ τῶν Κωδ. R., C.

καὶ ἀνελλιπής, ποταμὸς εὐεργεσιῶν, φῶς ἀΐδιον ἀνελλιπῶς ἀπαστράπτον[1]), δύναμις ἀκαταγώνιστος, ταῖς ἀσθενείαις ἡμῶν συμπεριφερομένη, οὗ μηδὲ τὸ ὄνομα φέρομεν ἀκοῦσαι[2]) · «Ἢ ἴχνος Κυρίου εὑρήσεις, φησὶν ὁ Ἰὼβ, ἢ εἰς τὰ ἔσχατα ἀφίκου ἃ ἐποίησεν ὁ Παντοκράτωρ»; Εἰ τὰ ἔσχατα τῶν ποιημάτων οὐ καταλαμβάνεται, ἆρα ὁ τὰ πάντα ποιήσας καταληφθήσεται; «Ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ[3]) ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν». Εἰ ἃ ἡτοίμασεν ὁ Θεὸς ἀπερίληπτα τυγχάνει ταῖς ἡμετέραις διανοίαις, αὐτὸν ἆρα τὸν ἑτοιμάσαντα τῷ νῷ περιλαμβάνειν δυνάμεθα; «Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ», φησὶν ὁ Ἀπόστολος. Εἰ τὰ κρίματα καὶ αἱ ὁδοὶ αὐτοῦ[4]) ἀκατάληπτα καθέστηκεν, αὐτὸς ἆρα καταληφθήσεται;

§. Ι΄. Τοσούτου τοίνυν ὄντος τοῦ Θεοῦ, καὶ ἔτι μείζονος (οὐδὲ γὰρ ἐὰν ὅλην μου τὴν ὑπόστασιν εἰς γλῶσσαν μεταβάλω[5]), δύναμαι τὸ

---

[1]) Ἐγράψαμεν τὸ σύνθετον «ἀπαστράπτον» ἐκ τοῦ Κώδ. Α. καὶ ἐξ ἄλλων ἀντὶ τοῦ ἁπλοῦ «ἀςράπτον», ὅπερ ἔχει καὶ ὁ Μ. καὶ ὁ Τ.

[2]) Ἴσως ἐννοεῖ ἐνταῦθα ὁ Πατὴρ τὸ τετραγράμματον Ἑβραϊκὸν ὄνομα τοῦ Θεοῦ Ἰεχωβὰ, ὅπερ ἐν τοσαύτῃ εἶχον εὐλαβείᾳ καὶ τιμῇ οἱ Ἑβραῖοι, ὥστε οὐκ ἐτόλμων, οὐδ' ἄχρι τῆς σήμερον τολμῶσι προφέρειν αὐτὸ διὰ στόματος· διὰ τοῦτο καὶ ἄῤῥητον καὶ ἀνέκφορον καὶ ἀνεκφώνητον λέγεται· «τὸ ἀνωτάτω τοῦ Θεοῦ κύριον ὄνομα ἄῤῥητον εἶναι καὶ ἄφθεγκτον, οὐδὲ φαντασίᾳ διανοίας ληπτόν». Εὐσέβ. Εὐαγγελ. προπαρ. ιά. Φησὶ δὲ καὶ ὁ Θεοδώρητος (εἰς τὴν Ἔξοδ. ἐρώτ. ιέ.)· «Τοῦτο δὲ παρ' Ἑβραίοις ἄφραστον ὀνομάζεται· ἀπείρηται γὰρ αὐτοῖς τοῦτο διὰ τῆς γλώττης προφέρειν». Βλ. καὶ Φίλωνα (περὶ βίου Μωϋσέως βιβλ. γ΄.), Φώτιον (Ἐπιστ. 162.).

[3]) Ἐν τοῖς ἐκδεδομένοις τέθειται «ὅσα»· ἀλλ' ἡμεῖς ἐθήκαμεν τὸ «ἃ» κατὰ τοὺς Κώδ. Α., R., C. καὶ τὸ ἱερὸν κείμενον. Ἀλλ' ἐν τοῖς δύο Κώδ. R. C. μετὰ τὸ «ἀνέβη» ἀκολουθοῦσι ταῦτα· «ἃ ἡτοίμασεν ὁ Θεὸς ἡμῖν· εἰ τοίνυν τὰ ἡτοιμασμένα τοῖς ἁγίοις ἀγαθὰ ἀπερίληπτα».

[4]) Ἐθήκαμεν τὸ «αὐτοῦ» ἐκ τοῦ Κώδ. Α., ἐλλείπει δὲ ἐκ τῶν ἐκδόσεων.

[5]) Οὕτω κατὰ ἀόριστον κεῖται τὸ ῥῆμα ἐν τοῖς τρισὶ Κώδ· Α., R., C. Ὁ Μ. ἔχει «μεταβάλλω»· ἐν δὲ τῇ

κατ' ἀξίαν εἰπεῖν· μᾶλλον δὲ οὐδ' εἰ πάντες ἄγγελοι συνέλθοιεν, οὔπω τὸ κατ' ἀξίαν ἐροῦσι)· τοσούτου τοίνυν ὄντος ἀγαθοῦ τοῦ Θεοῦ καὶ μεγάλου, ἄνθρωπος λίθον γλύψας, τῷ λίθῳ εἰπεῖν[1]), «Θεός μου εἶ σύ», ἐτόλμησεν. Ὦ μεγάλης ἀβλεψίας, ἐκ τοσούτου μεγέθους εἰς τοσαύτην ταπεινότητα κατελθούσης. Τὸ ξύλον, ὅπερ ὁ Θεὸς ἐφύτευσε, καὶ ὑετὸς ἐμήκυνε, καὶ ὕστερον κατακαυθὲν, καὶ σποδὸς διὰ πυρὸς γινόμενον, τοῦτο μὲν Θεὸς ἀναγορεύεται, ὁ δὲ ἀληθὴς Θεὸς καταφρονεῖται. Ἐπεδαψιλεύσατο δὲ ἡ πονηρία τῆς εἰδωλολατρείας· καὶ αἴλουρος, καὶ κύων, καὶ λύκος ἀντὶ Θεοῦ προσεκυνήθησαν[2]) καὶ λέων ἀνθρωποβόρος ἀντὶ τοῦ Θεοῦ τοῦ φιλανθρωποτάτου προσεκυνήθη[3])· ὄφις καὶ δράκων, ἀντίτιμοι τοῦ ἐκβαλόντος ἡμᾶς ἐκ παραδεί-

---

ἐκδόσει τοῦ Τ. τετύπωται, ἐσφαλμένως πάντως, «μεταβαλῶ».

[1]) Ἐν τῷ Κώδ. Α. καὶ ἐν ἄλλοις κεῖται «εἶπεν», καὶ λείπει τὸ «ἐτόλμησεν».

[2]) Ἡ τοῦ αἰλούρου, τοῦ κυνὸς καὶ τοῦ λύκου λατρεία ἦν ἰδιαιτάτη τῶν Αἰγυπτίων. Κατ' ἐξοχὴν δὲ πόλεις τινὲς τῆς Αἰγύπτου ἦσαν ἑνός τινος ζώου τῇ λατρείᾳ προσανακείμεναι, καὶ ἀπὸ τούτου προσωνυμούμεναι. Καὶ τῶν μὲν αἰλούρων ἱερὰ πόλις ἦν ἡ Βούβαστος, ἔνθα καὶ ἐθάπτοντο ἀποθανόντες (Ἡροδ. β', 56.). Κατὰ γὰρ Στέφανον τὸν Βυζάντιον ἡ λέξις Βούβαστός ἐστιν Αἰγυπτιακὴ καὶ σημαίνει αἴλουρος. Τῶν δὲ κυνῶν ἡ Κυνόπολις (Κλήμ. Ἀλεξ. Προτρεπτ. 2, §. 39.), καὶ τῶν λύκων ἡ Λυκόπολις (Κλημ. Ἀλεξ· αὐτ.). Καὶ τὸν μὲν κύνα καὶ αἴλουρον ἅπαντες ἐτίμων οἱ Αἰγύπτιοι, καθὼς καὶ τὸν βοῦν· τὸν δὲ λύκον οἱ Λυκοπολῖται μόνον, καθὼς καὶ τὸν λέοντα οἱ Λεοντοπολῖται· «Τινὰ μὲν γὰρ τῶν ζώων ἅπαντες κοινῇ τιμῶσιν Αἰγύπτιοι, καθάπερ τῶν πεζῶν τρία· βοῦν, κύνα, αἴλουρον· — ἄλλα δ' ἔστιν ἃ τιμῶσι καθ' ἑαυτοὺς ἕκαστοι, καθάπερ Σαΐται πρόβατον καὶ Θηβαῖται. Λάτον δὲ τὸν ἐν τῷ Νείλῳ τινὰ ἰχθὺν Λατοπολῖται· λύκον τε Λυκοπολῖται κτλ.» Στράβων (Γεωγρ. Βιβλ. ΙΖ'. κεφ. 1.)· βλ. καὶ Ἱερώνυμον (Τόμ. Β'. σελ. 296.).

[3]) Ὁ λέων ὡς Θεὸς ἐθρησκεύετο ἐν Αἰγύπτῳ, καὶ ἰδίως ἐν τῇ παρ' αὐτοῦ ὀνομασθείσῃ Λεοντοπόλει· καὶ νομὸς δὲ ὁλόκληρος τῆς Αἰγύπτου ἐκαλεῖτο Λεοντοπολίτης· «Ὅθεν καὶ ὁ λέων ὡς Θεὸς θρησκεύεται, καὶ μέρος τι τῆς Αἰγύπτου, ὃ καλοῦσι νομὸν, ἐπώνυμον ἔχει λεοντοπολίτην»· Εὐσέβιος (Εὐαγγελ. Προπαρ. Βιβλ. Γ'.). Ἀλλ' ὅμως, ἐν ᾧ παρά τινων ἐθρησκεύετο ὡς Θεὸς ὁ λέων, παρ' ἑτέρων κατεδιώ-

σου, προσεκυνήθησαν[1])· καὶ ὁ τὸν παράδεισον φυτεύσας κατεφρονήθη· Αἰσχύνομαι[2]) λέγειν, πλὴν λέγω· καὶ κρόμμυα γὰρ ἤδη παρά τισι προσεκυνήθη[3]). Οἶνος ἐδόθη, ἵνα εὐφραίνῃ καρδίαν ἀνθρώπου, καὶ

κετο ὡς θηρίον ἐν αὐτῇ τῇ Αἰγύπτῳ· «Καὶ ὁ παρ' ἑτέροις λέων ὡς Θεὸς θρησκευόμενος, τοῦτον οἱ ἀστυγείτονες οὐ μόνον οὐ θρησκεύουσιν, ἀλλὰ καὶ εὑρόντες ἀποκτείνουσιν ὡς θηρίον»· Ἀθανάσιος (ἐν τῷ Λόγῳ κατὰ Ἑλλήνων). Κείσθω δ' ἐνταῦθα καὶ ἡ περὶ τῆς ζωολατρείας τῶν Αἰγυπτίων παρατήρησις τοῦ Θεοδωρήτου· «Οὐ μόνον τὰ μέγιστα τῶν ζώων ἐθεοποίησαν, ἀλλὰ καὶ τὰ σμικρότατα καὶ εὐτελέστατα, καὶ μύσους μεστά»· παρὰ Σουϊκήρῳ (ἐν λ. Ζῶον Τόμ. Α'. σελ. 1313.).

[1]) Τὸν ὄφιν προσεκύνησαν οὐ μόνον οἱ Αἰγύπτιοι, κατὰ τὸν συγγραφέα τῶν Ἀναγνωρισμῶν (Βιβλ. Ε'. §. 20.) καὶ τὸν Ὠριγένην (κατὰ Κέλσου Βιβλ. ΣΤ'.) καὶ Κλήμ. τὸν Ἀλεξ. (Παιδαγ. γ'. κεφ. 2.), ἀλλὰ καὶ οἱ Ἰνδοί, κατὰ Μάξιμον τὸν Τύριον (Λόγ. 38.). Εἶδός τι λατρείας πρὸς τὸν ὄφιν εἶχον καὶ οἱ Ῥωμαῖοι, ὡς γίνεται δῆλον ἐκ τοῦ ὄφεως ἐκείνου, ὃν ἐξ Ἐπιδαύρου μετήγαγον εἰς Ῥώμην. Βλ. Ἐπιτομὴν τοῦ Λιβίου (lib. XI). Ἀλλὰ καὶ οἱ Ὀφῖται προσεκύνουν τὸν ὄφιν, ὡς μαρτυρεῖ ὁ Ἐπιφάνιος (Τόμ. Α'. σελ. 272.). Ὀφῖται δὲ ἐκαλοῦντο δι' ὃν ἐδόξαζον ὄφιν κατὰ τὸν αὐτὸν Ἐπιφάνιον (αὐτ. σελ. 268.) καὶ τὸν Δαμασκηνὸν (περὶ αἱρέσ. λζ'.). Εἰς τοσοῦτον δ' ἀνοίας καὶ παραφροσύνης ἦλθον οἱ δυσσεβεῖς οὗτοι, ὥστε μᾶλλον ἐτίμων τὸν ὄφιν ἢ τὸν Χριστόν, ὡς ἱστορεῖ ὁ Τερτυλλιανὸς (de Praescript. cap. 47.)· «Serpentem magnificant in tantum, ut illum etiam ipsi Christo praeferant. Ipse enim, inquiunt, scientiæ nobis boni et mali originem dedit». Περὶ τῶν αἱρετικῶν τούτων ἔφη καὶ Διόδωρος ὁ Ταρσεύς· «Ἐντεῦθεν ἔνιοι τῶν αἱρετικῶν εὐεργέτην εἶναί φασι τὸν ὄφιν, εἰσηγησάμενον τοῦ ξύλου φαγεῖν, ὃ καὶ διήνοιξεν αὐτῶν τὰς ὄψεις τῆς διανοίας, καὶ γνῶσιν ἐνέθηκε καλοῦ καὶ πονηροῦ. Οὐ γὰρ ὀκνοῦσι διαβάλλειν μὲν τὸν Θεόν, ἐπαινεῖν δὲ τὸν Διάβολον, φάσκοντες, ὅσον ἐφθόνησεν αὐτοῖς ὁ Θεός, τοσοῦτον μετέδωκεν αὐτοῖς ὁ ὄφις· ἀγνοοῦντες, ὅτι τὸ διανοιχθῆναι τοὺς ὀφθαλμούς, οὐ πάντως ἐπὶ καλῷ γέγονε» (σελ. 1568. ἐκδ. Migne.)· βλ. καὶ Κλήμ. Ἀλεξ. (Τόμ. Β'. σελ. 553· ἐκδ. Migne).

[2]) Ἐν τοῖς ἐκδεδομένοις κεῖται «καὶ» πρὸ τοῦ «αἰσχύνομαι»· ἀλλ' ἐλλείπει ὁ σύνδεσμος οὗτος ἐκ τῶν Κωδ. Α., Roe καὶ Casaub.

[3]) Ἡ προσκύνησις τῶν κρομμύων ἦν ἰδία μάλιστα τοῖς Πηλουσιώταις, ὡς μαρτυροῦσιν Ἱερώνυμος (adv. Iovinianum 6. et ad Esaiæ cap. 46.) καὶ Σέξτος ὁ Ἐμπειρικὸς (Πυῤ-

Διόνυσος ἀντὶ Θεοῦ προσεκυνήθη· σῖτον ὁ Θεὸς εἰργάσατο διὰ τοῦ εἰπεῖν, «Ἐξαγαγέτω ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα»[1]), ἵνα ἄρτος στηρίζῃ[2]) καρδίαν ἀνθρώπου· καὶ πόθεν ἡ Δήμητρα προσεκυνήθη; Τὸ πῦρ ἐκ λίθων συγκρούσεως ἐξέρχεται μέχρι σήμερον· καὶ πόθεν Ἥφαιστος, πυρὸς ποιητής;

§. ΙΑ'. Πόθεν ἡ πολύθεος πλάνη τῶν Ἑλλήνων[3]); Ἀσώματος ὁ Θεός· καὶ πόθεν μοιχεῖαι παρὰ τοῖς ὑπ' αὐτῶν λεγομένοις θεοῖς κατηγοροῦνται; σιωπῶ τὰς Διὸς εἰς κύκνον μεταβολάς· αἰσχύνομαι λέγων τὰς εἰς ταῦρον μεταμορφώσεις· ἀνάξια γὰρ Θεοῦ τὰ μυκήματα· μοιχὸς ὁ παρ' Ἕλλησι Θεὸς εὕρηται, καὶ οὐκ αἰδοῦνται· εἰ γὰρ μοιχός ἐστι, Θεὸς μὴ καλείσθω[4]). Καὶ θανάτους καὶ ἀποπτώσεις καὶ κεραυνώσεις τῶν παρ' αὐτοῖς λέγουσι θεῶν· βλέπεις ἐκ πόσου μεγέθους ποῦ κατεληλύθασι; Μή τι ἄρα μάτην Υἱὸς Θεοῦ κατῆλθεν ἐξ οὐρανοῦ; ἢ[5]) ἵνα τὸ τηλικοῦτον τραῦμα θεραπεύσῃ; μήτι μάτην ἦλθεν ὁ Υἱός; ἢ ἵνα ὁ Πατὴρ ἐπιγνωσθῇ; Ἔγνως[6]), τί ἐκίνησεν ἐκ

ρων. ὑποτυπ. Βιβλ. Γ'. κεφ. 24.) καὶ Λουκιανὸς (ἐν τῷ Διῒ τραγῳδῷ), ὅστις λέγει· «Μεμφίταις μὲν ὁ βοῦς Θεός, Πηλουσιώταις δὲ κρόμμυον». Τὴν ἄνοιαν τῶν ἀνθρώπων τούτων ἀποδύρεται καὶ ὁ θεῖος Χρυσόστομος· «Καὶ τί λέγω ζῶα ἄλογα; Πολλοὶ τούτων εἰς τοσαύτην ἄνοιαν καὶ ἀναισθησίαν ἐξέπεσον, ὡς καὶ κρόμμυα καὶ τὰ τούτων εὐτελέστερα σέβειν» (Ὁμιλ. Ζ'. εἰς Γένεσιν. πρβλ. καὶ Ὁμιλ. Η'. εἰς Ματθ.). Περὶ τῆς τοῦ κρομμύου θεοποιήσεως λαλοῦσι καὶ τὰ Κλημέντια ἐν τῇ δεκάτῃ Ὁμιλίᾳ.

[1]) Τὸ «καὶ καθ' ὁμοιότητα» ἐλλείπει ἐκ τῶν Κωδ. Α., R., C.

[2]) Ἐγράψαμεν «στηρίζῃ» ἐκ τοῦ Κώδ. Α. ἀντὶ τοῦ ἐν ταῖς ἐκδόσεσι βαρβαρίζοντος «στερίσῃ».

[3]) Περὶ τῆς πρώτης ἀρχῆς καὶ αἰτίας τῆς εἰδωλολατρείας καὶ τῆς πολυθέου τῶν ἐθνικῶν πλάνης πολλὰ καὶ σοφὰ διέλαβεν ὁ Μ. Ἀθανάσιος ἐν τῷ λόγῳ τῷ κατὰ Ἑλλήνων (Τόμ. Α'. σελ. 6.)· ὁμοίως καὶ ὁ Θεολόγος Γρηγόριος ἐν τῷ εἰκοστῷ ὀγδόῳ Λόγῳ. Πρβλ. καὶ Χρυσόστομον (Τόμ. Β'. σελ. 13.).

[4]) Ἐν τῷ Κώδ. Α. κεῖται «λεγέσθω».

[5]) Οὐκ ἀπροσφυῶς κεῖται ἐνταῦθα ὁ «ἢ» ἔν τε τῷ Ἀρχιεπισκοπικῷ Κώδηκι καὶ ἐν τοῖς Κώδ. Roe, Casaub., ὃν οὐ καλῶς ποιήσας ὁ Τ. ἐξωβέλισεν· ἐν τῷ Κώδ. Α. εὕρηται ὁμοίως ὁ «ἢ» καὶ ἐν τῇ ἑπομένῃ φράσει.

[6]) «Ἔγνως» ἔχουσι καὶ οἱ τρεῖς

δεξιῶν θρόνων κατελθεῖν τὸν Μονογενῆ; Πατὴρ κατεφρονεῖτο, ἔδει Υἱὸν διορθώσασθαι τὴν πλάνην· ἔδει γὰρ τὸν, δι' οὗ ἐγένετο τὰ πάντα, τῷ Δεσπότῃ τῶν ἁπάντων προσενεγκεῖν τὰ πάντα. Ἔδει θεραπευθῆναι τὸ τραῦμα. Τί γὰρ ἦν ταύτης τῆς νόσου χεῖρον, ἢ ἵνα λίθος ἀντὶ Θεοῦ προσκυνηθῇ [1]);

Περὶ Αἱρέσεων.

§. ΙΒ'. Καὶ οὐ μόνον ἐν τοῖς ἐθνικοῖς ἐπηγωνίσατο ταῦτα ὁ Διάβολος· ἀλλὰ γὰρ ἤδη καὶ πολλοὶ τῶν χριστιανῶν ψευδῶς λεγομένων [2]), τῶν τῷ εὐωδεστάτῳ Χριστοῦ ὀνόματι κακῶς προσηγορευμέ-

---

Κώδ. Α., Roe, καὶ Casaub. ἐν δὲ ταῖς ἐκδόσεσι κεῖται τὸ σύνθετον «ἐπέγνως».

[1]) Ἔφη καὶ ὁ Χρυσόστομος (Ὁμιλ. ΝΖ' εἰς Γέν.)· «Ὅρα πόση ἦν ἡ ὑπερβολὴ τῆς πλάνης, ὡς τοὺς λόγῳ τετιμημένους ξύλα καὶ λίθους θεραπεύειν». Βλ. καὶ Μ. Ἀθανάσιον (Κατὰ Ἑλλήνων Τόμ. Α'. σελ. 17).

[2]) Οὐχ ἀληθῶς ὄντας, ἀλλὰ ψευδωνύμως καλουμένους χριστιανοὺς λέγει τοὺς αἱρετικοὺς ὁ Κύριλλος· διότι αὐτοὶ τῇ τοῦ Χριστοῦ προσηγορίᾳ τὰ δυσσεβῆ δόγματα συγκαλύπτουσι (Κατήχ. Δ'. §. 2.). Ἔστι δὲ σημειώσεως ἄξιον ὅτι σύμπασα σχεδὸν ἡ χριστιανικὴ ἀρχαιότης οὔτε ἐνόμιζεν, οὔτε ἀπεκάλει χριστιανοὺς τοὺς αἱρετικούς· «Εἰ εἰσὶν αἱρετικοὶ, λέγει ὁ Τερτυλλιανὸς, οὐ δύνανται εἶναι χριστιανοὶ» (Si hæretici sunt, Christiani esse non possunt (de Præscript. cap. 37.). Τῷ αὐτῷ τόνῳ λέγει καὶ ὁ Ἱερώνυμος· «haeretici Christiani non sunt» (dial. c. Lucifer.). Αὐτὸ τοῦτο περὶ τῶν Ἀρειανῶν λέγει καὶ ὁ Μ. Ἀθανάσιος (Κατὰ Ἀρειανῶν Λόγ. Β'.)· «Ἀρειανοὶ ὄντες, οὐκ εἰσὶ χριστιανοί»· καὶ ὁ ἱερὸς Ἱλάριος (ad Constant. libr. I.)· «Christianus sum, non Arianus»· καὶ ἡ ἐν Σαρδικῇ Σύνοδος (παρὰ τῷ Θεοδωρήτῳ Ἐκκλ. Ἱστ. β'. 6.). Ἀλλὰ καὶ ὁ Μέγας Κωνσταντῖνος νόμον ἐξέδωκεν ἵνα οἱ Ἀρειανοὶ ὀνομάζωνται τοῦ λοιποῦ Πορφυριανοὶ ἀπὸ τοῦ δυσσεβοῦς ἐκείνου καὶ χριστιανομάχου Πορφυρίου, οὗ τοὺς τρόπους ἐζήλωσαν· Σωκράτης (Ἐκκλ. Ἱστ. ά. 9.). Ὅπερ δὲ ὁ θεόστεπτος Κωνσταντῖνος ἐνομοθέτησε κατὰ τῶν Ἀρειανῶν, τοῦτο θεσπίσματι βασιλικῷ διετάξατο Θεοδόσιος ὁ μικρὸς κατὰ τῶν Νεστοριανῶν (Συνοδικῶν Τόμ. Α'. σελ. 644.). Καὶ ἡ δευτέρα δὲ οἰκουμενικὴ Σύνοδος,

νων, ἐτόλμησαν ἀσεβῶς ἀπαλλοτριῶσαι τὸν Θεὸν τῶν οἰκείων ποιημάτων[1]· τοὺς τῶν αἱρετικῶν λέγω παῖδας, τοὺς δυσωνύμους καὶ ἀθεωτάτους, προσποιουμένους μὲν εἶναι φιλοχρίστους, μισοχρίστους δὲ παντελῶς· ὁ γὰρ τὸν Πατέρα τοῦ Χριστοῦ δυσφημῶν, ἐχθρός ἐστι τοῦ Υἱοῦ. Ἐτόλμησαν εἰπεῖν οὗτοι δύο θεότητας, μίαν ἀγαθὴν καὶ μίαν κακήν[2])· ὢ πολλῆς ἀβλεψίας! εἰ θεότης, πάντως καὶ ἀγαθή· εἰδὲ οὐκ ἀγαθή, τί καλεῖται θεότης; Θεοῦ γὰρ ἡ ἀγαθότης. Θεῷ πρέπει τὸ φιλάνθρωπον, τὸ ἐνεργητικόν, τὸ παντοδύναμον· λοιπὸν δυοῖν θάτερον, ἢ Θεὸν καλείτωσαν σὺν τῷ ὀνόματι καὶ τῇ ἐνεργείᾳ, ἢ, εἰ ἀποστερεῖσθαι λέγοιεν τῶν ἐνεργειῶν, μὴ καλείτωσαν μόνῃ τῇ προσηγορίᾳ[3]).

ἐν τῷ Ζ΄. αὐτῆς Κανόνι, ὡς μὴ χριστιανοὺς καὶ παντάπασιν ἐθνικοὺς καὶ ἀπίστους ἐθεώρησε πολλοὺς αἱρετικούς· οἷον Εὐνομιανούς, Μοντανιςὰς, Σαβελλιανοὺς κτλ. Καὶ Ἰουστινιανὸς δὲ ὁ βασιλεὺς, ἐν τῇ 131 Νεαρᾷ, ἀντιτίθησι τοὺς αἱρετικοὺς τοῖς χριστιανοῖς, λέγων· «ὅστις αἱρετικοῖς χριστιανοὺς παρέδωκεν».

[1]) Ἀπηλλοτρίωσαν τὸν Θεὸν τῶν οἰκείων ποιημάτων, ἄλλον Θεὸν δημιουργὸν ἀναπλάσαντες, καὶ τῷ ψευδεῖ τούτῳ Θεῷ τὴν τοῦ κόσμου δημιουργίαν ἀναθέντες. Τοὺς αἱρετικοὺς τούτους ἀναφέρει καὶ στηλιτεύει κατωτέρω ὁ Κύριλλος, ὧν τινὲς μὲν ἀγγέλους εἶπον τοῦ κόσμου δημιουργούς, τινὲς δὲ κακόν τινα Θεόν. Τὸν κατάλογον τῶν αἱρετικῶν τούτων τῶν ἀπαλλοτριούντων τὸν Θεὸν τῶν οἰκείων κτισμάτων, ἐκτίθησι καὶ ὁ μακάριος Θεοδώρητος ἐν τῷ πρώτῳ Βιβλίῳ τῆς αἱρετικῆς κακομυθίας, ἔνθα λέγει· «Τὸ μὲν πρῶτον βιβλίον τῶν μύθων ἐκείνων τὴν διήγησιν δέξεται, ὧν πατέρες δημιουργὸν ἀνέπλασαν ἕτερον, τὴν δὲ μίαν τῶν ὅλων ἀρνηθέντες ἀρχὴν, ἀρχὰς ἑτέρας οὐκ οὔσας ὑπέθεντο — τούτων δὲ τῶν δογμάτων πρῶτος μὲν εὑρετὴς Σίμων ὁ μάγος ὁ Σαμαρείτης, ἔσχατος δὲ Μάνης ὁ γόης ὁ Πέρσης».

[2]) Οὐ μόνον Μάνης εἰπεῖν καὶ διδάξαι ἐτόλμησεν, ἀλλὰ καὶ Μαρκίων καὶ Κέρδων, ὡς ἱστόρησεν ὁ ἱερὸς Θεοδώρητος (Αἱρετ. κακομ. ἑ. 1.)· «Οὐδὲ κατὰ τὰς Κέρδωνος καὶ Μαρκίωνος καὶ Μάνεντος διαφόρους καὶ ἐναντίας ἀρχὰς, ἀλλὰ μίαν ἀρχὴν τὴν αὐτὴν καὶ ἀγαθὴν καὶ δικαίαν, ὡς ὕστερον ἐπιδείξομεν».

[3]) Ἡ περίοδος αὕτη ἀπὸ τοῦ «Θεοῦ γὰρ ἡ ἀγαθότης» καὶ ἐφεξῆς τοσοῦτον συνεσκοτισμένη καὶ σόλοικος εὑρίσκετο ἐν τῷ κειμένῳ τοῦ Μιλεσίου, ὥστε οὐδὲν ἐκ ταύτης προέκυπτε νόημα. Τὸ χωρίον τοῦτο διωρθώσατο ἐν πολλοῖς ὁ Τουτέος, καὶ σαφέστερον κατεστήσατο τὸ πλεῖστον ἐκ τῶν Κωδ. R. καὶ C. Ἡμεῖς καθαρὰν ἐθή-

§. ΙΓ΄. Ἐτόλμησαν αἱρετικοὶ λέγειν δύο Θεούς, καὶ δύο πηγάς, ἀγαθοῦ τε καὶ κακοῦ, καὶ ταύτας ἀγεννήτους εἶναι[1]). Εἰ ἀγέννητοι ἀμφότεραι, πάντως ὅτι καὶ ἴσαι, καὶ ἀμφότεραι κραταιαί· πῶς οὖν ἀναιρεῖ τὸ σκότος τὸ φῶς[2]); Καὶ πότερον ποτὲ ὁμοῦ εἰσιν, ἢ ἀπε-

---

χαμεν ἐνταῦθα καὶ ὁλόκληρον τὴν περίοδον, ὅπως κεῖται ἐν τοῖς δύο ἐκείνοις Κώδηξι, πρὸς οὓς συμφωνεῖ τὰ πλεῖστα καὶ ὁ Κώδ. Α.

[1]) Τὸ «εἶναι» ἐλλείπει ἐκ τῶν Κωδ. Α., Roe καὶ Casaub. — Τοῦ Μάνεντος ἡ μανία αὕτη, δύο ὑποτιθέντος ἀρχὰς, καὶ τὰς δύο ἀνάρχους καὶ ἀγεννήτους. Τοῦτο μαρτυρεῖ καὶ Θεοδώρητος, λέγων· «Οὗτος δύο ἀγεννήτους καὶ ἀϊδίους ἔφησεν εἶναι, Θεὸν καὶ ὕλην, καὶ προσηγόρευσε τὸν μὲν Θεὸν φῶς, τὴν δὲ ὕλην σκότος· καὶ τὸ μὲν φῶς ἀγαθὸν, τὸ δὲ σκότος κακὸν» (Αἱρετ. κακομυθ. ά, 26.). Τὸ θεμελιῶδες τοῦτο δόγμα τῶν Μανιχαίων ἐκτίθησι καὶ ὁ Ἐπιφάνιος, ἱστορῶν «ὡς ὁ Μάνης δύο ἀρχὰς εἰσηγεῖται ἀνάρχους ἀεὶ οὔσας, καὶ μηδέποτε διαλειπούσας τὸ εἶναι, ἀντικειμένας πρὸς ἀλλήλας, καὶ τῇ μὲν μιᾷ ὄνομα τίθησι τὸ φῶς καὶ ἀγαθὸν, τῇ δὲ ἑτέρᾳ σκότος καὶ κακίαν, ὡς εἶναι Θεὸν καὶ Διάβολον· ποτὲ δὲ καὶ θεοὺς τοὺς ἀμφοτέρους καλεῖ, Θεὸν ἀγαθὸν καὶ Θεὸν πονηρὸν» (Τόμ. Α΄. σελ. 625.). Πρβλ. καὶ Μ. Ἀθανάσ. (Τόμ Α΄. σελ. 495.), Μ. Βασίλ. (Ὁμιλ. Β΄. εἰς τὴν Ἑξαήμ.), Χρυσόστ. (Τόμ. Η΄. σελ. 14), Γρηγόρ. Ναζιανζ. (Λόγ. ΚΘ΄.).

[2]) Ἵνα προσηκόντως ἐννοηθῇ ἡ ὑπὸ τοῦ σκότους αὕτη ἀναίρεσις τοῦ φωτὸς, ἰστέον ὅτι κατὰ τὴν ἀσεβῆ δογματικὴν τοῦ Μάνεντος, τὸ σκότος ἐπαναστάν ποτε κατὰ τοῦ φωτὸς, ἥρπασε μέρος τι ἀπ' αὐτοῦ· ἐκ δὲ τούτου προὔκυψεν ἡ σύγκρασις τοῦ ἀγαθοῦ καὶ κακοῦ ἐν τῷ κόσμῳ. Παρατίθεμεν ἐνταῦθα ἐκ τοῦ θείου Δαμασκηνοῦ τὴν ἔκθεσιν τοῦ ἀλόγου καὶ δυσσεβοῦς τούτου δόγματος πρὸς μείζονα σαφήνειαν τῶν ἐν τῷ κειμένῳ ῥηθέντων· «Ἦν ὁ ἀγαθὸς ἐν τῷ ἰδίῳ τόπῳ ἐν πάσῃ ἀγαθωσύνῃ καὶ μακαριότητι· ἡ δὲ ὕλη, ἤγουν ἡ κακία, ἄζωος, ἀκίνητος, αἰσχρὰ, σκότος δυσειδὲς, ἀναίσθητος ἐπὶ πολλοὺς αἰῶνας. Ὕστερον δὲ ἐστασίασεν ἡ ὕλη πρὸς ἑαυτὴν, καὶ οἱ καρποὶ αὐτῆς ἐπολέμησαν πρὸς ἀλλήλους· καὶ τῶν μὲν διωκόντων, τῶν δὲ φευγόντων, ἔφθασαν εἰς τὰ ὅρια τοῦ φωτός· καὶ ἰδόντες τὸ φῶς, ἐπεθύμησαν τοῦ κάλλους αὐτοῦ, καὶ ἐπαύσαντο τοῦ πρὸς ἀλλήλους πολέμου, καὶ συμφωνήσαντες πρὸς ἀλλήλους ἐπέθεντο τῷ φωτὶ, καὶ ἀπέστειλεν ὁ ἀγαθὸς τὴν δύναμιν παρ' αὐτοῦ, καὶ συμπλοκῆς γενομένης, ἔφαγον μέρος τοῦ φωτὸς οἱ ἄρχοντες τοῦ σκότους—καὶ οὕτως ἐγένετο σύγκρασις τοῦ ἀγαθοῦ καὶ τοῦ πονηροῦ» · Δαμασκηνὸς (Διάλογος κατὰ Μανιχαίων). Αὐτὰ ταῦτα ἱστορεῖ

σχοινισμέναι[1]); ὁμοῦ μὲν γὰρ εἶναι οὐ δύνανται· «Τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος»; φησὶν ὁ Ἀπόςολος. Εἰ δὲ μακρὰν ἀπ' ἀλλήλων εἰσὶν, πάντως ὅτι καὶ ἰδίους τόπους ἔχουσιν. Εἰ δὲ ἰδίους τόπους ἔχουσι, πάντως που ἐν τοῖς τοῦ ἑνὸς Θεοῦ ἐσμὲν[2]), πάντως που καὶ ἕνα προσκυνοῦμεν· συστῆσαι γὰρ οὕτω δεῖ, κἂν τῇ μωρίᾳ ἐκείνων συμπεριενεχθῶμεν, ὅτι ἕνα δεῖ προσκυνεῖν. Ἐξετάσωμεν δὲ αὐτοὺς καὶ τί λέγουσι περὶ τοῦ ἀγαθοῦ· δυνατός ἐστιν ἢ ἀδύνατος; Εἰ μὲν δυνατός ἐστι, πῶς ἐγένετο τὸ κακὸν, ἄκοντος αὐτοῦ; καὶ πῶς ἐπεισέρχεται ἡ πονηρὰ ὑπόστασις, μὴ θέλοντος αὐτοῦ; Εἰ μὲν γὰρ εἰδὼς οὐ δύναται κωλύσαι, ἀδυναμίαν κατηγοροῦσι· εἰ δὲ δυνάμενος οὐ κωλύει, προδοσίαν κατηγοροῦσι. Καὶ βλέπε τὴν τούτων ἀνοησίαν· ποτὲ μὲν λέγουσι τὸν πονηρὸν μηδὲν ἔχειν κοινὸν πρὸς τὸν ἀγαθὸν Θεὸν εἰς τὴν τοῦ κόσμου δημιουργίαν· ποτὲ δὲ λέγουσιν αὐτὸν τὸ τέταρτον μέρος ἔχειν μόνον· καὶ τὸν μὲν ἀγαθὸν λέγουσι πατέρα εἶναι τοῦ Χριστοῦ, τὸν δὲ Χριστὸν τὸν ἥλιον τοῦτον καλοῦσιν[3]). Εἰ τοί-

---

καὶ Θεοδώρητος (Αἱρετ. κάκομ. ά, 26.).

[1]) Ἐν τῷ κατὰ Μανιχαίων Διαλόγῳ τοῦ ἱεροῦ Δαμασκηνοῦ ἐρωτᾷ μὲν ὁ Ὀρθόδοξος· «Κοινωνοῦσιν ἀλλήλαις αὗται αἱ δύο ἀρχαὶ, ἢ οὔ»; ἀπαντᾷ δὲ ὁ Μανιχαῖος· «Παντελῶς ἀκοινώνητοι καὶ ἐναντίαι ἀλλήλαις ὑπάρχουσιν». Ἡ αὐτὴ ἐρώτησις καὶ ἀπάντησις γίνεται καὶ κατωτέρω, ἔνθα ὁ μὲν Ὀρθόδοξος ἐρωτᾷ· «Εἰπὲ δὲ καὶ τοῦτο, κοινωνοῦσιν ἀλλήλαις αἱ παρ' ὑμῖν δύο ἀρχαὶ, ἢ παντελῶς εἰσιν ἀκοινώνητοι»; ὁ Μανιχαῖος ἀποκρίνεται· «ἀκοινώνητοι ἦσαν παντελῶς· ἡ μὲν γὰρ μία ἐν πληρώματι τῶν ἀγαθῶν ἦν, ἡ δὲ ἑτέρα ἐν πληρώματι τῶν κακῶν, ἀλλ' ἐγένετο μετὰ ταῦτα σύγκρασις». Πρβ. καὶ Ἐπιφάν. (Τόμ. Α'. σελ. 630.).

[2]) Αἱ λέξεις ἀπὸ τοῦ «εἰ δὲ ἰδίους τόπους ἔχουσι», μέχρι τοῦ «ἐσμὲν» ἐλλείπουσιν ἔκ τινων Κωδήκων καὶ Ἐκδόσεων, ὁμοίως καὶ ἐκ τοῦ Κώδ. Α. Ἡ παράλειψις αὕτη συνέβη πάντως ἐκ τῆς ἀπροσεξίας τῶν ἀντιγραφέων, ἕνεκα τῆς ἐπαναλήψεως τοῦ «ἔχουσι»· ἀποκατέστησε δὲ τὰς λέξεις ἐν τῷ κειμένῳ ὁ Μ. ἐκ τῶν Κωδ. Roe καὶ Casaub.

[3]) Τοῦτ' αὐτὸ περὶ τῶν Μανιχαίων βεβαιοῖ ὁ Κύριλλος καὶ ἐν τῇ ΙΕ'. Κατηχ. §. 3. «Μηδὲ τὸν σκοτισθησόμενον τοῦτον ἥλιον τὸν Χριστὸν εἶναι δυσσεβῶς νομιζέτωσαν»· ἀλλὰ καὶ ἐν τῇ ΙΑ'. Κατηχ. §. 21 μνείαν

νων ὁ κόσμος κατ' αὐτοὺς ὑπὸ τοῦ πανηροῦ ἐγένετο, ὁ δὲ ἥλιος ἐν κόσμῳ, πῶς ὁ υἱὸς τοῦ ἀγαθοῦ ἐν τοῖς τοῦ πονηροῦ ἔργων δουλεύει; Βορβοροῦμεθα, ταῦτα λέγοντες· ἀλλ' ἵνα[1]) μή τις τῶν παρόντων ἐξ ἀμαθείας εἰς βόρβορον αἱρετικῶν ἐμπέσῃ, οἶδα χράνας ἐμαυτοῦ τὸ στόμα καὶ τῶν ἀκουόντων τὰς ἀκοάς· ἀλλὰ συμφέρει· πολὺ γὰρ κάλλιον ἐν κατηγορίαις ἄλλων ἀκοῦσαι τὰ ἄτοπα, ἢ ἐξ ἀγνοίας εἰς ταῦτα ἐμπεσεῖν· πολὺ κάλλιον γνῶναί σε τὸν βόρβορον καὶ μισῆσαι τοῦτον, ἢ ἀγνοοῦντα ἐμπεσεῖν εἰς αὐτόν. Ἔστι δὲ πολυσχιδὴς ὁ τῆς ἀθεότητος τῶν αἱρέσεων λόγος[2])· ὅταν γὰρ μιᾶς ὁδοῦ τῆς εὐθείας ἐκπέσῃ τις, τότε πολλάκις εἰς κρημνοὺς καταπίπτει[3]).

§. ΙΔ'. Καὶ πάσης μὲν αἱρέσεως εὑρετὴς Σίμων ὁ μάγος[4])· Σί-

---

ποιεῖται τῆς πλάνης ταύτης· «Φιμούσθωσαν οἱ λέγοντες τὸν ἥλιον εἶναι τὸν Χριστόν· ἡλίου γάρ ἐστι δημιουργός». Φησὶ δὲ περὶ αὐτῶν καὶ ὁ Θεοδώρητος· «Οὗτοι τὸν ἥλιον καὶ τὴν σελήνην θεοὺς ὀνομάζουσι, ποτὲ μὲν αὐτὸν ἀποκαλοῦντες Χριστὸν, καὶ τούτου τεκμήριον ἱκανὸν παρέχουσι, τὸ τὸν ἥλιον ἐκλείπειν ἐν τῷ τοῦ σταυροῦ καιρῷ» (αἱρετ. κακομ. ά, 26.). Πρὸς τὴν πλάνην ταύτην συνέχεται πάντως τὸ ἔθος τῶν Μανιχαίων, πάντοτε πρὸς τὸν ἥλιον ἐστραμμένους προσεύχεσθαι, ὅπου περ ἂν ᾖ οὗτος (August. de hæres. cap. 46). Τοῦτο τὸ ἔθος αὐτῶν δηλοῦται καὶ ἐν τῷ ἀναθεματισμῷ τῆς μανιχαϊκῆς αἱρέσεως οὕτω· «Ἀναθεματίζω τοὺς μὴ πρὸς ἀνατολὰς μόνον τῷ ἀληθεῖ Θεῷ εὐχομένους, ἀλλὰ τῇ τοῦ ἡλίου κινήσει συμπεριφερομένους ἐν ταῖς μυρίαις αὐτῶν προσευχαῖς»· παρὰ τῷ Κοτελερίῳ (Patr. apostol. tom. II. p. 267.). Ὅρα καὶ τὴν σημ. εἰς Κατήχ. ΙΕ'. §. 3.

[1]) Ἐν τῷ Κώδ. Α. κεῖται «ἵνα δέ».

[2]) Ἐν τῷ Κώδ. Α. ἡ πρότασις αὕτη εὕρηται οὕτως· «ἔστι δὲ πολυσχιδὴς τῶν αἱρετικῶν ὁ λόγος».

[3]) Παραπλήσιον ἀπεφθέγξατο καὶ ὁ Μ. Βασίλειος· «Ἔοικε γάρ πως ὁ λόγος, ἐπειδὰν ἅπαξ τῆς ἀληθείας παρενεχθῇ, εἰς πολλὰς καὶ ἐπικινδύνους ἀτοπίας ὑπὸ τῆς κατὰ τὴν πλάνην ἀκολουθίας ἐκφέρεσθαι» (κατὰ Εὐνομ. Λόγ. Β'.).

[4]) Οὐχ ὁ ἡμέτερος μόνον Κύριλλος, ἀλλὰ καὶ ὁ θεῖος Εἰρηναῖος ἀρχηγὸν πασῶν τῶν αἱρέσεων λέγει τὸν Σίμωνα· «Simon autem Samaritanus, ex quo universæ hæreses substiterunt» (ά, 23.). Πρβ. καὶ Ἀποστολ. Διαταγ. ς', 7. «Πρωτότοκον υἱὸν τοῦ διαβόλου ὠνόμασε τὸν Σίμωνα ὁ θεοφόρος Ἰγνάτιος (Ἐπις.

μων ὁ ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων, τὴν ἄπρατον τοῦ Πνεύματος χάριν ἀγοράσαι προσδοκήσας ἀργυρίῳ, καὶ ἀκούσας· «οὐκ ἔστι σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ», καὶ τὰ ἑξῆς· περὶ οὗ γέγραπται· «Ἐξ ἡμῶν ἐξῆλθον, ἀλλ' οὐκ ἦσαν ἐξ ἡμῶν· εἰ γὰρ ἦσαν ἐξ ἡμῶν, μεμενήκεισαν ἂν μεθ' ἡμῶν»[1]). Οὗτος ἐπὶ τῆς Ῥώ-

---

πρὸς Τραλλ.)· «πρῶτον πασῶν κακίστων αἱρέσεων κακίστως ἄρξαντα» εἶπε τὸν Σίμωνα καὶ Σωφρόνιος ὁ Ἱεροσολύμων (Συνοδ. Τόμ. Β'. σελ. 613.)· «τῶν μιαρῶν δογμάτων πρῶτον εὑρετὴν» εἶπε τὸν Σίμωνα καὶ Θεοδώρητος (αἱρετ. κακομ. προοίμ). Καὶ οἱ ἄλλοι δὲ συγγραφεῖς, οἱ τὰ τῶν αἱρέσεων ἱστορήσαντες, εἰ καὶ μὴ ῥητῶς λέγουσι τὸν Σίμωνα πρῶτον καὶ ἀρχηγέτην, ἀλλὰ γοῦν ἀπ' αὐτοῦ πρώτου, ὡς ἀπὸ πονηροῦ ταγματάρχου, ἄρχονται τῆς ἑαυτῶν πραγματείας. Τοῦτο ποιοῦσι καὶ Ἐπιφάνιος καὶ Φιλάστριος καὶ Αὐγουστῖνος. Ἀλλὰ καὶ τὰ δόγματα τοῦ γόητος τούτου ἐὰν θεωρήσωμεν, βλέπομεν ὅτι ἀπ' αὐτοῦ, ὡς ἀπὸ πηγῆς ἀκαθάρτου καὶ θολερᾶς, ἀπέῤῥευσαν πολλὰ δυσώδη ῥεύματα, ἐν ταῖς καθόλου αἱρέσεσι τὴν κακοσμίαν ἀπόζοντα. Ἀρκεῖ δηλονότι ἵνα συγκρίνῃ τις τὸ σύστημα τῆς πλάνης τοῦ Σίμωνος πρὸς ἐκεῖνα τῶν κατόπιν ἐπελθόντων Γνωστικῶν λεγομένων αἱρετικῶν, καὶ ὄψεται, ὅτι πολλαὶ παραλογίαι τούτων ἐν ἐκείνῳ τῷ αἱρεσιάρχῃ ἔχουσι τὴν ἀρχήν. Ἀπέναντι ὅμως τῆς τοσοῦτον πιθανῆς καὶ σταθερᾶς καὶ ἐπικρατεστέρας ταύτης γνώμης ἀκούεται καὶ ἄλλη τις ἁγνὴ φωνὴ ἐκ τῆς ἱστορίας ἀντιλαλοῦσα, καὶ ὡς ἡγήτορα καὶ φαλλαγγάρχην τῶν αἱρετικῶν ἀποδεχομένη οὐχὶ τὸν Σίμωνα, ἀλλὰ τὸν Δοσίθεον. Ὁ τοῦ Εἰρηναίου μαθητὴς Ἱππόλυτος, ἐν τῷ συντάγματι αὐτοῦ κατὰ τῶν 32 αἱρέσεων, ἀρχὴν τῆς πραγματείας ποιεῖται ἀπὸ τοῦ Δοσιθέου, καθὰ ἱστόρησε Φώτιος (Βιβλιοθ. 121). Ὡς ἀρχαιότερον τοῦ Σίμωνος ὑποτιθέασι τὸν Δοσίθεον καὶ οἱ Ἀναγνωρισμοὶ (Βιβλ. Β'. §. 8.). Ἐν τοῖς χρόνοις μόνον τῶν Ἀποστόλων ζήσαντα ἱστοροῦσι τὸν Δοσίθεον καὶ Ὠριγένης (Ὁμιλ. 27. εἰς Ματθ.) καὶ Εὐλόγιος Ἀλεξανδρείας (παρὰ τῷ Φωτίῳ Βιβλ. 230)· ἀλλ' οὐδεμίαν ῥητὴν καὶ ἐπίσημον μαρτυρίαν ἔχομεν ὅτι τῷ Δοσιθέῳ μᾶλλον ἢ τῷ Σίμωνι ἀνήκει ἡ ἄχαρις καὶ ταρταρόεσσα τιμὴ τῆς τῶν αἱρέσεων ἀρχηγίας. Ἰδίαν περὶ τούτου ἔφησε γνώμην ὁ παρὰ τῷ Εὐσεβίῳ Ἡγήσιππος, ὃς Θέβουθίν τινα ἀρχηγὸν καὶ πρῶτον σπορέα τῶν αἱρετικῶν ζιζανίων γενέσθαι ἱστόρησε (Εὐσέβ. Ἐκκλ. Ἱστορ. δ'. 22.).

[1]) Τὰς λέξεις ἀπὸ τοῦ «εἰ γὰρ ἦσαν», ἕως τοῦ «μεθ' ἡμῶν», παραλειφθείσας ὑπὸ τῶν ἀντιγραφέων διὰ

μης γενόμενος, μετὰ τὸ ὑπὸ τῶν Ἀποστόλων ἀποβληθῆναι, καὶ Ἑλένην τινὰ [1]) πόρνην ἐπαγόμενος, δυσφήμῳ τῷ στόματι πρῶτος ἐτόλμησεν εἰπεῖν ἑαυτὸν μὲν εἶναι τὸν ἐπὶ ὄρους Σινᾶ ὡς Πατέρα φανέντα [2]), παρὰ δὲ Ἰουδαίοις ὕστερον οὐκ ἐν σαρκὶ, ἀλλὰ δοκήσει ὡς Χρι-

---

τὴν ἐπανάληψιν τοῦ «ἡμῶν» καλῶς ποιήσας ὁ Τ. ἔθηκεν ἐν τῷ κειμένῳ ἐκ τῶν Κωδ. Roe, Casaub. Ἔχει αὐτὰς καὶ ὁ Κώδ. Α.

[1]) Εὐλόγως ὑπερασπίζεται ὁ Μιλλέσιος τὴν ὀρθότητα τοῦ ὀνόματος «Ἑλένη» ἀντὶ τῆς γραφῆς «Σελήνη», ἣν ἔχουσι, λέγει, Εἰρηναῖος, Αὐγουστῖνος, Ῥουφῖνος καὶ οἱ Ἀναγνωρισμοί. Ἀλλ' ὅσον περὶ Εἰρηναίου καὶ Αὐγουστίνου ἠπάτηται ὁ σοφὸς ἀνὴρ ἐκ τῶν τότε ἐκδόσεων· αἱ γὰρ νεώταται καὶ μᾶλλον διωρθωμέναι ἔχουσιν «Ἑλένην». Περὶ δὲ Ῥουφίνου ἡμεῖς μὲν ἀγνοοῦμεν, ὡς μὴ ἔχοντες ἀνὰ χεῖρας ἔκδοσίν τινα λόγου ἀξίαν· ὁ δὲ Οὐαλέσιος ἐν ταῖς εἰς Εὐσέβιον σημειώσεσι (Ἐκκλ. Ἱστορ. β΄. 13.) γράφει, ὅτι ὁ Ῥουφῖνος τὴν «Ἑλένην» καλεῖ «Σελήνην» · μόνον ἐν τοῖς Ἀναγνωρισμοῖς (β΄, §. 12.), κατὰ τὴν ἔκδοσιν τοῦ Κοτελερίου, εὕρομεν Lunam ἀντὶ «Ἑλένης». «Ἑλένην» ἔχουσι καὶ Ἰουστῖνος (ἐν τῷ β΄. Ἀπολογητικῷ) καὶ Εὐσέβιος (Ἐκκλ. Ἱστ. β΄. 13.) καὶ Ἐπιφάνιος (Τόμ. Α΄. σελ. 56.) καὶ Θεοδώρητος (αἱρετ. κακομ. ά. 1.) καὶ Φιλάστριος (de haeres. cap. 29.).

[2]) Διαφορά τις ἀναφαίνεται ἐν τοῖς ὑπὸ τοῦ ἱεροῦ Κυρίλλου ἐνταῦθα ἱστορουμένοις καὶ ἐν τοῖς ὑπ' ἄλλων ἐκκλησιαστικῶν συγγραφέων δεδηλωμένοις. Ὁ μὲν γὰρ Κύριλλος ἱστορεῖ, ὅτι ὁ Σίμων ἔλεγεν ἑαυτὸν εἶναι τὸν ἐπὶ τοῦ ὄρους Σινᾶ ὡς Πατέρα φανέντα· οἱ δ' ἄλλοι ἱεροὶ συγγραφεῖς ἐκδεδώκασιν, ὅτι ὁ Σίμων εἶπε τοῦτο οὐχὶ περὶ τοῦ ὄρους Σινᾶ, ἀλλὰ περὶ τῆς Σαμαρείας. Τὴν Σαμάρειαν λέγουσι καὶ Εἰρηναῖος (β΄, 23) καὶ Ἐπιφάνιος (Τόμ. Α΄. σελ. 55.) καὶ Θεοδώρητος (αἱρετ. κακομ. ά, 1). Μόνος ὁ Αὐγουστῖνος ἐφαίνετο συμφωνῶν τῷ Κυρίλλῳ, γράφων καὶ αὐτὸς τὸ Σινᾶ· ἀλλὰ τὸ χωρίον τοῦτο τοῦ Αὐγουστίνου, ἐλλεῖπον ἐκ τῶν χειρογράφων, ἐξωβελίσθη καὶ ἐκ τῶν νεωτέρων ἐκδόσεων. Ὥστε ἔμεινε μόνος ὁ Κύριλλος τὴν περὶ τοῦ Σινᾶ ἔχων γνώμην. Ἐὰν δὲ ἐκ τῶν δογμάτων τοῦ γόητος θελήσωμεν συμπερᾶναί τι, εὑρίσκομεν, ὅτι οὐδόλως συνᾴδει τοῖς ἄλλοις ληρήμασιν ἡ ἐν τῷ Σινᾷ δῆθεν ἐμφάνισις· διότι ὁ Σίμων «μὴ εἶναι τὸν νόμον Θεοῦ, ἀλλ' ἀριστερᾶς δυνάμεως ἔφασκε, μήτε προφήτας ἐξ ἀγαθοῦ Θεοῦ ὑπάρχειν, ἀλλ' ἑτέρας καὶ ἑτέρας δυνάμεως» · Ἐπιφάνιος (Τόμ. Α΄. σελ. 58). Οὕτω δὲ περιφρονουμένου τοῦ νόμου καὶ τοῦ δεδωκότος τὸν νόμον, πῶς ἦν δυνατὸν λέγειν τὸν Σίμωνα, ὅτι αὐτὸς ἦν ὁ ἐπὶ τοῦ ὄρους Σινᾶ ὡς Πατὴρ καταβάς;

στὸν Ἰησοῦν φανέντα· καὶ μετὰ ταῦτα ὡς Πνεῦμα ἅγιον, τὸ ὑπὸ τοῦ Χριστοῦ ὡς παράκλητον ἀποστέλλεσθαι ἐπαγγελθέν. Καὶ ἐπλάνησέ τε οὕτω τὴν Ῥωμαίων πόλιν, ὥστε Κλαύδιον ἀνδριάντα αὐτοῦ στῆσαι, ὑπογράψαντα τῇ Ῥωμαίων γλώσσῃ, «Σίμωνι Δέῳ Σάγκτῳ» [1]· ὅπερ ἑρμηνευόμενον δηλοῖ, «Σίμωνι Θεῷ ἁγίῳ».

Ἐνυπάρχει ἄρα ἐσφαλμένον τι ἐν τῷ χωρίῳ τούτῳ τοῦ ἱεροῦ Κυρίλλου, ὡς εἴκασε καὶ ὁ Τουτέος, καὶ ἴσως ἐξ ἀνακαλύψεως καὶ ἀντιπαραβολῆς ἀρχαιοτέρων Κωδήκων προκύψει ποτὲ ἄλλη γραφή, συμφωνοτέρα τοῖς ἄλλοις.

[1]) Ὅτι ἐπὶ Κλαυδίου Καίσαρος, τουτέστι τῷ 41 ἀπὸ Χριστοῦ Σωτῆρος, ἦλθεν ὁ Σίμων εἰς Ῥώμην, καὶ τοιαύταις μαγγανείαις ἐκεῖ ἐχρήσατο, καὶ τοσαύτην τέχνην μετῆλθεν ἐξ ἱστῶν καὶ μαγεύων τὸ ἔθνος, ὥστε καὶ Θεὸς ἅγιος νομισθῆναι, καὶ ἀνδριάντι τιμηθῆναι, τοῦτο πρῶτος ἱστόρησεν ὁ μάρτυς καὶ φιλόσοφος Ἰουστῖνος ἐν τῇ δευτέρᾳ αὐτοῦ Ἀπολογίᾳ. Μετὰ δὲ τὸν Ἰουστῖνον καὶ ἄλλοι ἀρχαιότατοι καὶ ἐπίσημοι συγγραφεῖς τὸ αὐτὸ ἱστόρησαν καὶ τὴν αὐτὴν κατέθεντο μαρτυρίαν, εἴτε ἐξ Ἰουστίνου παραλαβόντες, εἴτ' ἄλλοθέν ποθεν καὶ αὐτοὶ πληροφορηθέντες· οἷον Εἰρηναῖος (ά, 23), Τερτυλλιανὸς (Apolog. cap. 13.), Εὐσέβιος (Ἐκκλ. Ἱστ. β'. 13.). Τούτων κατόπιν ἔρχονται ἄλλοι νεώτεροι μάρτυρες, οἷον ὁ Θεοδώρητος (αἱρετ. κακομυθ. ά, 1.), ὁ Αὐγουστῖνος (de hæres. cap. 1.). Ἀλλ' ὅμως ἀπέναντι τοσούτου νέφους μαρτύρων νεώτεροί τινες ἔκ τινος ἐπιγραφῆς εὑρεθείσης τῷ 1674 πεισθέντες, ἐκήρυξαν ὅτι ἐξηπάτηται ὁ Ἰουστῖνος, συνεξηπάτηνται δὲ αὐτῷ καὶ οἱ ἄλλοι, οἱ τὸ ἐκείνου ἱστόρημα ἐπαναλαβόντες. Ἡ εὑρεθεῖσα ἐπιγραφὴ ἔχει οὕτω· Semoni Sango deo· δηλοῖ δὲ Θεόν τινα ἐγχώριον τῶν Σαβίνων. Ἰδού, λέγουσι, ποῦ ἔγκειται ἡ ἀπάτη τοῦ Ἰουστίνου· εἴτε ἄπειρος ὢν τῆς λατινικῆς φωνῆς, εἴτε τῇ τῆς λέξεως ὁμοιότητι παραχθείς, ἐνόμισεν ὅτι τὸ ἐπὶ τῆς ἐπιγραφῆς ταύτης τεθειμένον ἄγαλμα ἦν Σίμωνος τοῦ αἱρεσιάρχου. Οὕτως ἄρα ἐπὶ μιᾶς συντετριμμένης ἐπιγραφῆς καθετθέντες οἱ μεγαλογνώμονες κριτικοὶ οὗτοι, ἐξεσύριξαν ὡς μῦθον ἕωλον καὶ γελοῖον τὰ ὑπὸ σοφῶν καὶ μεγάλων ἀνδρῶν ἐξ αὐτοψίας ἱστορηθέντα. Τίς εὖ φρονῶν δύναται πιστεῦσαι, ὅτι ὁ φιλόσοφος Ἰουστῖνος ἐν μέσῃ τῇ βασιλίδι Ῥώμῃ ζῶν, καὶ πρὸς τοὺς αὐτοκράτορας ἀπολογίαν συγγράφων, ἠδύνατο μετὰ τοσαύτης πεποιθήσεως πράγματα πρὸ τῶν ὀφθαλμῶν κείμενα εἰς μαρτυρίαν φέρειν, ὧν τὸ ψεῦδος καὶ αὐτοῖς τοῖς παισὶ ῥᾴδιον ἦν ἐξελέγξαι; πῶς ἦν δυνατὸν ἐξαπατηθῆναι τὸν σοφὸν Ἰουστῖνον, ἐν

§. ΙΕ΄. Παρατεινομένης δὲ τῆς πλάνης, ἀγαθῶν ξυνωρὶς διορθοῦται τὸ πταῖσμα, Πέτρος καὶ Παῦλος παραγενόμενοι, οἱ τῆς Ἐκκλησίας προστάται, καὶ ἐπιδεικτιῶντα τὸν νομιζόμενον Θεὸν Σίμωνα, νεκρὸν εὐθὺς ἀπέδειξαν· ἐπαγγελλομένου γὰρ τοῦ Σίμωνος μετεωρίζεσθαι εἰς τοὺς οὐρανοὺς, καὶ ἐπ' ὀχήματος δαιμόνων ἐπ' ἀέρος φερομένου, γόνυ κλίναντες οἱ τοῦ Θεοῦ δοῦλοι, καὶ τὴν συμφωνίαν ἐνδειξάμενοι, ἣν εἶπεν ὁ Ἰησοῦς, ὅτι «ἐὰν δύο ἐξ ὑμῶν συμφωνήσωσι περὶ παντὸς πράγματος, οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς», τὸ τῆς ὁμονοίας βέλος διὰ τῆς προσευχῆς πέμψαντες κατὰ τοῦ μάγου, κατέβαλον αὐτὸν εἰς τὴν γῆν¹)· καὶ οὐδὲν θαυμαστὸν, καίπερ ὂν θαυ-

αὐτῇ διατρίβοντα τῇ πόλει, καὶ καθ' ἡμέραν τόν τε ἀνδριάντα καὶ τὴν ἐπιγραφὴν βλέποντα καὶ ἀναγινώσκοντα, καὶ ὑπ' αὐτοὺς, οὕτως εἰπεῖν, τοὺς πόδας τοῦ ἀνδριάντος τὴν ἀπολογίαν αὐτοῦ συγγράφοντα; πῶς δυνάμεθα πιστεῦσαι, ὅτι χορεία ὅλη σοφῶν καὶ ἀρχαίων Πατέρων ἀκρίτως καὶ ἀπεριςκέπτως τῷ Ἰουστίνῳ κατηκολούθησε καὶ τὸ ἱστόρημα τούτου ἀντέγραψε, μηδὲν μηδέποτε μήτε περὶ τῆς ἀληθείας μήτε περὶ τοῦ ψεύδους διερευνήσασα; Ἀλλὰ τὰς ἐκ τοῦ λίθου καὶ τῆς ἐπιγραφῆς ἐγερθείσας ταύτας ἀντιλογίας τῶν νεωτέρων γενναίως ἀντικρούσας διέσπασε καὶ διέλυσεν ὁ σοφὸς Τιλλεμόντιος ἐν τοῖς εἰς τὴν Ἐκκλησιαςικὴν Ἱςορίαν αὐτοῦ ὑπομνήμασι (**Memoires pour servir à l'Hist. Eccles. tom. II. p. 482**).

¹) Τὸ ἱστόρημα τοῦτο, ὅτι ὁ Σίμων ἐν Ῥώμῃ, τέρατα πολλὰ ποιῶν, δαιμονικῇ συνεργείᾳ ὑψώθη καὶ εἰς ἀέρα, καὶ ὅτι παρὼν τότε ὁ Πέτρος διὰ προσευχῆς κατέρριψεν εἰς γῆν πτῶμα ἐλεεινὸν τὸν τέως μετέωρον, τοῦτο, λέγομεν, τὸ ἱστόρημα διηγοῦνται μὲν πολλοὶ, οἷον ὁ ἡμέτερος Κύριλλος, ὁ Σουλπίκιος Σεβῆρος, αἱ Διαταγαὶ τῶν Ἀποστόλων, ὁ Ἀρνόβιος, ὁ Φιλάστριος, ὁ Ἀμβρόσιος, ὁ Αὐγουστῖνος κτλ., σιωπῶσι δὲ Ἰουστῖνος, Εἰρηναῖος, Τερτυλλιανὸς καὶ Εὐσέβιος. Ἐκ δὲ τῆς σιωπῆς τῶν ἐπισήμων τούτων ἀνδρῶν καὶ ἐκ τῆς ἐν τῷ ἱστορήματι ἀπαντωμένης διαφορᾶς τῶν συγγραφέων, συνεπέρανάν τινες ὅτι ἐστὶ ψευδές. Ὁ μὲν γὰρ Κύριλλος, καὶ Σουλπίκιος Σευῆρος καὶ ἄλλοι παρόντες ἱςοροῦσι καὶ τοὺς δύο κορυφαίους τῶν Ἀποστόλων τῇ κοινῇ προσευχῇ ἀπὸ τοῦ αἰθερίου ἐκείνου ὕψους τὸν γόητα κατασπάσαντας· ἄλλοι δὲ, οἷον αἱ Διαταγαὶ τῶν Ἀποστόλων, Ἀρνόβιος καὶ Φιλάστριος καὶ Ἀμβρόσιος τοῦ Πέτρου μόνον μνείαν ποιοῦνται. Καὶ ἄλλοι μὲν εἰς μόνον τὴν προσευχὴν τῶν Ἀποστόλων τὸν θρίαμβον τοῦτον ἀπέδωκαν, ἄλλοι δὲ συνάπτουσι μετὰ τῆς προσ-

μαστόν· Πέτρος γὰρ ἦν, ὁ τὰς κλεῖς τῶν οὐρανῶν περιφέρων· καὶ οὐ θαύματος ἄξιον· Παῦλος γὰρ ἦν, ὁ εἰς τρίτον οὐρανὸν ἁρπαγεὶς καὶ εἰς παράδεισον, καὶ ἀκούσας «ἄῤῥητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι»· οἳ καὶ ἐξ ἀέρος ἐπὶ γῆν κατήγαγον τὸν νομιζόμενον Θεὸν, μέλλοντα εἰς τὰ καταχθόνια κατάγεσθαι. Οὗτος πρῶτος ὁ τῆς κακίας δράκων· μιᾶς δὲ ἐκκοπείσης κεφαλῆς, πολυκέφαλος εὑρέθη πάλιν ἡ τῆς κακίας ῥίζα.

§. ΙϚ΄. Κήρινθος γὰρ τὴν Ἐκκλησίαν ἐλυμαίνετο[1]) καὶ Μένανδρος καὶ Καρποκράτης, Ἐβιωναῖοί τε καὶ Μαρκίων[2]), τὸ τῆς ἀθεό-

---

ευχῆς καὶ τὴν νηστείαν. Καὶ οἱ μὲν ὅλον τὸ σῶμα λέγουσι κατεάξαι τὸν Σίμωνα ἐν τῇ πτώσει, οἱ δὲ τὰς κνήμας μόνον ἢ τὰ σκέλη. Ἀλλ' αἱ διαφοραὶ αὗται, ὡς παρατηρεῖ καὶ ὁ Τουτέος, οὐκ εἰσὶ τοιαῦται, ὥστε παραβλάψαι τῆς ἱστορίας τὴν ἀλήθειαν, εἴ περ αὕτη ἐπὶ στερεῶν ἱστορικῶν θεμελίων ἦν ἑδρασμένη. Ὁ Μιλέσσιος μετὰ πολλῶν καὶ ἄλλων μῦθον (fabulam) ἀποκαλεῖ τὸ διήγημα τοῦτο.

[1]) Εἰς παρατατικὸν χρόνον ἐθήκαμεν τὸ ῥῆμα, ὅπως ἔκειτο καὶ ἐν ταῖς πρὸ τοῦ Τ. ἐκδόσεσιν. Ἔστι γὰρ ὁ παρατατικὸς προσφυέςερος ἐνταῦθα τοῦ ἀορίστου, ὃν ἔθηκεν ὁ Τ. ἔκ τινων Κωδήκων.

[2]) Πονηρὸν σύνταγμα δυσωνύμων αἱρετικῶν, τὴν Ἐκκλησίαν ἐν τοῖς πρώτοις αἰῶσι λυμηναμένων, ἐκτίθησιν ἐνταῦθα ὁ ἱερὸς Κύριλλος. Καὶ ὁ μὲν Κήρινθος, ζώντων ἔτι τῶν Ἀποστόλων, ὡς ἐκ σκότους ἀναδὺς, ἀντίπαλος τοῦ εὐαγγελικοῦ κηρύγματος ἐκηρύχθη, καὶ πολλὰς βλασφημίας συνθεὶς ἐδίδασκε, τὰ δόγματα τῆς εὐσεβείας ἀνατρέπειν πειρώμενος. Ὁ μακάριος Εἰρηναῖος ἱστορεῖ, ὅτι ὁ Ἀπόστολος Ἰωάννης πρὸς τούτου τοῦ αἱρεσιάρχου τὰς πλάνας ἀντιστῆναι βουλόμενος, ἔγραψε τὸ σεπτὸν αὐτοῦ Εὐαγγέλιον (Εἰρην. γ΄. 11.). Εἰς τρία δὲ βλάσφημα κεφάλαια συγκεφαλαιοῦται τὸ κακόδοξον σύστημα τοῦ Κηρίνθου· α΄.) ὅτι δημιουργὸς τοῦ κόσμου τούτου ἐστὶν οὐχὶ ὁ Θεὸς, ἀλλ' οἱ ἄγγελοι· β΄.) ὅτι ἄλλος ὁ Χριστὸς καὶ ἄλλος ὁ Ἰησοῦς· καὶ ὁ μὲν Ἰησοῦς ἐγεννήθη ἐκ σπέρματος Ἰωσὴφ καὶ Μαρίας ψιλὸς ἄνθρωπος, ὁ δὲ Χριστὸς, τουτέστι τὸ πνεῦμα τὸ ἅγιον, κατῆλθεν ἐπὶ τὸν Ἰησοῦν ἐν εἴδει περιστερᾶς ἐν τῷ Ἰορδάνῃ· μετὰ δὲ τὸ πάθος ὁ ἄνωθεν ἐλθὼν Χριστὸς ἀνέπτη πάλιν, χωρισθεὶς ἀπὸ τοῦ Ἰησοῦ· γ΄.) ὅτι μετὰ τὴν ἀνάστασιν ἔσται ἐπὶ γῆς χιλιοετὴς βασιλεία Χριστοῦ, καθ' ἣν ἄφθονα κείσονται καὶ σιτία καὶ ποτὰ καὶ γάμοι καὶ παντοῖαι σαρκικαὶ πλησμοναί. Ὅρα περὶ Κηρίνθου Εἰρηναῖον (α΄, 26), Ἐπι-

τητος στόμα· ὁ γὰρ θεοὺς διαφόρους ἀναγορεύσας, ἄλλον τὸν ἀγαθὸν καὶ ἄλλον τὸν δίκαιον, ἀντιφθέγγεται τῷ Υἱῷ λέγοντι· «Πάτερ δίκαιε». Καὶ ὁ λέγων πάλιν ἄλλον τὸν Πατέρα, καὶ ἄλλον τὸν ποιητὴν τοῦ κόσμου, ἐναντιοῦται τῷ Υἱῷ λέγοντι· «Εἰ δὲ τὸν χόρτον τοῦ ἀγροῦ σήμερον ὄντα καὶ αὔριον εἰς κλίβανον πυρὸς βαλλόμενον ὁ Θεὸς οὕτως ἀμφιέννυσι»· καὶ «Ὅστις τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους». Οὗτος πάλιν ἄλλης κακίας εὑρετὴς δευτέρας[1]), ὁ Μαρκίων· ὑπὸ γὰρ τῶν κειμένων ἀπὸ τῆς Παλαιᾶς ἐν τῇ Καινῇ Διαθήκῃ μαρτυριῶν ἐλεγχόμενος, πρῶτος ἐτόλμησεν ἐκκόψαι τὰς μαρτυρίας, καὶ ἀμάρτυρον ἀφεῖ-

---

φάνιον (Τόμ. Α΄. σελ. 113), Θεοδώρητον (αἱρετ. κακομ. β΄, 3), Φιλάστριον (de hæres. cap. 36.). Ὁ δὲ Μένανδρος λέγεται μαθητὴς Σίμωνος τοῦ μάγου, γόης καὶ αὐτὸς καὶ ταῖς αὐταῖς ἐκείνῳ τερατείαις ἐπασχολούμενος, καὶ τὰς αὐτὰς καὶ μείζονας βλασφημίας ἐξερευγόμενος, καὶ κατὰ πάντα ἄξιος τοῦ μοχθηροῦ αὐτοῦ διδασκάλου. Ὅρα περὶ Μενάνδρου Εἰρην. (ά, 23). Ἐπιφάν. (Τόμ. Α΄. σελ. 60.), Θεοδώρ. (αἱρετ. κακομ. ά. 2.). Τὸν Μένανδρον ὀνομαστὶ ἀναφέρει ὁ Κύριλλος καὶ ἐν Κατηχ. ΙΕ΄. §. 5. Ὁ δὲ Καρποκράτης τὰ αὐτὰ μὲν σχεδὸν τῷ Κηρίνθῳ ἐλήρει, πολλῷ δὲ πλέον κατάπτυστος ἦν δι' ὃν διῆγε καὶ ἐδίδασκεν ἀσελγέστατον βίον. Ἀνάγνωθι περὶ αὐτοῦ Εἰρην. (ά, 25.), Ἐπιφάν. (Τόμ. Α΄. σελ. 102), Θεοδώρητ. (αἱρετ. κακομ. ά, 5.). Περὶ δὲ τῶν Ἐβιωναίων, τῶν τὴν θεότητα τοῦ Χριστοῦ ἀρνουμένων, καὶ τῷ Ἰουδαϊσμῷ προσανακειμένων βλ. Εἰρην. (ά, 26.), Ἐπιφάν. (Τόμ. Α΄. σελ. 125.), Θεοδώρητ. (αἱρετ. κακομ. β΄, 1.), Εὐσέβ. (Ἐκκλ. Ἱστορ. γ΄, 27). Περὶ δὲ τοῦ Μαρκίωνος ἐνταῦθα μὲν λέγει ὁ Κύριλλος, ὅτι δύο διαφόρους ἀνηγόρευσε θεοὺς, ἐν δὲ τῇ ΙΣΤ΄. Κατηχ. §. 7. ἱστορεῖ, ὅτι πρῶτος αὐτὸς τρεῖς ἐδίδαξε θεούς. Ὅρα περὶ αὐτοῦ Εἰρην. (ά, 27.), Τερτυλλιανὸν (contra Marcionem), Ἐπιφάν. (Τόμ. Α΄. σελ. 302.), Θεοδώρητ. (αἱρετ. κακομ. ά, 24), Φιλάστριον (de haeres. cap. 45). Περὶ δὲ τῆς προκυπτούσης ἀπορίας, πότερον δύο, ἢ τρεῖς θεοὺς ἐδίδασκεν ὁ Μαρκίων, ὅρα τὴν ἡμετέραν σημείωσιν εἰς Κατήχ. ΙΣΤ΄. §. 4.

[1]) Ἐν τοῖς Κώδηξι καὶ τῷ Μ. φέρεται «δεύτερος», οὐδὲν ὅμως ὀρθὸν νόημα ἐκ τῆς γραφῆς ταύτης συνάγεται, ἐνυπάρχει μάλιστα ἐναντίωσίς τις εἰς τὸ «εὑρετὴς» καὶ τὸ «δεύτερος». Ὅθεν ὁ Τ. μετέτρεψε τὸ «δεύτερος» εἰς τὸ «δευτέρως». Ἡμεῖς ἐκρί-

ναι τὸν καταγγελλόμενον λόγον τῆς πίστεως, καταλείψας τὸν Θεόν· καὶ, ὡς κηρύκων μὴ ὄντων, σαθρὰν ἠθέλησε ποιήσασθαι τῆς Ἐκκλησίας τὴν πίστιν.

§. ΙΖ΄. Διεδέξατο τοῦτον πάλιν ἄλλος, Βασιλείδης δυσώνυμος[1]), δεινότατος τὸν τρόπον, ἀσελγείας καταγγέλλων[2]). Ἐπηγωνίσατο δὲ[3])

ναμεν προσφυέστερον τῷ νοήματι τὸ «δευτέρας».

[1]) Διὰ τῆς λέξεως «διεδέξατο» φαίνεται δηλῶν ὁ Κύριλλος, ὅτι ὁ Βασιλείδης ἦν νεώτερος τοῦ Μαρκίωνος, ὅπερ οὐκ ἔῤῥωται ἐκ τῆς ἱςορίας. Ὁ μὲν γὰρ Βασιλείδης ἤκμαζεν ἐν τοῖς χρόνοις Τραϊανοῦ, καὶ ἀπέθανεν ἐπὶ Ἀδριανοῦ, καθὰ μαρτυρεῖ ὁ μακάριος Ἱερώνυμος ἐν τῷ Καταλόγῳ· τοῦ δὲ Μαρκίωνος ἡ ἀκμαιοτέρα ἐποχὴ τίθεται ὑπὸ τῶν πλείστων ἱστορικῶν ἐν τοῖς χρόνοις Ἀντωνίνου τοῦ εὐσεβοῦς, καίτοι ὁ μὲν Κλήμης (Στρωμ. Ζ΄.) τὰς ἀρχὰς τῆς αἱρέσεως τοῦ Μαρκίωνος ἀναφέρει εἰς τοὺς χρόνους τοῦ Ἀδριανοῦ, ὁ δὲ Φιλάστριος (cap. 45.) ἱστορεῖ τὸν Μαρκίωνα ἡττηθέντα τε καὶ καταισχυνθέντα ὑπ' αὐτοῦ τοῦ Εὐαγγελιστοῦ Ἰωάννου. Ἐν ᾧ δὲ ὁ Βασιλείδης ἱστορεῖται ἀποθανὼν ἐπὶ τῆς βασιλείας Ἀδριανοῦ, βασιλεύσαντος μέχρι 137, βλέπομεν τὸν Μαρκίωνα ἐν Ῥώμῃ ἐπὶ τοῦ Πάπα Ἀνικήτου, τῷ 150 (Εἰρην. γ΄. 3. Εὐσέβ. Ἐκκλ. Ἱστορ. δ΄. 14. Ἱερών. in catalog. script. cap. 17. Νικηφόρ. Ἐκκλ. Ἱστορ. ιϛ΄. γ΄. 30.). Ὥστε ἐκ τούτων καὶ ἐκ πολλῶν ἄλλων ἀποδείξεων, ἅς περιττὸν ἔδοξε παραθεῖναι ἐνταῦθα, ὁ Βασιλείδης ἀναδείκνυται προγενέστερος τοῦ Μαρκίωνος. Ἄριστα καὶ εἰς πλάτος τὰ περὶ τῆς ἐποχῆς τῶν αἱρεσιαρχῶν τούτων ἐπραγματεύσατο ὁ σοφὸς Πεαρσώνιος (Vindic. Ignat. part. II. cap. 7.). Βλ. καὶ Ittigium (de haeresiarchis II. cap. 2.). Πρβλ. καὶ Κλήμ. Ἀλεξ. (Τόμ. Β΄. σελ. 549. ἔκδ. Migne).

[2]) Τὸ ἀσελγὲς καὶ ἐκδεδιῃτημένον τοῦ τρόπου τοῦ Βασιλείδου δηλοῖ καὶ ὁ μακάριος Ἐπιφάνιος, γράφων· «Πᾶσαν ἐπιτήδευσιν κακομηχανίας καὶ ἀσελγείας ἐπιτρέπει τοὺς αὐτῷ μαθητευομένους ἐπιτελεῖν» (Τόμ. Α΄. σελ. 71.). Φησὶ δὲ περὶ αὐτοῦ καὶ ὁ Θεοδώρητος· «Τῶν δὲ εἰδωλοθύτων ἀδεῶς μεταλαμβάνειν προσέταξε, καὶ τὰς ἀπειρημένας πράξεις ἀδιακρίτως ἐπιτελεῖν» (αἱρετ. κακομ. ά, 4.). Ὅρα καὶ Εἰρηναῖον (ά. 24): «habere autem et reliquarum operationum usum indifferentem et universæ libidinis».

[3]) Προσεθήκαμεν τὸν «δὲ» ἐκ τοῦ Κώδ. Α.

τῇ κακίᾳ καὶ Οὐαλεντῖνος[1]), τριάκοντα θεῶν καταγγελεύς· Ἑλ-

[1]) Ἀπηλείψαμεν τὸ ἄρθρον πρὸ τοῦ «Οὐαλεντῖνος» ὡς περιττὸν καὶ ὡς ἐλλεῖπον ἐκ τῶν πλείστων Κωδήκων καὶ ἐκδόσεων· μόνον ὁ Τ. ἔθηκεν αὐτὸ ἐν τῷ κειμένῳ ἐξ ἑνὸς Κώδηκος ὡς κατάλληλον. Ὁ Οὐαλεντῖνος θεωρεῖται ὡς ὁ ἐπισημότατος τῶν γνωστικῶν αἱρεσιαρχῶν. Ἐγεννήθη μὲν ἐν Αἰγύπτῳ κατὰ τὸν Ἐπιφάνιον, ἤκμασε δὲ «ἐπὶ Πίου, καὶ παρέμεινεν ἕως Ἀνικήτου» κατὰ τὸν Εἰρηναῖον (γ΄, 4), τουτέστιν ἕως τοῦ ἔτους 150. Ἔστι δὲ πολλῆς προσοχῆς καὶ περιεργείας ἄξιος διά τε τὰ ἄλλα καὶ διὰ τὸ λίαν φαντασιῶδες καὶ κενεμβατοῦν αὐτοῦ σύστημα, ὅπερ, κατὰ τὸν Θεοδώρητον, ἐξ ἀπεράντων συντέτακται μύθων. Τὸ κυριώτερον καὶ χαρακτηριστικώτερον γνώρισμα τῆς τοῦ Οὐαλεντίνου αἱρέσεώς ἐστι τὸ πλῆρες φανταστικῆς τερατολογίας σύστημα τῶν 30 αἰώνων, 15 μὲν ἀῤῥένων, 15 δὲ θηλέων. Ὅτι δὲ τοὺς αἰῶνας τούτους ὠνόμαζε καὶ θεούς, γίνεται φανερὸν ἐκ τοῦ Ἐπιφανίου, λέγοντος· «Αἰῶνας βούλεται παριστᾷν, οὓς καὶ θεοὺς ὀνομάζει» (Τόμ. Α΄, σελ. 164). Ἔφη δὲ καὶ ὁ πρεσβύτερος Παυλῖνος (ἐν τῷ βίῳ τοῦ ἁγίου Ἀμβροσίου)· «Valentinianorum haeresis triginta deos colit». Πῶς δὲ οἱ 30 οὗτοι αἰῶνες παρήχθησαν κατὰ τὸν φαντασιόπληκτον Οὐαλεντῖνον, ἱστόρησαν ὁ μακάριος Εἰρηναῖος οὕτω. Τὸ πρώτιστον καὶ τελειότατον ὂν ὁ Οὐαλεντῖνος ἐκάλει Βυθόν· ὠνόμαζε δὲ τοῦτον καὶ προαρχὴν καὶ προπάτορα κατά τε τὸν Εἰρηναῖον (ά, 1.) καὶ Θεοδώρητον (αἱρετ. κακομ. ά, 7). Ὁ Βυθὸς οὗτος ὢν ἀΐδιος καὶ ἀγέννητος, διετέλει ἐν πολλῇ ἡσυχίᾳ καὶ ἠρεμίᾳ κατὰ τὸ χρονικὸν διάστημα τῶν ἀπείρων αἰώνων· συνῆν δὲ καὶ συνυπῆρχε μετὰ τοῦ Βυθοῦ τούτου καὶ ἄλλο ὄν, καλούμενον Ἔννοια, ὅπερ ὠνόμαζεν ὁ Οὐαλεντῖνος καὶ Χάριν καὶ Σιγήν. Ὁ ἡμέτερος Κύριλλος λέγει, ὅτι ὁ Βυθὸς ἐγέννησε τὴν Σιγήν· ἀλλ' οὐδὲν τοιοῦτον ἱστόρησεν οὔτε Εἰρηναῖος οὔτε Ἐπιφάνιος οὔτε Θεοδώρητος· «Συνυπάρχειν τῷ Βυθῷ τὴν Ἔννοιαν» εἶπεν ὁ Εἰρηναῖος (ά, 1)· «Ἔννοιαν δέ τινα συνυπάρχειν αὐτῷ (τῷ Βυθῷ)» ἔγραψε καὶ Θεοδώρητος. Περὶ συνυπάρξεως λοιπόν, οὐχὶ περὶ γεννήσεως τῆς Σιγῆς γράφουσιν οἱ ἄλλοι· ὥστε ὁ Κύριλλος φαίνεται ὅτι ἀλλοθέν ποθεν καὶ ἐξ ἰδίας τινὸς πηγῆς παραλαβὼν ἔγραψε τὴν ἐκ τοῦ Βυθοῦ γέννησιν τῆς Σιγῆς. Ὁ Τουτέος νομίζει, ὅτι ἐξηπάτησε τὸν Κύριλλον ἡ ὁμοιότης τῆς Ἐννοίας καὶ τῆς Ἑλένης τοῦ Σίμωνος, ἣν ὁ γόης οὗτος πρώτην Ἔννοιαν ἀπεκάλει, καὶ ὑπ' αὐτοῦ γεννηθῆναι ἔφασκεν. Ἐκ τῆς πρώτης ταύτης συζυγίας, τοῦ Βυθοῦ καὶ τῆς Σιγῆς, ἐγεννήθη ἡ δευτέρα συζυγία, ὁ Νοῦς καὶ ἡ Ἀλήθεια· ταύτας δὲ τὰς πρώτας συζυγίας ὠνόμαζον ἀπι-

ληνες ὀλίγους λέγουσι[1]), καὶ ὁ ὀνομαζόμενος, μᾶλλον δὲ οὐκ ὢν χριστιανὸς, εἰς τριάκοντα ὅλους ἐξέτεινε τὴν πλάνην· καί φησιν ὅτι ὁ Βυθὸς (πρέπει γὰρ αὐτῷ, ὄντι βυθῷ τῆς κακίας, ἐκ βυθοῦ τῆς διδασκαλίας ἄρχεσθαι·) ἐγέννησε Σιγὴν, καὶ ἀπὸ τῆς Σιγῆς ἐτεκνοποίει

θαγορικὴν τετρακτύν». Εἰρην. (ά. 1), Θεοδώρητ. (αἱρετ. κακομ. ά. 7). Καὶ ἐνταῦθα δὲ διαφωνία τις ἀναφαίνεται μεταξὺ τοῦ Εἰρηναίου καὶ τοῦ Κυρίλλου, καθ' ὅτι ὁ μὲν Εἰρηναῖος τὸν Νοῦν λέγει γεννηθῆναι ἐκ τῆς πρώτης συζυγίας, ὁ δὲ Κύριλλος τὸν Λόγον. Ἐκ τῆς δευτέρας συζυγίας προεβλήθη καὶ τρίτη, ὁ Λόγος καὶ ἡ Ζωὴ, ἐκ δὲ ταύτης ἡ τετάρτη, ὁ Ἄνθρωπος καὶ ἡ Ἐκκλησία. Τὰς τέσσαρας ταύτας συζυγίας ὠνόμαζον «ἀρχέγονον ὀγδοάδα, ῥίζαν καὶ ὑπόστασιν τῶν πάντων»· Εἰρην. (ά. 1.). Ἐφεξῆς δὲ ἀπὸ μὲν τοῦ Λόγου καὶ τῆς Ζωῆς προεβλήθησαν δέκα αἰῶνες, Βύθιος καὶ Μίξις, Ἀγήρατος καὶ Ἕνωσις, Αὐτοφυὴς καὶ Ἡδονὴ, Ἀκίνητος καὶ Σύγκρασις, Μονογενὴς καὶ Μακαρία. Ἀπὸ δὲ τοῦ Ἀνθρώπου καὶ τῆς Ἐκκλησίας δώδεκα αἰῶνες, Παράκλητος καὶ Πίστις, Πατρικὸς καὶ Ἐλπὶς, Μητρικὸς καὶ Ἀγάπη, Ἀείνους καὶ Σύνεσις, Ἐκκλησιαστικὸς καὶ Μακαριότης, Θελητὸς καὶ Σοφία· Εἰρην. (ά. 1). Ὅθεν οὐκ ἀκριβῶς καὶ ἐνταῦθα εἶπεν ὁ Κύριλλος, ὅτι ἐκ μὲν τῶν ὀκτὼ αἰώνων ἐγεννήθησαν οἱ δέκα, καὶ ἐξ αὐτῶν ἄλλοι δώδεκα. Καὶ τοῦτο μέν ἐστιν ἐν συνόψει τὸ τερατῶδες σύστημα τῶν τριάκοντα αἰώνων τοῦ Οὐαλεντίνου, ὅπερ ἐξέθηκε μὲν εἰς πλάτος ἐκ τῶν ἀρχαίων ὁ Εἰρηναῖος, ἀνέπτυξε δὲ καὶ κατὰ τὸ ἐνὸν διεσάφησεν ἐκ τῶν νεωτέρων ὁ Μασσουέτος (**Dissertatio de Gnosticorum rebus**), ὃς καὶ δείκνυσι, καὶ δι' ἀποδείξεων στηρίζει, ὅτι αἱ ἐν τῷ συστήματι τούτῳ ἐπικρατοῦσαι ἰδέαι εἰσὶν οὐχὶ πρῶτον ἤδη ὑπ' αὐτοῦ τοῦ Οὐαλεντίνου ἐξευρημέναι, ἀλλ' ἐξ ἀρχαιοτέρων συστημάτων συγκεκλωσμέναι, καὶ ἀκρίτως ὑπ' αὐτοῦ συμπεφορημέναι καὶ συγκεκαττυμέναι. Ὡς πηγὰς δὲ καὶ στοιχεῖα τοῦ οὐαλεντινιανοῦ συστήματος παραδέχεται ὁ Μασσουέτος ά.) τὰ ἀρχαιότερα γνωστικὰ συστήματα, Σίμωνος, Μενάνδρου κτλ., β'.) τὸν ἑλληνισμὸν καὶ τὴν ἑλληνικὴν φιλοσοφίαν, καὶ μάλιστα τὴν πυθαγορικὴν καὶ πλατωνικὴν, γ'.) τὰς ἀσιατικὰς θεογονίας καὶ μυθολογίας, καὶ πρὸ πάντων τὴν χαλδαϊκὴν καὶ αἰγυπτιακήν. Ἀποδοκιμάζει δὲ καὶ ὡς ἀνυπόστατον ἀποῤῥίπτει τὴν γνώμην τινῶν νεωτέρων, ἐκ τῆς ἑβραϊκῆς Καββαλᾶς τὸ σύστημα τοῦτο παραγόντων.

[1]) Ὀλίγους λέγων ὁ Κύριλλος τοὺς θεοὺς τῶν Ἑλλήνων ἐννοεῖ πάντως τοὺς δώδεκα μεγάλους θεούς. Ἂν γὰρ ἅπαντας τοὺς θεοὺς ἀριθμήσωμεν μικρούς τε καὶ μεγάλους, πολλῷ πλείονας εὑρήσομεν τῶν 30.

Λόγον. Τοῦ παρ᾽ Ἕλλησι Διὸς οὗτος χείρων, τοῦ τῇ ἀδελφῇ μιγνυμένου· τέκνον γὰρ εἶναι τοῦ Βυθοῦ ἐλέγετο ἡ Σιγή. Βλέπεις ἀτοπίαν σχήματι χριστιανισμοῦ περιβεβλημένην; Μεῖνον βραχὺ, καὶ μισήσεις τὴν ἀσέβειαν· φησὶ γὰρ ὀκτὼ αἰῶνας ἐκ τούτου γεγενῆσθαι, καὶ ἐξ ἐκείνων δέκα, καὶ ἐξ ἐκείνων ἄλλους δώδεκα[1]), ἄρσενας καὶ θηλείας. Καὶ πόθεν ἡ σύστασις τούτων; Βλέπε τὴν ληρῳδίαν ἐκ τῶν κατασκευασμάτων. Πόθεν ἔχεις τὴν ἀπόδειξιν τῶν τριάκοντα αἰώνων; Ἐπειδὴ, φησὶ, γέγραπται ὅτι ἐβαπτίσθη ὁ Ἰησοῦς τριάκοντα ἐτῶν ὤν[2]). Καὶ ποία αὕτη ἀπόδειξις ἐκ τῶν τριάκοντα ἐτῶν, εἰ καὶ τριάκοντα ἐτῶν ἐβαπτίσθη; ἆρα οὖν ἐπειδὴ καὶ πέντε ἄρτους ἔκλασεν εἰς πεντακισχιλίους, πέντε εἰσὶ θεοί; ἢ ἐπειδὴ δώδεκα ἔσχε μαθητὰς, δώδεκα ὤφειλον[3]) εἶναι καὶ θεοί;

§. ΙΗ΄. Καὶ τοῦτο ἔτι μικρὸν πρὸς τὰ λοιπὰ τῆς ἀσεβείας· φησὶ γὰρ ὅτι ἡ τελευταία τῶν θεῶν ἀρσενόθηλυς οὖσα[4]), ὡς τολμᾷ λέγειν, αὕτη ἐστὶν ἡ Σοφία. Ὦ τῆς ἀθεότητος! Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ[5]) σοφία, μονογενὴς Υἱός· κἀκεῖνος εἰς θῆλυ, καὶ τριακοστὸν στοιχεῖον, καὶ ἔσχατον κατασκεύασμα, κατήνεγκε τῷ λόγῳ[6]) τοῦ Θεοῦ τὴν σοφίαν. Καί φησιν ὅτι ἐπεχείρησεν ἡ Σοφία τὸν πρῶτον

---

[1]) Ἐν τῷ Κώδ. Α. «δέκα δύο».

[2]) Ταύτῃ τῇ ἀποδείξει χρωμένους τοὺς Οὐαλεντινιανοὺς ἱστόρησε καὶ Εἰρηναῖος (ά, 1)· «Καὶ διὰ τοῦτο τὸν Σωτῆρα λέγουσι τριάκοντα ἔτεσι κατὰ τὸ φανερὸν μηδὲν πεποιηκέναι, ἐπιδεικνύντα τὸ μυστήριον τούτων τῶν Αἰώνων».

[3]) Ἐγράψαμεν «ὤφειλον» ἐξ αὐθεντίας τεσσάρων Κωδήκων, οὓς ἀναφέρει καὶ ὁ Τουτέος, ἀντὶ τοῦ ἐν ταῖς ἐκδόσεσιν «ὤφειλαν».

[4]) Θήλει λέγει ταύτην ὁ Εἰρηναῖος, οὐχὶ ἀρσενόθηλυν (Εἰρην. ά, 1. καὶ ά, 2.).

[5]) Οὕτω πλήρης κεῖται ἡ φράσις ἐν τῷ Κώδηκι Α. Οἱ δὲ ἀντιγραφεῖς ἐκολόβωσαν ἐξ ἀπροσεξίας αὐτὴν ἕνεκα τῆς ἐπαναλήψεως τοῦ «Θεοῦ»· αἱ ἐκδόσεις ἔχουσι «Χριστοῦ γὰρ Θεοῦ σοφία»· ὅπερ ὁ Τ. διωρθώσατο εἰς τὸ «Χριστὸς γὰρ Θεοῦ σοφία».

[6]) Ἀντὶ «τῷ λόγῳ» ὁ Κοισλινιανὸς Κώδηξ ἔχει «τὸν λόγον». Κατὰ ταύτην δὲ τὴν γραφὴν πολὺ κάλλιον εὐοδοῦται τὸ νόημα, οὕτω· «κατήνεγκε τὸν Λόγον, τοῦ Θεοῦ τὴν σοφίαν».

Θεὸν ἰδεῖν, καὶ μὴ φέρουσα τὰς μαρμαρυγὰς, ἐξέπεσε τῶν οὐρανῶν, καὶ ἀπεβλήθη τοῦ τριακοστοῦ ἀριθμοῦ· εἶτα στένουσα, ἐκ τῶν στεναγμάτων γεννᾷ[1]) τὸν διάβολον· καὶ ὅτι δακρύσασα τὴν ἀπόπτωσιν, τὴν θάλασσαν ὑπεστήσατο[2]). Βλέπεις τὴν ἀσέβειαν; πῶς γὰρ ἐκ σοφίας διάβολος γεννᾶται, καὶ ἀπὸ συνέσεως ἡ κακία, ἢ ἀπὸ φωτὸς σκότος; Καί φησιν, ὅτι ὁ διάβολος ἐγέννησεν ἄλλους, ἐξ ὧν τινες κατεσκεύασαν τὸν κόσμον· καὶ ὅτι ὁ Χριστὸς κατῆλθεν ἐπὶ τὸ ἀποστῆσαι τοὺς ἀνθρώπους τοῦ κοσμοποιοῦ.

§. ΙΘ΄. Ἄκουε δὲ, τίνα λέγουσιν εἶναι τὸν Χριστὸν Ἰησοῦν[3]), ἵνα ἔτι μειζόνως αὐτοὺς μισήσῃς· διδάσκουσι γὰρ ὅτι, τῆς Σοφίας ἐκπεσούσης, ἵνα μὴ ὁ ἀριθμὸς λείπῃ τῶν τριάκοντα, οἱ εἰκοσιεννέα αἰῶνες, συνενέγκαντές τι ἕκαστος ἐλάχιστον, κατεσκεύασαν τὸν Χριστόν[4])· καὶ τοῦτον δὲ ἀρσενόθηλυν πάλιν λέγουσιν. Ἆρα ἔστι τι τού-

---

[1]) Ἐθήκαμεν τὸν ἐνεστῶτα «γεννᾷ» ἐκ τῶν Κωδ. Α., Roe, Casaub. ἀντὶ τοῦ ἐν ταῖς ἐκδόσεσι φερομένου παρατατικοῦ «ἐγέννα».

[2]) Ταῦτα οἱ Οὐαλεντινιανοὶ ἐλήρουν οὐχὶ κυρίως περὶ τῆς Σοφίας, ἀλλὰ περὶ τῆς ἐνθυμήσεως τῆς καὶ Ἀχαμώθ· ἀποδίδωσι δὲ εἰς τὴν Σοφίαν ὁ Κύριλλος, ὅσα ὁ Εἰρηναῖος ἀναφέρει εἰς τὴν Ἀχαμώθ. Ὅτι δὲ ἐκ τῶν δακρύων αὐτῆς συνέστη ἡ θάλασσα, τοῦ λήρου τούτου ἐμνημόνευσε καὶ Εἰρηναῖος (ά, 4.)· «ἀπὸ γὰρ τῶν δακρύων αὐτῆς γεγονέναι πᾶσαν ἔνυγρον οὐσίαν» καὶ Θεοδώρητος «ἐκ τῶν δακρύων αὐτῆς συστῆναι τὴν ὑγρὰν οὐσίαν». (αἱρετ. κακομ. ά, 7.).

[3]) Ἡ λέξις «Ἰησοῦν» ἐλλείπει ἐκ τῶν Κωδ. Α,. R. καὶ C.

[4]) Οὐκ ἀκριβῶς διαστέλλει ὁ Κύριλλος ἃ μὲν ἔλεγον οἱ φρενοβλαβεῖς οὗτοι περὶ τοῦ Χριστοῦ καὶ ἃ περὶ τοῦ Ἰησοῦ· λίαν γὰρ δυσσεβῶς ἐχώριζον καὶ διέκρινον τὸν Χριστὸν ἀπὸ τοῦ Ἰησοῦ. Περὶ τῆς κατασκευῆς ταύτης τοῦ Χριστοῦ κατὰ τοὺς φρενοβλαβεῖς λήρους τοῦ Οὐαλεντίνου λέγει καὶ ὁ Εἰρηναῖος ταῦτα· «Μετὰ δὲ τὸ ἀφορισθῆναι ταύτην (τὴν ἐνθύμησιν) ἐκτὸς τοῦ πληρώματος τῶν Αἰώνων, τήν τε μητέρα αὐτῆς ἀποκατασταθῆναι τῇ ἰδίᾳ συζυγίᾳ, τὸν Μονογενῆ πάλιν ἑτέραν προβαλέσθαι συζυγίαν κατὰ προμήθειαν τοῦ Πατρὸς, ἵνα μὴ ὁμοίως ταύτῃ πάθῃ τις τῶν Αἰώνων, Χριστὸν καὶ Πνεῦμα ἅγιον, εἰς πῆξιν καὶ στηριγμὸν τοῦ πληρώματος» (ά, 2. 6.). Βλέπομεν ὅτι ἡ προβολὴ τοῦ Χριστοῦ ὑπὸ τοῦ Μονογενοῦς ἐγένετο

των ἀσεβέστερον; ἔστι τι τούτων ἀθλιώτερον; Ἐγὼ διηγοῦμαί σοι τὴν πλάνην, ἵνα μειζόνως αὐτοὺς μισήσῃς. Φεῦγε οὖν τὴν ἀσέβειαν, μηδὲ χαίρειν λέγε τῷ τοιούτῳ, ἵνα μὴ κοινωνήσῃς τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους· καὶ μήτε πολυπραγμονήσῃς, μήτε εἰς λόγους αὐτοῖς ἐλθεῖν θελήσῃς.

§. Κ΄. Καὶ μίσει μὲν πάντας αἱρετικοὺς, ἐξαιρέτως δὲ τὸν τῆς μανίας ἐπώνυμον[1]), τὸν πρῴην ἐπὶ Πρόβου βασιλέως ἀρξάμε-

μετὰ τὴν προβολὴν καὶ συμπλήρωσιν τῶν 30 Αἰώνων καὶ τὴν πτῶσιν τῆς Ἀχαμώθ· «εἰς πῆξιν καὶ στηριγμὸν τοῦ πληρώματος». Ἀλλ' εἰς τὴν προβολὴν τοῦ Ἰησοῦ συνεισήνεγκον ἅπαντες οἱ αἰῶνες τὸ κάλλιον ὧν εἶχον, ἐκ ταύτης δὲ τῆς ἁρμοδίας πλοκῆς καὶ ἐμμελοῦς ἑνώσεως πασῶν τούτων τῶν συνεισφορῶν προήχθη ὁ Ἰησοῦς «εἰς τιμὴν καὶ δόξαν τοῦ Βυθοῦ». Ἀλλ' εἰς τὸ σκότος τῶν ὕθλων τούτων λαλείτω μᾶλλον ἡ γλῶττα τοῦ Εἰρηναίου· «Καὶ ὑπὲρ τῆς εὐποιΐας ταύτης βουλῇ μιᾷ καὶ γνώμῃ τὸ πᾶν πλήρωμα τῶν αἰώνων, συνευδοκοῦντος τοῦ Χριστοῦ καὶ τοῦ Πνεύματος, τοῦ δὲ Πατρὸς αὐτῶν συνεπισφραγιζομένου, ἕνα ἕκαστον τῶν αἰώνων, ὅπερ εἶχεν ἐν ἑαυτῷ κάλλιστον καὶ ἀνθηρότατον συνενεγκαμένους καὶ ἐρανισαμένους, καὶ ταῦτα ἁρμοδίως πλέξαντας καὶ ἐμμελῶς ἑνώσαντας, προβαλέσθαι πρόβλημα εἰς τιμὴν καὶ δόξαν τοῦ Βυθοῦ, τελειότατον κάλλος τε καὶ ἄστρον τοῦ Πληρώματος, τέλειον καρπὸν, τὸν Ἰησοῦν, ὃν καὶ Σωτῆρα προσαγορευθῆναι καὶ Χριστὸν καὶ Λόγον πατρωνυμικῶς» (ά, 2).

[1]) Ἔν τισι Κώδηξι μετὰ τὸ «ἐπώνυμον» κεῖται «τὸν Μανιχαῖον λέγω». Τὴν ἐπεξήγησιν ταύτην οὐκ ἀλόγως ἐθεώρησεν ὁ Τουτέος ὡς γλωσσηματικὴν προσθήκην, ἔξωθεν παρεισφρήσασαν· διότι ὁ Κύριλλος τὸν αἱρεσιάρχην τοῦτον καλεῖ πάντοτε Μάνεντα, οὐδέποτε δὲ Μανιχαῖον.—Καὶ πάσας μὲν τὰς αἱρέσεις ἀποῤῥαπίζει, καὶ ἐν ἐλέγχῳ πολλῷ στηλιτεύει ὁ θεσπέσιος Κύριλλος, μάλιστα δὲ πάντων τὴν τοῦ Μάνεντος αἵρεσιν ἀφειδῶς ἐξελέγχει, καὶ πυκνὰ βάλλει καὶ εὐτόνως καταγωνίζεται. Ποιεῖ δὲ τοῦτο διὰ πολλὰς αἰτίας· ά.) Ἡ αἵρεσις αὕτη τῶν Μανιχαίων συνέστη καὶ συνεκροτήθη ἐκ πολλῶν ψευδῶν καὶ ἀθέων δογμάτων, ἐν ἄλλαις προγενεστέραις αἱρέσεσιν ἀπαντωμένων, ὡς ὁ Κύριλλος μικρὸν κατωτέρω βεβαιοῖ καὶ ὁ Εὐσέβιος μαρτυρεῖ (Ἐκκλ. Ἱστ. Ζ΄. 31.). Ὁ θεομάχος Μάνης ἐπιμελῶς συλλεξάμενος ὅ,τι δυσσεβὲς καὶ κακόδοξον εὗρεν ἐν παλαιοτέροις συστήμασι πλάνης, παραλαβὼν δὲ καὶ ἐκ τῆς περσικῆς θρησκείας ὅσα ἔδοξαν αὐτῷ ἀρεστὰ, εἶτα δὲ πάντα ταῦτα εἰς ἓν συμφορήσας, ἀπήρτισε τὸ ἑαυ-

νον[1])· πρὸ γὰρ ὅλων ἑβδομήκοντα ἐτῶν ἡ πλάνη, καὶ εἰσὶ μέχρι τοῦ νῦν ἄνθρωποι αὐτοῖς ὀφθαλμοῖς θεωρήσαντες ἐκεῖνον· ἀλλ' οὐχ ὅτι πρὸ ὀλίγου χρόνου ἦν, διὰ τοῦτο μίσει, ἀλλὰ διὰ τὰ δυσσεβῆ δόγματα μίσει τὸν τῆς κακίας ἐργάτην, τὸ δοχεῖον παντὸς ῥύπου, τὸν πάσης αἱρέσεως βόρβορον ὑποδεξάμενον. Φιλοτιμούμενος γὰρ ἐν κακοῖς ἐξαίρετος γενέσθαι, τὰ πάντα λαβὼν, καὶ μίαν αἵρεσιν πεπληρωμένην βλασφημιῶν καὶ πάσης παρανομίας συστησάμενος[2]), λυμαίνεται τὴν

τοῦ σύγκραμά τε καὶ σύῤῥαμμα μᾶλλον ἢ σύστημα, δοὺς αὐτῷ ἐπίχρωσιν χριστιανικήν. β'.) Μετὰ τοσαύτης ἐπιτηδειότητος καὶ πιθανότητος ἐχρῶντο (οἱ Μανιχαῖοι) ταῖς ῥήσεσι τοῦ Εὐαγγελίου, ὥστε συχνοὶ τῶν ἁπλουστέρων ἐξηπατῶντο καὶ ἐνέπιπτον εἰς τὰ δίκτυα τῆς πλάνης. Πρόσθες, ὅτι καὶ βίον αὐστηρὸν ἅμα καὶ ἐπιστημονικὸν ὑπεκρίνοντο οἱ Μανιχαῖοι, σεμνοπροσωποῦντες, καὶ ἐπὶ μεγάλαις δῆθεν ἀρεταῖς καὶ μεγάλῃ σοφίᾳ κομποῤῥημονοῦντες καὶ συνοφρυούμενοι, καὶ πολλῇ τῇ ἐπιδείξει χρώμενοι· ἀλλὰ καὶ ὁ ἐξωτερικὸς αὐτῶν ὀργανισμὸς πολλὴν εἶχε τὴν ἀπομίμησιν τῶν Καθολικῶν, δώδεκα μὲν ἀρχιερεῖς ἔχων πρώτους, ἑβδομήκοντα δὲ δύο ἄλλους δευτέρας τάξεως κτλ. γ'.) Ὑπὲρ πᾶσαν ἄλλην προγενεστέραν πλάνην ἡ αἵρεσις αὕτη ῥίζας ἔῤῥιψε βαθείας καὶ ἐξετάθη καὶ ἐπὶ πολὺ ἐξηπλώθη· Περσία, Μεσοποταμία, Συρία, Παλαιστίνη, Αἴγυπτος, Ἀφρικὴ καὶ Ἰταλία ἔβριθον Μανιχαίων, καὶ ὑπὸ τοῦ δεινοῦ τούτου κακοῦ, ὡς ὑπὸ λοιμώδους ἐπιδημικῆς νόσου, κατελυμαίνοντο. Ἐκ τοῦ βίου τοῦ ἁγίου Εὐθυμίου μανθάνομεν τὸ περίεργον τοῦτο, ὅτι καὶ ἐν αὐταῖς ταῖς ἐρήμοις τοῖς Παλαιστίνης εὑρίσκοντο κατοικοῦντες Μανιχαῖοι. Δικαίως ἄρα μετὰ πολλοῦ καὶ διαπύρου ζήλου ἠγέρθη κατὰ τῆς πλάνης ταύτης ὁ μακάριος Κύριλλος, βλέπων αὐτὴν ἐν τῇ Παλαιστίνῃ τοσοῦτον ἐπινεμομένην, καὶ ἐκ τοῦ εὐσεβοῦς ποιμνίου ἁρπάγματα ποιοῦσαν καὶ τὴν Ἐκκλησίαν ὅλην ἀναταράττουσαν.

[1]) Ὁ Εὐσέβιος ἐν τῷ χρονικῷ τίθησι τὸ δεύτερον ἔτος τῆς βασιλείας τοῦ Πρόβου ὡς ἐποχὴν, καθ' ἣν ἐξέφυ καὶ ὡς ἐκ δυσώδους κευθμῶνος ἀνεφυσήθη ἡ τοῦ Μάνεντος αἵρεσις. Ὥρισται δὲ ὑπὸ τῶν χρονολόγων τὸ ἔτος 277 ὡς τὸ ἔτος τῆς διαδηλώσεως καὶ διασπορᾶς τῆς πλάνης καὶ τοῦ θανάτου τοῦ Μάνεντος. Ὅρα Pagi (Crit. ad a. 277. n. 6.)· πρβλ. καὶ Petavium (in animadversiones ad haeres. 66 Epiphanii). Πρὸς ταῦτα συνᾴδει καὶ ἡ μαρτυρία τοῦ Κυρίλλου βεβαιοῦντος, ὅτι πρὸ 70 ἐτῶν ἀνέδυ ἡ πλάνη, καὶ ὅτι ἦσαν μέχρις αὐτοῦ ἄνθρωποι αὐτοῖς ὀφθαλμοῖς θεωρήσαντες τὸν Μάνεντα.

[2]) Τοῦτ' αὐτὸ λέγει ὁ Κύριλλος καὶ ἐν Κατ. ΙΣΤ'. §. 9· «ὁ δυσσεβέστατος

Ἐκκλησίαν, μᾶλλον δὲ τοὺς ἐκτὸς τῆς Ἐκκλησίας, ὡς λέων περιπατῶν καὶ καταπίνων. Μὴ πρόσεχε αὐτῶν [1]) τῇ χρηστολογίᾳ, μηδὲ τῇ νομιζομένῃ ταπεινοφροσύνῃ· ὄφεις γάρ εἰσι, γεννήματα ἐχιδνῶν· καὶ Ἰούδας ἔλεγε «Χαῖρε Ῥαββί»· καὶ προεδίδου τὸν διδάσκαλον [2])· μὴ τοῖς φιλήμασι πρόσεχε, ἀλλὰ τὸν ἰὸν φυλάσσου.

§. ΚΑ΄. Καὶ ἵνα μὴ μάτην δοκῶμεν αὐτοῦ κατηγορεῖν, ἴδωμεν ἐν παρεξόδῳ τίς οὗτος ὁ Μάνης ἐστίν· εἴπωμεν δὲ [3]), καὶ τί διδάσκει ἐκ μέρους· ὅλον γὰρ τὸν βόρβορον οὐδ᾽ ὁ πᾶς αἰὼν κατ᾽ ἀξίαν διηγήσασθαι δύναται [4]). Μνημονευέσθω δὲ ταῦτα παρὰ σοὶ εἰς εὔκαιρον

Μάνης, ὁ τὰ τῶν αἱρέσεων πασῶν κακὰ συνειληφώς· καὶ οὗτος τελευταῖος βόθρος ἀπωλείας τυγχάνων, τὰ πάντων συλλέξας ὁμοῦ τῶν αἱρετικῶν καινοτέραν εἰργάσατο καὶ ἐδίδαξε πλάνην». Τὰ αὐτὰ τῷ Κυρίλλῳ περὶ τῆς τοῦ Μάνεντος αἱρέσεως εἶπον καὶ Εὐσέβιος (Ἐκκλ. Ἱστορ. Ζ΄. 31) «δόγματά γε μὴν ψευδῆ καὶ ἄθεα ἐκ μυρίων τῶν πρόπαλαι ἀπεσβηκυιῶν αἱρέσεων συμπεφορημένα καττύσας»· καὶ Ἐπιφάνιος (Αἱρ. 66. Τόμ. Α΄. σελ. 708.) καὶ Λέων Πάπας Ῥώμης (Serm. 15. de jejun.) καὶ ἄλλοι συχνοί· «τρυγιοὶ πασῶν αἱρέσεων» καλοῦνται οἱ Μανιχαῖοι ἐν τῷ κατὰ αἱρέσεων λόγῳ, ἀποδιδομένῳ τῷ Μ. Ἀθανασίῳ (Τόμ. Α΄. σελ. 852). Ὄντως δ᾽ ἀηδὲς καὶ ἀκάθαρτον ἐκ πολλῶν θολερῶν καὶ δυσωδῶν ῥευμάτων συνεστηκὸς κρᾶμα καὶ μίγμα τυγχάνει ἡ τοῦ Μάνεντος αἵρεσις· τὰς μὲν γὰρ δύο ἀρχάς, καλὴν καὶ κακήν, ἔλαβεν ἀπὸ τοῦ Μαρκίωνος καὶ τῶν κατὰ τὴν Περσίδα Μάγων· τὴν δὲ προσκύνησιν τοῦ ἡλίου, τῆς σελήνης καὶ τῶν ἀστέρων ἐκ τῶν Περσῶν καὶ Ἑλλήνων (Ἐπιφ. σελ. 708)· τὴν δὲ καταφρόνησιν τῆς Π. Διαθήκης καὶ τὰς μυσαρὰς τελετὰς ἀπὸ τῶν Γνωστικῶν· ἄλλα δὲ πλάνης δόγματα ἠκανθολόγησεν ἀπ᾽ ἄλλων εἰς ἓν συμφορήσας, καὶ ὑψηλὴν κακῶν στιβάδα ὑποστορέσας.

[1]) Ἐν τοῖς Κώδ. Α., R., Casaub. κεῖται «αὐτοῦ»· ὅθεν κατωτέρω ὁ Κώδ. Α. ἀντὶ τοῦ «ὄφεις γάρ εἰσι» ἔχει «ὄφις γάρ ἐστι».

[2]) Τὴν λέξιν «τὸν διδάσκαλον», οὐκ ἀπροσφυῶς κειμένην εὑρόντες ἐν τῷ Κώδ. Α., ἐτηρήσαμεν καὶ ἡμεῖς, ἐλλείπουσαν ἐκ τῶν ἐκδόσεων.

[3]) Οὕτω σαφεστέρα εὕρηται κειμένη ἡ περίοδος αὕτη ἐν τῷ ἀρχιεπισκοπικῷ Κώδηκι. Ἐν ταῖς ἄχρι τοῦδε ἐκδόσεσιν ἐλλείπει τὸ «ἴδωμεν»· ἐλλείπει καὶ ὁ «δὲ» μετὰ τὸ «εἴπωμεν».

[4]) Οὕτως ἐγράψαμεν ἐκ τοῦ Κώδ. Α. αἱ ἐκδόσεις ἅπασαι ἔχουσι «κατ᾽ ἀξίαν διηγήσεται».

βοήθειαν, ἅπερ εἴρηται μὲν καὶ τοῖς πρὸ τούτου, λεχθήσεται δὲ καὶ τοῖς νῦν, ἵνα οἱ μὲν ἀγνοοῦντες μάθωσιν, οἱ δὲ εἰδότες ὑπομνησθῶσιν. Οὐκ ἔστιν ἀπὸ χριστιανῶν ὁ Μάνης, μὴ γένοιτο[1])· οὐδὲ κατὰ τὸν Σίμωνα ἐξεβλήθη τῆς Ἐκκλησίας οὔτε αὐτὸς, οὔτε οἱ πρὸ αὐτοῦ διδάσκαλοι[2])· κλέπτης γάρ ἐστιν ἀλλοτρίων κακῶν, ἐξιδιοποιούμενος τὰ κακά· πῶς δὲ καὶ τίνα τρόπον, ἀκουστέον[3]).

---

[1]) Τοῦτο βεβαιοῖ καὶ Ἐπιφάνιος ἱστορῶν, ὅτι ἀκούσας ὁ Μάνης περὶ χριστιανῶν καὶ χριστιανικῶν βιβλίων, τρεῖς ἐκ τῶν μαθητῶν αὐτοῦ ἐκλεξάμενος, καὶ χρυσίον δοὺς, ἀπέστειλεν ἵνα ἀγοράσωσι τὰ βιβλία ταῦτα· «οἱ δὲ ἀπελθόντες ὠνήσαντο· οὐ γὰρ ἀνεβάλλοντο· παλινδρομήσαντες δὲ, ὡς οὐ καταλαμβάνουσιν αὐτὸν οὐκέτι ἐν ἐλευθέρῳ ἀέρι, ἀλλὰ ἐν τῷ δεσμωτηρίῳ, κἀκεῖσε εἰσελθόντες, ἐπεδείκνυον αὐτῷ τὰς βίβλους· ὁ δὲ λαβὼν καὶ ἀνερευνήσας, ἐῤῥαδιούργησε, προσπλέξας τῇ ἀληθείᾳ τὸ ἴδιον ψεῦδος» (Τόμ. Α΄. σελ. 622.).

[2]) Ἐν τοῖς ἐκδεδομένοις φέρεται «οἱ διδάσκοντες»· ἀλλ' ἡμεῖς προειλόμεθα τὴν γραφὴν «διδάσκαλοι» ὡς αὐθεντικωτέραν, ἣν ἔχουσιν οἱ Κώδηκες Α., Roe, Casaub. Coisl. Ottob. καὶ ἄλλοι.

[3]) Ὁ Κώδ. Α. ἔχει «ἀκούσατε». —Ἐντεῦθεν ἄρχεται ὁ Πατὴρ τῆς διηγήσεως· ἀλλὰ πρὶν ἢ εἰσέλθωμεν εἰς τὴν ἱστορίαν τοῦ Μάνεντος καὶ τῆς κατ' αὐτὸν αἱρέσεως, καλὸν κρίνομεν ἵνα ὑποστρώσωμεν ἐνταῦθα ὀλίγα τινὰ εἰσαγωγικὰ, τὸν ἀναγνώστην διαφωτίζοντα. Καθόλου μὲν οὖν εἰπεῖν, δύο ἔχομεν πηγὰς, πολὺ ἀλλήλων διαφερούσας, ἀφ' ὧν ἀρυόμεθα καὶ μανθάνομεν τὴν ἱστορίαν τοῦ Μάνεντος· ἡ πρώτη ἐστὶν ἀσιατικὴ, ἡ δευτέρα ἑλληνική. Καὶ τὴν μὲν πρώτην πηγὴν συνιστῶσι συγγραφεῖς Πέρσαι, Σύροι καὶ Ἄραβες ἀπὸ τῶν ἐγχωρίων μνημείων καὶ παραδόσεων, καὶ ἐν τῇ ἐγχωρίῳ γλώσσῃ τὰ κατὰ τὸν Μάνεντα ἱστορήσαντες. Τὴν δὲ δευτέραν Ἑλληνικὴν πηγὴν ἀποτελεῖ ἡ βίβλος τοῦ Ἀρχελάου, ἐν ᾗ ἱστόρηνται ἅπαντα τὰ τοῦ Μάνεντος, ἡ πρώτη δηλαδὴ ἔκφυσις καὶ ἀνάδοσις τῆς αἱρέσεως, ἡ μετὰ τοῦ ἐπισκόπου Ἀρχελάου συνδιάλεξις, καὶ ἡ ἐκ τῆς συνδιαλέξεως ταύτης προκύψασα ἧττα καὶ καταισχύνη τοῦ αἱρεσιάρχου, ἡ τροπὴ καὶ φυγὴ αὐτοῦ, καὶ τέλος ὁ ἐλεεινὸς θάνατος. Τὰ πρακτικὰ ταῦτα τῆς μετὰ τοῦ Μάνεντος συνδιαλέξεως τοῦ Ἀρχελάου (acta disputationis Archelaï cum Manete) ἐγράφησαν μὲν συριστὶ ὑπ' αὐτοῦ τοῦ Ἀρχελάου, μεθηρμηνεύθησαν δ' εὐθὺς ἔπειτα εἰς τὴν ἑλληνίδα ὑπὸ Ἡγεμονίου τινὸς (βλ. Φώτ. βιβλ. 85), διεσώθησαν δὲ καὶ ἄχρις ἡμῶν, ἀλλὰ τὸ πλεῖστον μέρος ἐν ἀρχαίᾳ λατινικῇ μεταφράσει, καί,

§. ΚΒ'. Σκυθιανός τις ἦν ἐν Αἰγύπτῳ, Σαρακηνὸς τὸ γένος, οὐδὲν κοινὸν οὔτε πρὸς Ἰουδαϊσμὸν, οὔτε πρὸς Χριστιανισμὸν κεκτημένος[1]).

ὡς φαίνεται, ἀτελῆ. Ὅλη δὲ αὕτη ἡ βίβλος ἐξεδόθη ὑπὸ τοῦ Ζακαγνίου (Zacagnius) ἐν Ῥώμῃ τῷ 1698. (Τόμ. Ι'. Collectan. monument. veterum Ecclesiarum Graece et Latine). Ἀπὸ ταύτης τῆς ἑλληνικῆς πηγῆς ἤντλησαν, ὅσα δὴ καὶ ἱστόρησαν, καὶ Κύριλλος Ἱεροσολύμων, καὶ Ἐπιφάνιος, καὶ Θεοδώρητος, καὶ Σωκράτης, καὶ Φώτιος, καὶ εἴ τινες ἄλλοι. Ἐὰν δὲ συγκρίνωμεν τὰς δύο ταύτας πηγὰς, καὶ ἐξετάσωμεν ὁποτέρα τῆς ἄλλης προέχει, εὑρήσομεν ὅτι τὰ μὲν μνημεῖα τῆς ἀσιατικῆς πηγῆς, εἰ καὶ πολλὴν κέκτηνται ἀξίαν διὰ τὸ ἰθαγενὲς καὶ ἐγχώριον, οὐκ ἀναβαίνουσιν ὅμως ἐπέκεινα τοῦ δεκάτου αἰῶνος· ἡ δὲ βίβλος τοῦ Ἀρχελάου, εἰ καὶ μὴ πρόκειται συριστὶ τὴν σήμερον, ὅπως αὕτη ἐγράφη, μεγίστην ὅμως ἔχει ἀξίαν διὰ τὴν ἀρχαιότητα, ὡς ἐν αὐτῷ τῷ τρίτῳ αἰῶνι γραφεῖσα, καὶ σύγχρονα πράγματα ἱστοροῦσα· πολὺ δὲ ἐπισημοτέρα καθίσταται διὰ τοῦτο ὅτι ἐχρησίμευσεν ὡς ὁδηγὸς τηλικούτων πατέρων καὶ συγγραφέων, οἵων ἐμνήσθημεν ἀνωτέρω. Ἀλλ' ὡς εἴρηται, τὰ πρακτικὰ ταῦτα τοῦ Ἀρχελάου, ὅπως τὴν σήμερον σώζονται, φαίνονται καὶ ἠκρωτηριασμένα καὶ ἀτελῆ· ἐλλείπουσι γὰρ ἐξ αὐτῶν ἄλλα τε καὶ ἐκεῖνα, ὅσα ὁ ἡμέτερος Κύριλλος ἀναφέρει ἐν τῷ Διαλόγῳ τῷ μεταξὺ Ἀρχελάου καὶ Μάνεντος.

[1]) Τοῦτ' αὐτὸ βεβαιοῖ καὶ Φώτιος, γράφων· «Οὔτε χριστιανοῖς συμπεριφερόμενος, καὶ τὰ Ἰουδαίων οὐ προσιέμενος». Ἀνάγνωθι δι' ὅλην ταύτην τὴν ἱστορίαν τὸ κατὰ Μανιχαίων τετράβιβλον σύγγραμμα τοῦ ἱεροῦ Φωτίου, ἑλληνιστὶ καὶ λατινιστὶ ἐν Ἀμβούργῳ ἐκδεδομένον τῷ 1722. Σημείωσαι, ὅτι τὸν Σκυθιανὸν τοῦτον ὑποληπτέον ὡς τὸν πρῶτον ἐπινοητὴν καὶ ὑποβολέα τῆς τῶν Μανιχαίων κακοφροσύνης· τοῦτο μαρτυροῦσιν οὐ μόνον ὁ Ἀρχέλαος ἐν τῷ εἰρημένῳ βιβλίῳ τῆς συνδιαλέξεως, ἀλλὰ καὶ ὁ Ἐπιφάνιος (Τόμ. Β'. σελ. 619), καὶ ὁ Σωκράτης (Ἐκκλ. Ἱστ. ά. 22). Αὐτοὶ δὲ οὗτοι οἱ συγγραφεῖς βεβαιοῦσιν, ὅτι ὁ Σκυθιανὸς ἔλαβε τὰς ἀφορμὰς τῆς αἱρέσεως ἐκ τοῦ Πυθαγόρου· «λαβὼν παρὰ Πυθαγόρου τὰς προφάσεις» λέγει ὁ Ἐπιφάνιος (ἔνθ. ἀνωτ.)· φησὶ δὲ καὶ ὁ Σωκράτης (ἔνθ. ἀνωτ.)· «Τὴν ἐμπεδοκλέους καὶ Πυθαγόρου δόξαν εἰς τὸν χριστιανισμὸν παρήγαγε, δύο φύσεις εἰπὼν, ἀγαθήν τε καὶ πονηράν». Τὰ αὐτὰ λέγει καὶ ὁ Ἀρχέλαος. Ἀλλ' εἰρήσθω, ὅτι ἡ γνώμη αὕτη οὔτε ἀκριβής ἐστιν, οὔτε κατὰ πάντα ὀρθή. Ὅτι μὲν γὰρ ἴχνη δυάδος τινὸς καὶ διθεΐας εὕρηνται οὐ παρὰ τῷ Πυθαγόρᾳ μόνον, ἀλλὰ καὶ παρ' ἄλλοις ἕλλησι φιλοσόφοις, τοῦτό ἐστιν ἀληθὲς, καὶ πάλαι προαποδεδειγμένον· ἀλλ' ἡ δόξα καὶ πλάνη αὕτη τῆς ἀρχικῆς δυάδος ἦν πολὺ πρὸ

Οὗτος τὴν Ἀλεξάνδρειαν οἰκήσας, καὶ τὸν ἀριστοτελικὸν μιμησάμενος βίον, τέσσαρας βίβλους συνέταξε [1]· μίαν καλουμένην Εὐαγγέλιον, οὐ Χριστοῦ πράξεις περιέχουσαν, ἀλλ' ἁπλῶς μόνον τὴν προσηγορίαν· καὶ μίαν ἄλλην καλουμένην Κεφαλαίων [2]· καὶ μίαν τρίτην Μυστηρίων· καὶ τετάρτην, ἣν νῦν περιφέρουσι, Θησαυρόν [3]. Μαθη-

---

τοῦ Πυθαγόρου καθ' ἅπασαν σχεδὸν τὴν Ἀσίαν διεσπαρμένη, καὶ ἐν τῇ ἀρχαίᾳ περσικῇ θρησκείᾳ ὡς δόγμα οὐσιῶδες τεθεμελιωμένη. Ἀκριβέστερον ἄρα δυνάμεθα εἰπεῖν, ὅτι ὁ Σκυθιανὸς οὐ παρὰ Πυθαγόρου μόνον τὰς προφάσεις ἔλαβε τῆς κακοδοξίας, ἀλλὰ καὶ ἐκ τῆς ἀσιανῆς φιλοσοφίας, καὶ μᾶλλον ἐκ ταύτης ἢ ἐξ ἐκείνου τῆς πλάνης καὶ δυσσεβείας τὸ δηλητήριον εἰσεδέξατο, καὶ ἐν Ἀσίᾳ ἀνατραφεὶς καὶ πολλάκις πρὸς τὴν τῶν Ἰνδῶν χώραν ἐμπορείας χάριν τὴν πορείαν στειλάμενος, καθά φησιν Ἐπιφάνιος (Τόμ. Β'. σελ. 618.).

[1]) Τὸ αὐτὸ βεβαιοῖ καὶ Ἐπιφάνιος (Τόμ. Α'. σελ. 619.)· «Ἐν τούτοις γὰρ ὁ προειρημένος Σκυθιανὸς, τυφλωθεὶς τὴν διάνοιαν, λαβὼν παρὰ Πυθαγόρου τὰς προφάσεις, οὕτως ἐφρόνησε, καὶ βίβλους τέσσαρας ἑαυτῷ πλάσσεται, τῇ μιᾷ ὄνομα θέμενος, Μυστηρίων, τῇ δὲ δευτέρᾳ, Κεφαλαίων, τῇ τρίτῃ, Εὐαγγέλιον, τῇ τετάρτῃ, Θησαυρῶν». Ἀλλὰ παρὰ τῷ Σουΐδᾳ, κατὰ τὸν Πεταΰϊον (Anim. (adves. ad Epiph.), συγγραφεὺς τῶν τεσσάρων βίβλων λέγεται ὁ Τερέβινθος· τοῦτ' αὐτὸ λέγει καὶ Σωκράτης Ἐκκλ. Ἱστ. ά. 22.). Ἀλλ' ἡ ἀπορία αὕτη λύεται ἐκ τοῦ Ἀρχελάου, ἱστοροῦντος, ὅτι ἔγραψε μὲν τὰς βίβλους ὁ Τερέβινθος, καθ' ὑπαγόρευσιν ὅμως τοῦ Σκυθιανοῦ. Τοῦτο αἰνιττόμενος φαίνεται καὶ Σωκράτης, γράψας· «Τὰ βιβλία, ἅπερ ἦν συνταξάμενες ἐκεῖνος (ὁ Τερέβινθος), ὑπὸ Σκυθιανῷ παιδευόμενος».

[2]) Ἀντὶ «Κεφαλαίων» παρὰ τῷ Φωτίῳ καὶ Πέτρῳ τῷ Σικελῷ ἀναγινώσκεται «Κεφάλαιον». Ἀλλ' ἅπαντες οἱ Κώδηκες, ὡς σημειοῖ καὶ Τουτέος, ἔχουσι «Κεφαλαίων». Οὕτως ἀνέγνω τὴν λέξιν καὶ Ἐπιφάνιος (αἱρ. 66. Τόμ. Α'. σελ. 616.), καὶ Σωκράτης (Ἐκκλ. Ἱστ. ά, 22.).

[3]) Ὁ Ἐπιφάνιος ἐκφέρει τὴν λέξιν πληθυντικῶς κατὰ γενικὴν πτῶσιν «Θησαυρῶν»· «Θησαυρῶν» ἔχουσι καὶ αἱ μέχρι τοῦ Τουτέου ἐκδόσεις· ἀλλὰ κατὰ τὸν Κοισλινιανὸν καὶ ἀρχιεπισκοπικὸν Κώδηκα ἡ λέξις κεῖται ἑνικῶς «Θησαυρόν»· «Θησαυρὸν» γράφει καὶ ὁ Ἀρχέλαος καὶ ὁ Σωκράτης, κατὰ τὴν ἔκδοσιν τοῦ Οὐαλεσίου, καὶ ὁ Φώτιος· «Thesaurum» ἑνικῶς λέγει καὶ ὁ Ἱερώνυμος (adv. Vigilantium n. 16. et in Isaïam cap. 64.) καὶ ὁ Αὐγουστῖνος συχνά· ἀλλὰ καὶ αὐτὸς ὁ Ἐπιφάνιος κατω-

τῆς δὲ ἦν τούτῳ[1]) Τερέβινθος ὀνόματι. Ἀλλὰ προαιρούμενον τὸν Σκυθιανὸν ἐλθεῖν εἰς τὴν Ἰουδαίαν καὶ λυμήνασθαι τὴν χώραν[2]), νόσῳ θανατώσας ὁ Κύριος, ἔπαυσε τὴν λοιμώδη κατάστασιν.

τέρω (σελ. 629) «Θησαυρὸν» ἔχει ἀντὶ «Θησαυρῶν». Ὀρθῶς ἄρα ποιήσας ὁ Τουτέος μετέβαλε τὴν ἄχρι τοῦδε ἐν ταῖς ἐκδόσεσι φερομένην γραφήν. Ὀρθῶς ὁμοίως ἐποίησε καὶ κατωτέρω, διορθώσας τὸ ἐν ταῖς ἐκδόσεσι «Τέρβινθος» εἰς τὸ «Τερέβινθος» ἐξ αὐθεντίας πολλῶν Κωδήκων καὶ συγγραφέων.

[1]) Αἱ ἐκδόσεις εἶχον «τούτου»· ἀλλὰ δοτικὴν ἔχουσιν οἱ Κώδ. A. R. C. καὶ Πέτρος ὁ Σικελός· ἀποβαίνει δὲ ὁ λόγος καὶ ἑλληνικώτερος ἅμα καὶ γλαφυρώτερος διὰ τῆς δοτικῆς.

[2]) Οὕτω πλήρη καὶ σαφῆ καὶ καλῶς συντεταγμένην εὕρομεν τὴν περίοδον ταύτην ἐν τῷ ἀρχιεπισκοπικῷ Κώδηκι, ἐν ᾧ αἱ ἐκδόσεις ἔχουσι ταύτην ἠκρωτηριασμένην καὶ ἀσαφῆ οὕτως· «Ἀλλὰ τὸν προειρημένον Σκυθιανὸν ἐλθεῖν εἰς τὴν Ἰουδαίαν, καὶ λυμήνασθαι τὴν χώραν, νόσῳ» κτλ. Ὁ Τουτέος διωρθώσατο τὸ χωρίον ἐκ Πέτρου τοῦ Σικελοῦ οὑτωσί· «ἀλλὰ τὸν προειρημένον Σκυθιανὸν ἐλθόντα εἰς τὴν Ἰουδαίαν καὶ λυμαινόμενον τὴν χώραν, νόσῳ» κτλ. Ἀλλὰ πρῶτον μὲν ἡ ἀρχαιότης τοῦ ἀρχιεπισκοπικοῦ Κώδηκος ἔχει μείζονα βαρύτητα ἢ Πέτρος ὁ Σικελός, παρ' ᾧ πολλάκις λίαν παρηλλαγμένον εὕρηται τὸ κείμενόν, καὶ προσθήκαις ἐπηυξημένον· εἶτα δὲ καὶ ἅπαντες οἱ γνωστοὶ Κώδηκες καὶ ἐκδόσεις ἔχουσιν ἀπαρέμφατα «ἐλθεῖν, λυμήνασθαι», οὐχὶ μετοχάς. Ἀλλὰ καὶ νόημα πολὺ διάφορον ἀναφαίνεται ἐκ τῆς ἡμετέρας γραφῆς καὶ ἐκείνης τοῦ Τουτέου. Κατὰ μὲν γὰρ τὴν ἡμετέραν ἔκδοσιν ὁ Σκυθιανὸς προείλετο μὲν ἵνα μεταβῇ εἰς τὴν Ἰουδαίαν καὶ τὴν τῆς αἱρέσεως λύμην ἐκεῖ διασπείρῃ, ἀλλὰ νόσῳ συσχεθεὶς προκατήρπαστο ὑπὸ τοῦ θανάτου, ἀφεὶς τὰ δόξαντα ἀνεκτέλεστα. Πρὸς τοῦτο τὸ νόημα συνᾴδει καὶ ὁ Ἀρχέλαος ἐν τῇ πολλάκις ῥηθείσῃ συνδιαλέξει, ἱστορῶν ὅτι προέθετο μὲν ὁ Σκυθιανὸς ἵνα ἀπέλθῃ εἰς Ἰουδαίαν, ἐτελεύτησε δ' ὅμως μικρὸν μετὰ τὸν σκοπὸν ἐκεῖνον. Ἀλλ' ἡ ἑτέρα γραφή, ἣν παρεδέξατο ὁ Τουτέος, λέγει ὅτι ὁ Σκυθιανὸς ἦλθεν ἀληθῶς εἰς τὴν Ἰουδαίαν, καὶ ἐλυμήνατο τὴν χώραν. Πρὸς δὲ τοῦτο τὸ νόημα συμφωνεῖ ἑτέρωθεν ὁ μακάριος Ἐπιφάνιος, γράφων ὅτι ὁ Σκυθιανὸς ἀνελθὼν εἰς Ἱεροσόλυμα «ἀντιβάλλειν ἤρξατο πρὸς τοὺς ἐκεῖσε πρεσβυτέρους». Καίτοι δέ, ὡς ὁρᾷς, οὐδὲ τοῦτο τὸ νόημά ἐστιν ἀνυποστήρικτον καὶ ἀπόβλητον, ἀλλ' ὅμως προειλόμεθα τὴν αὐθεντικὴν ἐκείνην γραφὴν ὡς γνησιωτέραν τε καὶ ἀσφαλεστέραν.

§. ΚΓ'. Ὁ δὲ τῆς κακίας μηθητὴς Τερέβινθος, κληρονόμος ὢν τοῦ χρυσοῦ καὶ τῶν βιβλίων καὶ τῆς αἱρέσεως, παραγενόμενος ἐν τῇ Παλαιστίνῃ, καὶ ἐν τῇ Ἰουδαίᾳ γνωριζόμενος καὶ καταγινωσκόμενος, ἔκρινεν εἰς τὴν Περσίδα μετελθεῖν· ἵνα δὲ μὴ ἐκ τῆς προσηγορίας κἀκεῖ γνωρίζηται, Βουδδᾶν μετωνόμασεν ἑαυτόν[1])· ἀλλ' εἶχεν ἐκεῖ καὶ τοὺς ἀνταγωνιστὰς τοὺς τοῦ Μίθρα[2])· καὶ πολλῶν λόγων κινουμένων καὶ διαπληκτισμῶν, ἠλέγχετο· καὶ πέρας, συνελαυνόμενος προσφεύγει τινὶ χήρᾳ· εἶτα ἐπὶ δώματος ἀνελθὼν, καὶ προσκαλεσάμενος τοὺς ἀερίους δαίμονας, οὓς οἱ Μανιχαῖοι μέχρι σήμερον ἐπὶ τῆς μυσαρᾶς αὐτῶν ἰσχάδος ἐπικαλοῦνται[3]), θεόπληκτος γενόμενος,

---

[1]) «Βουδδᾶν» γράφει καὶ ὁ Ἀρχέλαος καὶ ὁ Ἐπιφάνιος καὶ ὁ ἀρχιεπισκοπικὸς Κώδηξ· ὁ δὲ Σωκράτης ἔχει «Βούδδαν»· αἱ δὲ πρὸ τοῦ Τ. ἐκδόσεις «Βουδᾶν» καὶ οἱ Κώδ. Roe καὶ Casaub. «Βουδδᾶν»· ἄλλοι δὲ Κώδηκες ἄλλως γράφουσι τὸ ὄνομα τοῦτο· ἀλλ' ἡ γνησία γραφὴ φαίνεται ἡ ἐν τῷ κειμένῳ, ἣν ἀπεδέξατο καὶ ὁ Τουτέος, ὅστις καὶ τὸ ἐν ταῖς ἐκδόσεσιν ἁπλοῦν «ὠνόμασεν» μετέβαλεν εἰς τὸ «μετωνόμασεν» ἐξ αὐθεντίας τεσσάρων Κωδήκων.

[2]) Τοὺς ἀνταγωνιστὰς τούτους ὁ Ἐπιφάνιος καλεῖ «νεωκόρους καὶ ἱερεῖς τοῦ εἰδώλου»· ὀνομάζει δὲ αὐτοὺς Πάρκον καὶ Λάβδακον (Τόμ. Β'. σελ. 620.)· οὕτως ὀνομάζει αὐτοὺς καὶ Ἀρχέλαος ἐν τῇ βίβλῳ τῆς συνδιαλέξεως· «Parcus vero quidam propheta et Labdacus Mithræ filius, arguebat eum mendacii». Ὅτι δὲ Μίθρας ἦν ὁ παρὰ Πέρσαις καὶ Χαλδαίοις λατρευόμενος ἥλιος, τοῦτο μαρτυρεῖ καὶ Στράβων (ιέ, 3.)· «Τιμῶσι καὶ ἥλιον, ὃν καλοῦσι Μίθρην». Εἰς τούτου τὰ μυστήρια ὁ βουλόμενος μυηθῆναι, ὤφειλεν ἵνα ὑποστῇ πρῶτον δώδεκα εἰδῶν κολάσεις καὶ δοκιμασίας, πεῖναν δηλαδὴ, πῦρ, ψῦχος, κτλ. Ὅρα περὶ τούτων Γρηγόρ. Ναζιανζηνὸν (Λόγ. Δ'. καὶ Λόγ. ΛΘ'. καὶ τὰς εἰς τὸ χωρίον τοῦτο σημειώσεις τῶν ἐκδοτῶν).

[3]) Τὴν τελετὴν ταύτην τῆς ὄντως μυσαρᾶς ἰσχάδος δηλοῖ ὁ Κύριλλος σαφέστερον κατωτέρω ἐν τῷ §. 33. Ἐμβάπτοντες δηλαδὴ οἱ Μανιχαῖοι τὴν ἰσχάδα ἐν τῷ ἀνδρῴῳ σπέρματι καὶ ἐν τοῖς καταμηνίοις τῶν γυναικῶν αἵμασι, προσέφερον ταύτην ἀντὶ εὐχαριστίας τοῖς συμμύσταις! Τὴν βδελυρὰν καὶ ἀποτρόπαιον τελετὴν ταύτην ἀναφέρει καὶ Φώτιος, γράφων· «Ἐπειδὰν αὐτὴν τὴν μυσαρὰν ἰσχάδα τελοῦσι». Ταύτην τὴν exsecrabilem superstitionem ἐκτίθησι πλατύτερον ὁ Αὐγουστῖνος (de hæres.

καὶ καταβληθεὶς ἀπὸ τοῦ δώματος, ἐξέψυξε· καὶ οὕτως ἐξεκόπη τὸ θηρίον τὸ δεύτερον [1].

§. ΚΔ΄. Ἀλλ᾽ ἔμεινε τὰ ὑπομνηστικὰ τῆς ἀσεβείας βιβλία· καὶ κληρονόμος ἦν ἡ χήρα καὶ τῶν βιβλίων καὶ τῶν χρημάτων· μήτε δὲ συγγενέα, μήτε [2]) ἑτερόν τινα ἔχουσα, ἔκρινεν ἐκ τῶν χρημάτων ἀγοράσαι παῖδα Κούβρικον λεγόμενον [3])· καὶ τοῦτον εἰς υἱοθεσίαν λαβοῦσα, ἐπαίδευσε τοῖς Περσῶν μαθήμασιν ὡς υἱὸν, καὶ ὤξυνε κατὰ τῆς ἀνθρωπότητος κακὸν βέλος. Καὶ Κούβρικος ὁ κακὸς οἰκέτης [4]) εἰς μέσον φιλοσόφων ἤκμαζε· καὶ τελευτησάσης τῆς χήρας, ἐκληρονόμησε καὶ τὰ βιβλία καὶ τὰ χρήματα. Εἶτα, ἵνα μὴ τὸ τῆς δουλείας ὄνομα ἐπονείδιστον ᾖ, ἀντὶ Κουβρίκου Μάνην ἑαυτὸν ἐπωνόμασεν, ὅπερ κατὰ τὴν Περσῶν διάλεκτον τὴν ὁμιλίαν δηλοῖ· ἐπειδὴ γὰρ διαλεκτικὸς ἐδόκει τις [5]) εἶναι, Μάνην ἑαυτὸν ἐπωνόμασεν, οἱονεὶ ὁμιλητήν τινα ἄριστον [6]). Ἀλλ᾽ ἐκεῖνος μὲν εὐδοξίαν ἑαυτῷ κατὰ τὴν

---

cap. 45.). Φαίης δὲ, ὅτι οἱ Μανιχαῖοι παρέλαβον τὰς βδελυρίας ταύτας ἐκ τῶν Γνωστικῶν, ὧν τὰ ὅμοια πλήρη ἀκαθαρσίας μυστήρια ἐκτίθησιν ὁ Ἐπιφάνιος (Τόμ. Α΄. σελ. 58 καὶ σελ. 86.).

[1]) Ἐθήκαμεν τὸ ἄρθρον εἰς τὸ «δεύτερον», ὅπερ οὐκ οἶδ᾽ ὅπως ἐξέλιπεν ἐκ τῆς ἐκδόσεως τοῦ Τουτέου.

[2]) Ἐξωβελίσαμεν τὸν «δὲ», ἀκαταλλήλως κείμενον ἐν τοῖς ἐκδεδομένοις· οὐκ ἔχει τοῦτον οὔτε ὁ ἀρχιεπισκοπικὸς Κῶδηξ, οὔτε οἱ Κώδ. Roe καὶ Casaub.

[3]) Ἑπταέτη τὴν ἡλικίαν λέγει τὸν Κούβρικον ὁ Σωκράτης, ὅτε ἠγόρασεν αὐτὸν ἡ χήρα· «Παιδάριον ὠνήσατο, περὶ ἑπτὰ ἔτη τὴν ἡλικίαν, ὀνόματι Κούβρικον» (Ἐκκλ. Ἱστ. ά, 22).

[4]) Ὃν ἐνταῦθα ὁ Κύριλλος ὠνόμασε «κακὸν οἰκέτην» ἄλλοι ἐκάλεσαν «μαστιγίαν οἰκέτην»· «Φασὶ δὲ καὶ τὸν τῆς Μανιχαϊκῆς αἱρέσεως εὑρετὴν μαστιγίαν γενέσθαι, καὶ φιλοτιμίας ἔρωτι τὴν μυσαρὰν ἐκείνην συγγράψασθαι θρησκείαν»· Θεοδώρητος (ἐν τῷ Προλόγῳ εἰς τὸν Ἐρανιστήν).

[5]) Ἀντὶ «τις» οἱ Κώδ. A. R., C. ἔχουσι «τισίν».

[6]) Τοῦτο βεβαιοῖ καὶ Φώτιος, γράφων· «Δηλοῖ τοῦτο Περσίδι γλώττῃ τὸν οἷον ὁμιλητικὸν, καὶ πρὸς διάλεξιν δραστήριον». Κατὰ μὲν οὖν τὸν Κύριλλον καὶ τὸν Φώτιον τὸ «Μάνης», ἐκ τῆς Περσίδος γλώττης μεθερμηνευόμενον, σημαίνει «ὁμιλητήν»· κατὰ τὸν Ἐπιφάνιον ὅμως, οὐχὶ ἐκ τῆς περσικῆς, ἀλλ᾽ ἐκ τῆς βαβυλω-

Περσῶν γλῶσσαν ἐπραγματεύσατο· ἡ δὲ τοῦ Θεοῦ οἰκονομία καὶ ἄκοντα αὐτὸν ἑαυτοῦ κατήγορον ἐποίει γενέσθαι, ἵνα, ἐν Περσίδι νομίσας ἑαυτὸν τιμᾶν, παρ' Ἕλλησι μανίας ἐπώνυμον ἑαυτὸν καταγγείλῃ[1]).

§. ΚΕ'. Ἐτόλμα δὲ λέγειν ἑαυτὸν εἶναι τὸν Παράκλητον[2])· καὶ

νίας γλώττης ἐξελληνιζόμενον δηλοῖ «σκεῦος»· τοῦθ' ὅπερ ἐπικυροῖ καὶ Σκαλίγερος ἐν τῷ χρονικῷ τοῦ Εὐσεβίου (Not. pag. 241)· ἀλλὰ κοινή ἐςι γνώμη τῶν ἱστοριογράφων, ὅτι ὁ Μάνης ἦν Πέρσης, καὶ κατὰ τὸν Ἀρχέλαον οὐδεμίαν ἄλλην γλῶτταν ἐλάλει ἢ τὴν περσικήν, ἣν ὀνομάζει χαλδαϊκήν. Ὅθεν προτιμοτέρα φαίνεται ἡ γνώμη ἡ ἐκ τῆς περσίδος τὴν λέξιν μεθερμηνεύουσα. Ἐπειδὴ δὲ ἐν τῇ ἑλληνικῇ τὸ «Μάνης» τυγχάνει κακόσημον καὶ κακόφημον καὶ μανίας δηλοῦν ἐπώνυμον, οἱ μαθηταὶ αὐτοῦ ἀντὶ Μάνεντος ἐκάλουν αὐτὸν «Μανιχαῖον». Οἱ δὲ σοφώτεροι τούτων μάλα γελοίως τὸ ν διπλασιάζοντες, ὠνόμαζον Μαννιχαῖον, ὡς ἀπὸ τοῦ μάννα χεῖν! «quasi manna fundentem». August. de hæres. cap. 46). Οἵαν ἡδύτητα οὐρανόεσσαν ἐκ τοῦ διδασκάλου αὐτῶν ἐξεμύζων οἱ τῆς μανίας οὗτοι συμμύσται!

[1]) Οὕτως εἰς ἀόριστον χρόνον ἐθήκαμεν τὸ ῥῆμα ἐκ τοῦ Κώδ. Α. «καταγγείλῃ» ἔχει καὶ ὁ Κοισλινιανὸς Κώδηξ, ἐν ᾧ τὰ ἐκδεδομένα φέρουσι «καταγγέλλῃ».

[2]) Τοῦτο ἐπαναλαμβάνει ὁ Κύριλλος καὶ ἐν τῇ ΙΣΤ'. Κατηχ. §. 6. «Ὁ δὲ δυσσεβὴς Μάνης ἑαυτὸν εἶναι τὸν ὑπὸ Χριστοῦ πεμφθέντα Παράκλητον εἰπεῖν ἐτόλμησεν». Αὐτὸ τοῦτο βεβαιοῦσι καὶ ἅπαντες οἱ τὰ τοῦ Μάνεντος ἱστορήσαντες. Ἀλλὰ καὶ ἐν τῇ συνδιαλέξει τοῦ Ἀρχελάου παῤῥησίᾳ ὁ Μάνης ἑαυτὸν Παράκλητον ὀνομάζει· «Sum quidem ego Paraclitus, qui ab Jesu mitti prædictus sum-et-qui ante me missus est Paulus, ex parte scire et ex parte prophetare se dixit, mihi reservans quod perfectum est». Ἀναμφίβολον ἄρα ὅτι ὁ Μάνης Πνεῦμα ἅγιον ἑαυτὸν ἀπεκάλει, ὡς καὶ αὐτὸς ὁ Κύριλλος κατωτέρω λέγει· «Ἐβλασφήμησεν οὖν, πνεῦμα ἅγιον ἑαυτὸν εἰπών»· πρβλ. καὶ Θεοδώρητον (αἱρ. κακομ. ά, 26)· «Manichæum ipsum dicunt esse Paracletum» Ἱερώνυμος (contra Vigilantium). Ἀλλ' οἱ Μανιχαῖοι, κατὰ τὸν Αὐγουστῖνον, ἔλεγον οὐχ ὅτι αὐτὸς ἦν τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ὅτι δι' αὐτοῦ κατέρχεται τοῖς ἀνθρώποις· καὶ ὅτι οὕτω δαψιλῶς παρέμεινεν ἐν τῷ Μάνεντι τὸ Πνεῦμα τὸ ἅγιον, ὥστε οὐδὲν ἄλλο ἦν καὶ αὐτὸς ὁ Μάνης ἢ Πνεῦμα ἅγιον, ἀνθρωπίνῃ φωνῇ καὶ γλώττῃ καθοδηγοῦν τοὺς μαθητὰς εἰς πᾶσαν τὴν ἀ-

γέγραπται· «Ὃς δ' ἂν βλασφημήσῃ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, οὐκ ἔχει ἄφεσιν». Ἐβλασφήμησεν οὖν, Πνεῦμα ἅγιον ἑαυτὸν εἰπών. Ἐκείνοις ὁ κοινωνῶν, βλεπέτω μετὰ τίνων ἑαυτὸν ἐντάσσει. Ἐσάλευσεν ὁ οἰκέτης τὴν οἰκουμένην, ἐπειδὴ «διὰ τριῶν σείεται ἡ γῆ· καὶ τὸ τέταρτον οὐ δύναται φέρειν, ἐὰν οἰκέτης βασιλεύσῃ». Καὶ μέσος ἐλθών, λοιπὸν τὰ ὑπὲρ ἄνθρωπον ἐπηγγέλλετο. Ἐνόσει τοῦ βασιλέως Περσῶν ὁ υἱός[1]), καὶ ἰατρῶν δαψίλεια παρῆν· ἀλλ' ὁ Μάνης ἐπηγγέλλετο διὰ προσευχῆς ὡσανεὶ εὐσεβὴς τὴν ἴασιν[2]) κατορθώσειν[3])· ἀπέστησαν οἱ ἰατροί, συναπέστη τοῦ παιδὸς ἡ ζωή· ἠλέγχθη ἡ ἀσέβεια τοῦ ἀνδρός· καὶ δέσμιος ἦν ὁ δὴ φιλόσοφος εἰς φυλακήν, οὐ διὰ τὸ περὶ ἀληθείας ἐλέγξαι τὸν βασιλέα, βληθείς· οὐ διὰ τὸ καταλῦσαι τὰ εἴδωλα, ἀλλὰ διὰ τὸ ἐπαγγείλασθαι σώζειν καὶ ψεύσασθαι· μᾶλλον δέ, εἰ δεῖ τἀληθὲς εἰπεῖν, διὰ τὸ φονεῦσαι· τὸν γὰρ δυνάμενον διὰ τῆς ἰατρικῆς ἐπιμελείας σωθῆναι, οὗτος τοὺς ἰατροὺς ἀποστήσας ἐφόνευσε, τῇ ἀμελείᾳ θανατώσας.

§. ΚΣΤ'. Ἐμοῦ δὲ λέγοντος τὰ περὶ αὐτοῦ πάμπολλα κακά, μέμνησο πρῶτον τὴν βλασφημίαν[4])· δεύτερον τὴν δουλείαν· οὐχ ὅτι αἰσχύνη ἡ δουλεία, ἀλλ' ὅτι τό, δοῦλον ὄντα, ἐλευθερίαν πλάττεσθαι, κακόν· τρίτον, τὸ ψεῦδος τῆς ἐπαγγελίας· καὶ τέταρτον, τοῦ παι-

---

λήθειαν· Spiritum sanctum in Manichæo ita mansisse, ut non aliud fuerit Manichæus ipse, quam Spiritus, qui per ministerium corporeæ vocis et linguæ discipulos suos in omnem induceret veritatem». Αὐγουστῖνος (de util. credendi cap. 7.).

[1]) Ὁ Πέρσης οὗτος βασιλεὺς ἦν, κατὰ τὸν Ἀρχέλαον, Βαράνης ὁ Β', ἀναβὰς τὸν θρόνον τῷ 276. Ἐκ χρονολογικῆς τινος δυσχερείας στενοχωρούμενος ὁ Τιλλεμόντιος ὑπέθετο βασιλέα τὸν Σαπώρην· ἀλλ' ὀρθῶς παρετήρησεν ὁ Τουτέος, ὅτι συγχρόνου συγγραφέως ἱστόρημα, οἷος ἦν ὁ Ἀρχέλαος, οὐ καταδικάζεται εὐχερῶς διὰ μῆνάς τινας τυχὸν ἢ καὶ ἔτος.

[2]) Τὴν λέξιν «ἴασιν» προσεθήκαμεν ἐκ τῶν Κωδ. R., C. σαφεστέραν ἀποτελοῦσιν τὴν φράσιν.

[3]) Οὐ προσευχαῖς μόνον ἐχρήσατο ὁ Μάνης, ἀλλὰ «καί τινα εἴδη φαρμακευτικῆς» τῷ νοσηλευομένῳ παιδὶ προσήνεγκε, κατὰ τὸν Ἐπιφάνιον (σελ. 621.).

[4]) Ἐν τῷ Κώδ. Α. μετὰ τὸ «βλασφημίαν κεῖται «αὐτοῦ».

δος τὸν φόνον· καὶ πέμπτον, τὴν αἰσχύνην τῆς φυλακῆς. Καὶ οὐκ ἦν γε αἰσχύνη τῆς φυλακῆς μόνον, ἀλλὰ καὶ ἡ ἐκ τῆς φυλακῆς φυγή· ὁ γὰρ λέγων ἑαυτὸν Παράκλητον καὶ τῆς ἀληθείας ἀγωνιστὴν, ἔφευγεν· οὐκ ἦν διάδοχος Ἰησοῦ, τοῦ ἑτοίμως ἐρχομένου εἰς τὸν σταυρὸν, ἀλλ᾿ οὗτος ἐναντίος ἦν, φυγάς. Εἶτα ὁ βασιλεὺς Περσῶν ἐκέλευσεν ἀπαχθῆναι τοὺς δεσμοφύλακας [1]). Αἴτιος ὁ Μάνης δι᾿ ὑπερηφανίαν θανάτου τῷ παιδὶ, καὶ αἴτιος θανάτου τῶν δεσμοφυλάκων διὰ τὴν φυγήν. Ὁ οὖν παραίτιος θανάτου, οὗτος ἄρα προσκυνεῖσθαι ὀφείλει; Οὐκ ἔδει μιμήσασθαι Ἰησοῦν, καὶ εἰπεῖν· «Εἰ ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπάγειν»; Οὐκ ἔδει κατὰ τὸν Ἰωνᾶν εἰπεῖν· «Ἄρατέ με καὶ βάλετε εἰς τὴν θάλασσαν· δι᾿ ἐμὲ γὰρ ὁ κλύδων οὗτος»;

§. ΚΖ΄. Φεύγει ἐκ τῆς φυλακῆς, καὶ ἔρχεται εἰς τὴν Μεσοποταμίαν [2])· ἀλλ᾿ ἀπαντᾷ αὐτῷ ὅπλον δικαιοσύνης Ἀρχέλαος ἐπίσκοπος [3]).

---

[1]) Καὶ ὁ Ἀρχέλαος μαρτυρεῖ, καὶ ἐκ τοῦ Ἀρχελάου ὁ Ἐπιφάνιος ἱστορεῖ, ὅτι διὰ πολλοῦ ἀργυρίου τοῖς δεσμοφύλαξι δοθέντος ἐμηχανήσατο τὴν φυγὴν ὁ Μάνης· «Ἄργυρον προσλιπαρήσας τὸν ἐπὶ τοῦ δεσμωτηρίου δίδωσι πολὺν, καὶ φυγὰς ἀπαλλάττεται» (σελ. 622). Καὶ ὁ μὲν Ἀρχέλαος καὶ Ἐπιφάνιος περὶ ἑνὸς λαλοῦσι δεσμοφύλακος, ἴσως τοῦ πρώτου καὶ ἀρχιδεσμοφύλακος, περὶ πολλῶν δὲ ὁ Κύριλλος καὶ ὁ Φώτιος. Ὅτι δὲ ἅπαντες οὗτοι οἱ δεσμοφύλακες τὴν τοῦ θανάτου ὑπέστησαν τιμωρίαν, μαρτυρεῖ καὶ Φώτιος, λέγων· «Τῆς κεφαλῆς ἐζημιώθησαν ἅπαντες».

[2]) «Διαδρὰς ἐπὶ τὴν Μεσοποταμίαν διασώζεται» γράφει καὶ ὁ Σωκράτης (ά, 22). Τὸ αὐτὸ λέγει καὶ Φώτιος ἐν τῇ ά. βίβλῳ κατὰ Μανιχαίων, καὶ Θεοδώρητος (αἱρετ. κακομυθ. ά, 26). Ὁ δὲ Ἀρχέλαος καὶ ἐξ αὐτοῦ ὁ Ἐπιφάνιος προσδιορίζουσιν ἀκριβέστερον καὶ τὸ μέρος τῆς Μεσοποταμίας, ἔνθα διέτριβε· τοῦτο δὲ ἦν τὸ τοῦ Ἀραβίωνος φρούριον. Ἐπιφάν. (σελ. 624).

[3]) Διαφόρως εὕρηται γραφομένη ἡ ἐν τῇ Μεσοποταμίᾳ αὕτη πόλις, ἧς ἐπίσκοπος ἦν ὁ Ἀρχέλαος· λέγεται ἐπίσκοπος Κασχάρων παρὰ τῷ Σωκράτει (ά, 22)· Κασχάρης παρὰ τῷ Ἐπιφανίῳ (σελ. 627)· Κασχάρων παρὰ τῷ Φωτίῳ· (κατὰ Μανιχ. βιβλ. ά). Ἔστι δὲ αὐτὴ ἐκείνη ἡ πόλις, ἥτις ἐν τῇ ἁγίᾳ Γραφῇ (Γεν. ιά, 31. Πρᾶξ. Ζ΄. 2.) καλεῖται Χαῤῥάν· κατὰ δὲ τὸν Πτολεμαῖον (έ, 18) καὶ Στράβωνα (ις΄. 1.) καὶ Στέφανον τὸν Βυζάντιον Κάῤῥαι ἢ Καῤῥαί. Κατέ-

Καὶ ἐπὶ φιλοσόφων κριτῶν ἐλέγξας, ἀκροατήριον ἑλληνικὸν συστησάμενος, ἵνα μὴ χριστιανῶν κρινόντων δοκῶσιν οἱ κριταὶ χαρίζεσθαι[1]), Λέγε, φησὶν, ὁ Ἀρχέλαος πρὸς τὸν Μάνην, ὃ κηρύσσεις· ὁ δὲ ὡς τάφον ἀνεῳγμένον ἔχων τὸ στόμα, ἀπὸ βλασφημίας πρῶτον τοῦ ποιητοῦ τῶν ἁπάντων ἤρξατο φάσκων· ὁ τῆς Παλαιᾶς Θεὸς κακῶν ἐστιν εὑρετὴς, λέγων περὶ ἑαυτοῦ· «ἐγὼ πῦρ καταλίσκον»· ὁ δὲ σοφὸς Ἀρχέλαος ὑπεξέλυε τὴν βλασφημίαν, εἰπών· εἰ ὁ τῆς Παλαιᾶς Θεὸς, κατὰ τὸν σὸν λόγον, πῦρ ἑαυτὸν λέγει, τίνος υἱός ἐστιν ὁ λέγων· «Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν»; Εἰ μέμφῃ τὸν λέγοντα· «Κύριος θανατοῖ καὶ ζωογονεῖ», διατί τιμᾷς Πέτρον, τὴν Ταβιθὰν μὲν ἐγείραντα, τὴν δὲ Σαπφείραν θανατώσαντα; εἰ δὲ καὶ μέμφῃ ὅτι πῦρ[2]) ἡτοίμασε, διατί οὐ μέμφῃ τὸν λέγοντα· «Πορεύεσθε ἀπ' ἐμοῦ εἰς τὸ πῦρ τὸ αἰώνιον»; Εἰ μέμφῃ τὸν λέγοντα· «Ἐγὼ Θεὸς ποιῶν[3]) εἰρήνην, καὶ κτίζων κακὰ», ἐξήγησαι, πῶς λέγει Ἰη-

---

στη δ' ἐπίσημος ἡ πόλις αὐτὴ καὶ ἐν τῇ Ῥωμαϊκῇ ἱστορίᾳ διὰ τὸν ἐν αὐτῇ θάνατον τοῦ Κράσσου τῷ 53 π. χ. Ὁ δὲ Ἀρχέλαος ἦν, κατὰ τὸν Φώτιον, «ἀνὴρ ἱερὸς, καὶ περὶ λόγους τούς τε θείους καὶ τοὺς ἀνθρωπίνους περιδέξιος». (κατὰ Μανιχ. βιβλ, ά.). Λόγιον καὶ πολυποίκιλον τὴν γνῶσιν καὶ τῆς πίστεως ζηλωτὴν λέγει τὸν ἄνδρα καὶ Ἐπιφάνιος (σελ. 625.). Σοφὸν ὀνομάζει τὸν Ἀρχέλαον καὶ ὁ Κύριλλος κατωτέρω.

[1]) Τοῦτ' αὐτὸ λέγει καὶ Φώτιος· «Ἑλληνικὸν ἀθροισάμενος ἀκροατήριον (ὁ Ἀρχέλαος), ἵνα μὴ δόξῃ, χριστιανῶν κρινόντων, φιλοτιμίᾳ λαμβάνειν τὰ νικητήρια ἡ ἀλήθεια, πρὸς τὸν τῆς μανίας ἐπώνυμον τὸν τῆς εὐσεβείας ἀνακινήσας λόγον κατήσχυνε, καὶ διήλεγξε τὸν τρισαλιτήριον» (κατὰ Μανιχ. βιβλ. ά.). Ὁ δὲ Ἐπιφάνιος καταλέγει καὶ τὰ ὀνόματα καὶ τὰ ἐπαγγέλματα τῶν παρακαθεσθέντων τούτων κριτῶν· «Εὐθὺς παρέρχονται εἰς συζήτησιν δημοσίᾳ ἐν αὐτῇ τῇ Κασχάρῃ, πρότερον εἰς τὴν αὐτὴν ἀντιβολὴν τοῦ ζητήματος αἱρησάμενοι ὁμοῦ κριτὰς, Μάρσιπόν τινα ὀνόματι, καὶ Κλαύδιον καὶ Αἰγιαλέα, καὶ Κλεόβουλον, τὸν μὲν τῶν ἐκτὸς λόγων φιλόσοφον, τὸν δὲ ἰατροσοφιστὴν, τὸν δὲ φύσει γραμματικὸν, καὶ τὸν ἄλλον σοφιστήν».

[2]) Οἱ Κώδ. A., R., C. ἔχουσι «θάνατον».

[3]) Ἐν τοῖς Κώδ. R. C. κεῖνται ἐνάρθως αἱ λέξεις «ἐγὼ ὁ Θεὸς ὁ ποιῶν». Τὸ ἱερὸν τῆς Γραφῆς κείμενον ἔχει οὕτως· «ἐγὼ ὁ κατασκευάσας φῶς, καὶ ποιήσας σκότος, ὁ ποιῶν

σοῦς· «Οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν[1]), ἀλλὰ μάχαιραν». Ἀμφοτέρων τὰ ἴσα λεγόντων, δυοῖν θάτερον· ἢ ἀμφότεροι καλοὶ διὰ τὴν ὁμολογίαν, ἤ, εἰ ἀνέγκλητος Ἰησοῦς ταῦτα λέγων, διατί ψέγεις τὸν τὰ ὅμοια ἐν τῇ Παλαιᾷ λέγοντα;

§. ΚΗ΄. Εἶτα ὁ Μάνης πρὸς τοῦτον λέγει· Καὶ ποῖος θεὸς τυφλοῖ; Παῦλος γάρ ἐστιν ὁ λέγων· «Ἐν οἷς ὁ Θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων, εἰς τὸ μὴ αὐγάσαι[2]) τὸν φωτισμὸν τοῦ Εὐαγγελίου». Ὁ δὲ Ἀρχέλαος, καλῶς ὑποκρούσας, προανάγνωθι, φησὶν, ὀλίγον· «Εἰ δὲ καὶ ἔστι κεκαλυμμένον[3]) τὸ Εὐαγγέλιον ἡμῶν, ἐν τοῖς ἀπολλυμένοις ἐστὶ κεκαλυμμένον». Ὁρᾷς ὅτι ἐν τοῖς ἀπολλυμένοις κεκάλυπται; οὐ δεῖ γὰρ διδόναι τὰ ἅγια τοῖς κυσίν. Εἶτα ἄρα μόνος ὁ τῆς Παλαιᾶς Θεὸς ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων; Ἰησοῦς δὲ αὐτὸς οὐκ εἴρηκε· «Διὰ τοῦτο αὐτοῖς ἐν παραβολαῖς λαλῶ, ἵνα βλέποντες μὴ βλέπωσι»; μὴ μισῶν αὐτοὺς ἐβούλετο μὴ βλέπειν; ἢ διὰ τὸ ἀνάξιον, ἐπειδὴ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν; ὅπου γὰρ αὐτοπροαίρετος πονηρία, ἐκεῖ καὶ ἀποχὴ τῆς χάριτος[4])· «Τῷ γὰρ ἔχοντι δοθήσεται, ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσεται»[5]).

εἰρήνην καὶ κτίζων κακά· ἐγὼ Κύριος ὁ Θεὸς, ὁ ποιῶν πάντα ταῦτα».

[1]) Τὸ «ἐπὶ τὴν γῆν» προσεθήκαμεν ἐκ τῶν Κωδ. A., R., C. κεῖται τοῦτο καὶ ἐν τῷ ἱερῷ τοῦ Ματθαίου κειμένῳ, οὐχὶ ὅμως ἐν ταύτῃ τῇ ῥήσει, ἀλλ' ἐν τῇ ἀμέσως προηγουμένῃ· ἐλλείπει δὲ ἐν τοῖς ἐκδεδομένοις.

[2]) «Αὐγάσαι» ἐθήκαμεν ἐκ τῶν Κωδ. A., Ottob. καὶ τοῦ Σικελοῦ· «αὐγάσαι» ἔχει καὶ τὸ κείμενον τῆς Γραφῆς· αἱ δὲ ἐκδόσεις «διαυγάσαι».

[3]) Οὕτως εὕρηται ἡ συνθήκη τῶν λέξεων ἐν τοῖς Κώδ. A., Coisl. καὶ Ottob. καὶ ἐν τῷ Σικελῷ· οὕτω κεῖται καὶ ἐν τῷ ἱερῷ κειμένῳ· αἱ δὲ ἐκδόσεις «εἰ δὲ κεκαλυμμένον ἐστί».

[4]) Παραπλήσια λέγει καὶ ὁ Οἰκουμένιος ἐν τῇ ἑρμηνείᾳ τοῦ ῥητοῦ τούτου· «Ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων· οὐ τοῦτο αὐτὸς ποιῶν, ἄπαγε! ἀλλὰ γενέσθαι συγχωρήσας διὰ τὸ αὐτεξούσιον, ὡς καὶ ἀλλαχοῦ φησι· «Παρέδωκεν αὐτοὺς εἰς πάθη ἀτιμίας» τὸ συνεχώρησε, λέγων· ἐπειδὴ γὰρ ἀπεφοίτησαν τοῦ Χριστοῦ, εἴασεν αὐτοὺς, ἐγκατέλιπε· βουλομένων γὰρ καὶ ἀναγκαζομένων ἡ σωτηρία».

[5]) Τὸ ἱερὸν κείμενον τοῦ Ματθαίου ἔχει οὕτω· «Τῷ γὰρ ἔχοντι παντὶ δο-

§. ΚΘ΄. Εἰ δὲ, δεῖ καὶ ὥς τινες ἐξηγοῦνται τοῦτο, εἰπεῖν, οὐ φαῦλον τὸ ῥῆμα [1]· εἰ καὶ ἐτύφλωσε τῶν ἀπίστων τὰ νοήματα, ἐπὶ καλῷ ἐτύφλωσεν, ἵνα εἰς τὰ ἀγαθὰ ἀναβλέψωσιν· οὐ γὰρ εἶπεν· Ἐτύφλωσεν αὐτῶν τὴν ψυχὴν, ἀλλὰ τὰ νοήματα τῶν ἀπίστων· τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστι. Τύφλωσον τοῦ πόρνου τὰ πορνικὰ νοήματα, καὶ σέσωσται ὁ ἄνθρωπος. Τύφλωσον τοῦ λῃστοῦ τὸ ἁρπακτικὸν καὶ λῃστρικὸν, καὶ σέσωσται ὁ ἄνθρωπος. Ἀλλ' οὐ θέλεις οὕτω νοῆσαι; ἔστι καὶ ἄλλη ἐξήγησις [2]. Τυφλοῖ καὶ ὁ ἥλιος τοὺς ἀμβλυωποῦντας, καὶ οἱ ὀφθαλμιῶντες τυφλοῦνται, βλαπτόμενοι ὑπὸ τοῦ φωτός· οὐχ ὅτι τυφλωτικός ἐστιν ὁ ἥλιος, ἀλλ' ὅτι ἡ ὑπόστασις τῶν ὀμμά-

---

θήσεται, καὶ περισσευθήσεται· ἀπὸ δὲ τοῦ μὴ ἔχοντος καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ». Τὸ «ὃ δοκεῖ ἔχειν» ἐςὶ τοῦ Λουκᾶ (ή, 18.).

[1]) Ἡ περίοδος αὕτη λίαν συγκεχυμένη εὕρηται ἔν τε τοῖς Κώδηξι καὶ τοῖς ἐκδεδομένοις. Οἱ μὲν Κώδ. Roe, Casaub. ἔχουσι «δικαίως» ἀντὶ «δεῖ καὶ ὡς»· ὁ δὲ Πέτρος ὁ Σικελὸς ἀνέγνω οὕτω τὴν περικοπήν· «Εἰ δὲ καὶ δικαίως τινὲς ἐξηγοῦνται, ἔστι καὶ οὕτως εἰπεῖν». Ὁ Τουτέος ἐξέδωκεν οὕτω· «Εἰδὲ δεῖ καὶ ὥς τινες ἐξηγοῦνται, τοῦτο εἰπεῖν· οὐ φαῦλον γὰρ τὸ ῥῆμα». Ἡμεῖς διωρθώσαμεν τὴν φράσιν ἐκ τοῦ Κώδ. Α. ἐν ᾧ ἐλλείπει ὁ «γὰρ» καὶ κεῖται ἁπλῶς «οὐ φαῦλον τὸ ῥῆμα»· τὴν στίξιν δὲ ἐθήκαμεν μετὰ τὸ «τοῦτο», καὶ οὕτω κατέστη ἡ περίοδος ὁμαλὴ καὶ σαφής.

[2]) Πολὺ ὁμοιάζει ἡ τρίτη αὕτη ἐξήγησις πρὸς τὴν πρώτην ἐκείνην τοῦ Ἀργελάου. Κατὰ μὲν γὰρ τὴν πρώτην ἐξήγησιν ὁ Θεὸς ἀφαιρεῖ τὴν χάριν αὐτοῦ ἐκ τῶν ἀναξίων, τῶν ἐθελοκάκως τοὺς ὀφθαλμοὺς καμμυόντων· κατὰ δὲ τὴν δευτέραν, ἡ ἔλλαμψις καὶ ὁ φωτισμὸς αὐτοῦ, ἅπασιν ἐκκεχυμένος, λάμπει μὲν καὶ καταφωτίζει τοὺς ὑγιαίνοντας ὀφθαλμοὺς, ἐκτυφλοῖ δὲ καὶ βλάπτει τοὺς ἀσθενοῦντας καὶ πάσχοντας. Καὶ τὰς δύο ταύτας ἐξηγήσεις ὁμοῦ ἐκφέρει καὶ συνυφαίνει ὁ μακάριος Θεοδώρητος ἐν τῇ ἑρμηνείᾳ τοῦ ῥητοῦ τούτου· «Ἐτύφλωσε δὲ τούτους ὁ Θεὸς, οὐκ αὐτὸς τὴν ἀπιστίαν ἐνθεὶς, ἀλλὰ τὴν ἀπιστίαν αὐτῶν θεασάμενος, οὐκ εἴασεν ἰδεῖν τὰ κεκρυμμένα μυστήρια· «Μὴ δῶτε, φησὶ, τὰ ἅγια τοῖς κυσὶ, μηδὲ ῥίψατε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων»· καὶ πάλιν· «Διὰ τοῦτο ἐν παραβολαῖς λαλῶ αὐτοῖς, ὅτι βλέποντες, οὐ βλέπουσι, καὶ ἀκούοντες, οὐ συνιῶσι»· δεῖ γὰρ ἐπιγνώσεως καὶ πίστεως, ὥστε μεταλαχεῖν τοῦ φωτός· ἀσθενοῦσι γὰρ ὀφθαλ-

των, οὐ βλέπει· οὕτω καὶ οἱ ἄπιστοι, νοσοῦντες ταῖς καρδίαις[1]), οὐ δύνανται ἐνιδεῖν ταῖς τῆς θεότητος ἀκτῖσιν[2]). Καὶ οὐκ εἶπεν· Ἐτύφλωσε τὰ νοήματα εἰς τὸ μὴ ἀκοῦσαι τὸ Εὐαγγέλιον· ἀλλ' εἰς τὸ μὴ διαυγάσαι τὸν φωτισμὸν τῆς δόξης τοῦ Εὐαγγελίου τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ[3])· τὸ μὲν γὰρ ἀκοῦσαι τοῦ Εὐαγγελίου πᾶσιν ἐφίεται, ἡ δόξα δὲ τοῦ Εὐαγγελίου τοῖς Χριστοῦ γνησίοις μόνοις ἀφώρισται. Ἔλεγεν οὖν ὁ Κύριος τοῖς μὲν ἀκοῦσαι μὴ δυναμένοις ἐν παραβολαῖς, τοῖς δὲ μαθηταῖς ἐπέλυε κατ' ἰδίαν τὰς παραβολάς· ὁ αὐγασμὸς γὰρ[4]) τῆς δόξης τοῖς πεφωτισμένοις, ἡ τύφλωσις τοῖς ἀπίστοις. Ταῦτα τὰ μυστήρια, ἃ νῦν ἡ Ἐκκλησία διηγεῖταί σοι τῷ ἐκ Κατηχουμένων μεταβαλλομένῳ, οὐκ ἔστιν ἔθος ἐθνικοῖς διηγεῖσθαι· οὐ γὰρ ἐπὶ ἐθνικῶν[5]) τὰ περὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος διηγούμεθα μυστήρια, οὐδὲ τὰ περὶ τῶν μυστηρίων ἐπὶ Κατηχουμένων λευκῶς λαλοῦμεν· ἀλλὰ πολλὰ πολλάκις λέγομεν ἐπικεκαλυμμένως, ἵνα οἱ εἰδότες πιστοὶ νοήσωσι, καὶ οἱ μὴ εἰδότες μὴ βλαβῶσι.

§. Λ'. Τοιούτοις καὶ ἄλλοις πλείοσιν ἀνετρέπετο ὁ δράκων· τοιαύταις συμπλοκαῖς κατεπάλαισε[6]) τὸν Μάνην ὁ Ἀρχέλαος. Φεύγει πάλιν καὶ ἐντεῦθεν ὁ ἐκ τῆς φυλακῆς φυγών, καὶ τὸν ἀνταγωνιστὴν

μοῖς πολέμιος ἥλιος». Ὅρα καὶ Δαμασκηνὸν ἐν τῷ κατὰ Μανιχ. Διαλόγῳ. Περὶ τῆς ἑρμηνείας τοῦ ῥητοῦ τούτου βλ. καὶ Φώτιον (Ἀμφιλ. Ζήτ. α'. σελ. 13).

[1]) Οἱ Κώδ. Α., Roe καὶ Casaub. «τὰς καρδίας».

[2]) Ἐν τῷ Κώδ. Α. «οὐ δύνανται ἰδεῖν τὰς τῆς θεότητος ἀκτῖνας».

[3]) Ὅμοια γράφει καὶ ὁ Οἰκουμένιος· «Ὅρα δὲ, ὅτι οὐκ εἶπεν, ὅτι ἐτύφλωσεν εἰς τὸ μὴ πιστεῦσαι, ἀλλ' εἰς τὸ μὴ καταυγάσαι, δεικνὺς αὐτοὺς πρῶτον ἀπιστήσαντας, εἶτα ἀναξίους γενομένους τοῦ φωτισμοῦ».

[4]) Ὁ «γὰρ» ἔλειπεν ἐκ τῶν προτέρων ἐκδόσεων· προσέθηκε δὲ τοῦτον ὁ Τ. ἐπὶ τῇ αὐθεντίᾳ τριῶν Κωδήκων· ἐλλείπει δὲ καὶ ἐκ τοῦ Κώδ. Α.

[5]) Ἐθήκαμεν «ἐπὶ ἐθνικῶν» ἐκ τῶν κωδ. R. καὶ C. Ἡ γραφὴ αὕτη καὶ νόημα παρέχει προσφυέστερον, καὶ συμφωνεῖ πρὸς τὴν κατωτέρω «ἐπὶ κατηχουμένων»· αἱ ἐκδόσεις ἔχουσιν «ἐθνικῷ».

[6]) Ἐν τῷ Κώδ. Α. καὶ ἐν ἄλλοις κεῖται «κατεπάλαιεν».

διαδρὰς [1]), ἔρχεται ἐπὶ κώμην εὐτελεστάτην, κατὰ τὸν ὄφιν τὸν ἐν παραδείσῳ καταλιπόντα τὸν Ἀδὰμ, καὶ τῇ Εὔᾳ προσελθόντα. Ἀλλ' ὁ καλὸς ποιμὴν Ἀρχέλαος, τῶν προβάτων προνοῶν, ἀκούσας τὴν φυγὴν, εὐθέως δρομαῖος ἐπὶ τὴν τοῦ λύκου ἐπείγετο ζήτησιν [2]). Μάνης δὲ ἰδὼν ἐξαίφνης τὸν ἀντίδικον, ἐξεπήδησε καὶ ἔφυγεν· ἔφυγε δὲ τὴν τελευταίαν φυγήν. Οἱ γὰρ τοῦ τῶν Περσῶν βασιλέως ὑπασπισταὶ πανταχοῦ διερευνώμενοι, καταλαμβάνουσι τὸν φυγάδα [3])· καὶ ἣν ὤφειλεν ἐπὶ τοῦ Ἀρχελάου λαβεῖν ἀπόφασιν, ταύτην ἐπιφέρουσιν αὐτῷ οἱ τοῦ βασιλέως ὑπασπισταί. Συλλαμβάνεται ὁ Μάνης, ὃν προσκυνοῦσιν οἱ αὐτοῦ μαθηταὶ, καὶ ἄγεται πρὸς τὸν βασιλέα· ὠνείδισεν αὐτῷ ὁ βασιλεὺς τὸ ψεῦδος καὶ τὴν φυγήν· ἐχλεύασε τὴν δουλείαν· ἐξεδίκησε τοῦ παιδὸς τὸν φόνον, κατέκρινε καὶ διὰ τὸν τῶν δεσμοφυλάκων φόνον,

---

[1]) Ἐγράψαμεν «διαδρὰς» ἐκ τῶν Κωδ. Α., Roe, Casaub. καὶ Πέτρου τοῦ Σικελοῦ. Ἐν ἅπασι δὲ τοῖς ἐκδεδομένοις ἔκειτο «διαδράσας».

[2]) Καὶ ἄλλα τινὰ συνέβησαν ἐν τῷ μεταξὺ, ἅπερ ὁ Κύριλλος παρέλιπε τὴν συντομίαν διώκων· ἡττηθεὶς γὰρ ἐν τῇ μετὰ τοῦ Ἀρχελάου συνδιαλέξει ὁ Μάνης, παρ' ὀλίγον ἐλιθάσθη ὑπὸ τῶν δήμων, εἰμὴ Μάρκελλός τις, ἀνὴρ αἰδέσιμος, παρελθὼν ἐδυσωπεῖτο τοὺς δήμους· οὕτω δὲ ἀποδρὰς ἐκ τῶν Κασχάρων ἔρχεται εἰς κώμην τινὰ, Διοδωρίδα καλουμένην, ὑπὸ τὴν πνευματικὴν διοίκησιν τοῦ αὐτοῦ ποιμενάρχου διατελοῦσαν. Ἐκεῖ εὑρὼν τὸν ἱερέα τῆς κώμης, ὃν Διόδωρον μὲν καλεῖ ὁ Ἀρχέλαος, Τρύφωνα δὲ ὁ Ἐπιφάνιος, ἄνδρα τὰ μὲν ἄλλα καλὸν κἀγαθὸν, πενιχρὸν δὲ τῷ λόγῳ, ἤρξατο κυκᾶν καὶ ἀναταράττειν, καὶ τὰ τῆς αἱρέσεως διασπείρειν. Ἀναγγείλας δ' εὐθὺς ὁ Τρύφων τὴν ἐμφάνισιν τοῦ βαρέος λύκου τῷ ποιμενάρχῃ, λαμβάνει παρ' αὐτοῦ ὁδηγίας καὶ δύο βίβλους, ἵνα δι' αὐτῶν νικᾷ καὶ ἐξελέγχῃ τὸν θεομάχον· ἀλλὰ μὴ ἐφησυχάσας τούτοις ὁ καλὸς ποιμὴν ἀνίσταται καὶ, «ὥσπερ ἰσχυρὸς οἰκοδεσπότης τῶν ἰδίων ἐπιμελούμενος», ἔρχεται εἰς Διοδωρίδα, ὅπου πάλιν συμπλακεὶς τῷ Μάνεντι, κατὰ κράτος κατηγωνίσατο καὶ τοῦτον αὐτὸν κατήσχυνεν, ὥστε ὥρμησεν ὁ λαὸς ἵνα θανατώσῃ τὸν δυσσεβῆ· καὶ πάντως ἐξεμέτρα τὸ ζῆν ἐνταῦθα, εἰμὴ ἀπεδίδρασκεν ἐν τάχει καὶ εἰς τὸ φρούριον τοῦ Ἀραβίωνος ἐπανήρχετο. Ταῦτα ἐκ τοῦ Ἐπιφανίου (σελ. 627)· ὅμοια τούτοις καὶ τὰ τοῦ Ἀρχελάου.

[3]) Οἱ τοῦ Πέρσου βασιλέως ὑπασπισταὶ εὗρον καὶ κατέσχον τὸν Μά-

καὶ[1]) ἐκδαρῆναι τὸν Μάνην περσικῷ νόμῳ προστάττει[2]), καὶ τὸ μὲν λοιπὸν σῶμα θηρίων παρεδόθη βορᾷ[3]), τὸ δὲ τῆς κακίστης γνώμης δοχεῖον, τὸ δέρμα, θυλάκου δίκην πρὸ τῶν πυλῶν ἀνηρτήθη. Ὁ τὸν Παράκλητον ἑαυτὸν λέγων, καὶ τὰ μέλλοντα εἰδέναι ἐπαγγελλόμενος, τὴν ἰδίαν φυγὴν καὶ κατάληψιν οὐκ ἔγνω.

§. ΛΑ΄. Τούτου μαθηταὶ τρεῖς γεγόνασι, Θωμᾶς καὶ Βαδδᾶς[4])

νεντα ἐν τῷ φρουρίῳ τοῦ Ἀραβίωνος, ὡς γράφει ὁ Ἐπιφάνιος (σελ. 628)· ἄρα ἐν τῇ γῇ τῶν Ῥωμαίων, οὐχὶ τῶν Περσῶν. Τοῦτο γίνεται δῆλον καὶ ἐξ ὧν εἶπεν ἀνωτέρω ὁ Ἐπιφάνιος, ὅτι ὁ Μάνης φεύγων ἐκ τῆς Περσίας «τῇ Ῥωμανίᾳ προσέβαλε»· ἀλλὰ καὶ οἴκοθεν φανερὸν, ὅτι ὁ Μάνης φεύγων τὴν τοῦ βασιλέως ὀργὴν κατέλιπε καὶ τὴν ἐπικράτειαν, ἐν ᾗ τὰ τῆς ζωῆς αὐτῷ ἐκινδύνευε.

[1]) Προσεθήκαμεν τὸν «καὶ» ἐκ τῶν Κωδ. A., R., C.

[2]) Τοὺς βαρβάρους τούτους καὶ περὶ τὰς τιμωρίας ἀπηνεστάτους νόμους τῶν Περσῶν ἀναφέρει καὶ ὁ Θεοδώρητος (εἰς Δανιὴλ κεφ. 7. σελ. 628) γράφων· «Βαρβάρων γὰρ ἁπάντων ὠμότεροι περὶ τὰς τιμωρίας οἱ Πέρσαι, ἐκδοραῖς χρώμενοι, καὶ τῇ κατὰ μέρος τῶν μορίων ἐκτομῇ μακρὰς τὰς κολάσεις μηχανώμενοι, καὶ πικρὸν κατασκευάζοντες τοῖς κολαζομένοις τὸν θάνατον». Ὅτι δὲ τὸ δέρμα τοῦ Μάνεντος θυλάκου δίκην πρὸ τῶν πυλῶν ἀνηρτήθη, τοῦτο μαρτυρεῖ καὶ Σωκράτης· «Ζῶντα ἐξέδειρε, καὶ ἀχύρων τὴν δορὰν πληρώσας, πρὸ τῆς πύλης τῆς πόλεως προὔθηκεν». Ὁ Ἐπιφάνιος λέγει, ὅτι τὴν δορὰν ταύτην τοῦ Μάνεντος εἶχον καὶ ἐτήρουν ἐν Περσίδι μέχρι τῆς ἐποχῆς αὐτοῦ· «Ὅθεν καὶ ἐκδαρέντα καλάμῳ, καὶ τὸν ἀσκὸν αὐτοῦ ἐμπλησθέντα ἀχύρων, ἔτι καὶ δεῦρο ἐν Περσίδι ἔχουσιν» (σελ. 629). Ὁ Τουτέος σημειοῖ, ὅτι ὁ θάνατος οὗτος τοῦ Μάνεντος οὐ δύναται τεθῆναι πέραν τοῦ 278 ἔτους. Ἐκ δὲ τῶν ἑορτῶν τῶν Μανιχαίων εἰκάζει, ὅτι συνέβη κατὰ μῆνα Μάρτιον, καθ' ὃν καιρὸν, λέγει, οἱ Μανιχαῖοι τελοῦσι τὴν μνήμην αὐτοῦ μετὰ μείζονος παρατάξεως καὶ πομπῆς ἢ αὐτὸ τὸ Πάσχα, ὡς μαρτυρεῖ ὁ Αὐγουστῖνος (contra Faust. lib. 18. cap. 5.).

[3]) Ἐν τῷ Κώδ. A. «θηρίων παρέδωκε βοράν»· Πέτρος ὁ Σικελὸς ἀνέγνω «θηρίοις παρεδόθη βορά».

[4]) Ἐν τῷ Κώδ. A. γέγραπται «Βουδδᾶς» ἐν δὲ τοῖς Κώδ. Roe καὶ Casaub. «Ἀδᾶς», παρὰ τῷ Φωτίῳ γράφεται «Βούδδας», παρὰ τῷ Ἀρχελάῳ καὶ Ἐπιφανίῳ «Ἄδδας», παρὰ τῷ Θεοδωρήτῳ «Ἀλδάς»· ἀλλ' ἡ ἐν ταῖς ἐκδόσεσι τοῦ Κυρίλλου σταθερῶς ἐπικρατήσασα γραφή ἐστι «Βαδδᾶς».

καὶ Ἑρμᾶς[1]). Μηδεὶς ἀναγινωσκέτω τὸ κατὰ Θωμᾶν Εὐαγγέ-

---

[1]) Τὸ μὲν ὅλον δώδεκα εἶχε μαθητὰς ὁ Μάνης κατὰ τὸν ἀριθμὸν τῶν δώδεκα τοῦ Χριστοῦ Ἀποστόλων, καθὰ μαρτυροῦσιν Αὐγουστῖνος καὶ Θεοδώρητος· «Ipse Manichæus duodecim discipulos habuit, ad instar apostolici numeri, quem numerum Manichæi hodieque custodiunt»; August. (de haeres. cap. 46.). «Οὗτος δυοκαίδεκα μαθητὰς κατὰ τὸν κυριακὸν ποιησάμενος τύπον, εἰς τὴν μέσην ἀφίκετο τῶν ποταμῶν» · Θεοδώρητος (αἱρετ. κακομ. ά, 26.). Τὸν δώδεκα ἀριθμὸν ἀναφέρει καὶ Πέτρος ὁ Σικελὸς ἐν τῷ κατ' αὐτὸν κειμένῳ τοῦ ἁγίου Κυρίλλου οὕτως· «Ἦν δὲ πρὸ τούτου καὶ ἕτερος τῆς κακίας διδάσκαλος ταύτης, Ζαράνης ὀνόματι, ὁμόφρων αὐτοῦ ὑπάρχων. Μαθηταὶ δὲ τούτου τοῦ ἀντιχρίστου Μάνεντος γεγόνασι δώδεκα· Σισίννιος ὁ τούτου διάδοχος καὶ Θωμᾶς ὁ τὸ κατ' αὐτὸν μανιχαϊκὸν εὐαγγέλιον συντάξας, Βουδδᾶς τε καὶ Ἑρμᾶς, Ἄδαντος καὶ Ἀδήμαντος, ὃν ἀπέστειλεν εἰς διάφορα κλίματα κήρυκα τῆς πλάνης. Ἐξηγηταὶ δὲ αὐτῷ καὶ ὑπομνηματισταὶ γεγόνασιν Ἱέραξ καὶ Ἡρακλείδης καὶ Ἀφθόνιος. Ὑπῆρχον δὲ αὐτῷ καὶ ἕτεροι μαθηταὶ τρεῖς· Ἀγάπιος, ὁ τὴν ἑπτάλογον συντάξας, καὶ Ζαρούας καὶ Γαβριάβιος» κτλ. Ταῦτα μὲν ὁ Σικελὸς ἐκφέρει συνυφασμένα πρὸς τὸ κείμενον τοῦ Κυρίλλου ἀλλ' ὁ σοφὸς Τουτέος ἀπέδειξεν ὅτι ταῦτα θεωρητέα οὐχὶ ὡς λόγια τοῦ Κυρίλλου, ἀλλ' ὡς ἴδια τοῦ Σικελοῦ προσθήματα. Τὰ αὐτὰ δὲ αὐταῖς σχεδὸν λέξεσιν ἀναγινώσκονται καὶ ἐν τῷ Φωτίῳ. Ἐν δὲ τῇ διατετυπωμένῃ ἀποτάξει τῆς μανιχαϊκῆς αἱρέσεως, ἣν ὤφειλον ποιῆσαι οἱ ἐξ αὐτῆς εἰς τὴν ὀρθόδοξον προσερχόμενοι Ἐκκλησίαν, εὑρηνται πλείονα ὀνόματα μαθητῶν τοῦ Μάνεντος· «Ἀναθεματίζω, λέγει, τὸν πατέρα Μάνεντος Πατέκιον, οἷα ψεύστην καὶ τοῦ ψεύδους πατέρα, καὶ τὴν αὐτοῦ μητέρα Κάροσσαν, καὶ Ἱέρακα καὶ Ἡρακλείδην καὶ Ἀφθόνιον, τοὺς ὑπομνηματιστὰς καὶ ἐξηγητὰς τῶν τούτου συγγραμμάτων, καὶ τοὺς λοιποὺς αὐτοῦ μαθητὰς ἅπαντας, Σισίννιον τὸν διάδοχον τῆς τούτου μανίας, Θωμᾶν τὸν συνταξάμενον τὸ κατ' αὐτὸν λεγόμενον Εὐαγγέλιον, Βουδδᾶν, Ἑρμᾶν, Ἀδὰμ, Ἀδείμαντον, Ζαρούαν, Γαβριάβιον, Ἀγάπιον, Ἱλάριον, Ὀλύμπιον, Ἀριστόκριτον, Σαλμαῖον, Ἰνναῖον, Πάαπιν, Βαραίαν» · παρὰ τῷ Κοτελερίῳ (Patr. Apostol. Tom. II. p. 544.). Ὁ δὲ Ἐπιφάνιος εἰς δύο καὶ εἴκοσιν ἀναβιβάζει τὸν τῶν μαθητῶν ἀριθμὸν (σελ. 622)· «Ἤδη γὰρ ὁ ἀγύρτης συναγήοχεν ἑαυτῷ στρατὸν, ὡς εἰπεῖν, οὓς δὴ μαθητὰς ἐκάλει, τὸν ἀριθμὸν ἤδη περὶ δύο καὶ εἴκοσιν». Τούτων δ' οὕτως ἐχόντων, οἱ τρεῖς ἐκεῖνοι μαθηταὶ, οὓς ἀναφέρει οὐ μόνον ὁ Κύριλλος ἐνταῦθα, ἀλλὰ καὶ ὁ Ἀρχέλαος, καὶ ὁ Ἐπιφάνιος

λιον[1])· οὐ γάρ ἐστιν ἑνὸς τῶν δώδεκα Ἀποστόλων, ἀλλ' ἑνὸς τῶν κακῶν τριῶν τοῦ Μάνη μαθητῶν. Μηδεὶς προσφερέσθω[2]) τοῖς ψυχοφθόροις Μανιχαίοις, τοῖς ἀχύρων ὕδασι τὸ στυγνὸν τῆς νηστείας προσποιουμένοις[3]), τοῖς διαβάλλουσι μὲν τὸν τῶν βρωμάτων ποιητὴν, τὰ κάλλιστα δὲ τῶν βρωμάτων λαιμαργοῦσι· τοῖς διδάσκουσιν ὅτι ὁ τήνδε τὴν βοτάνην ἐκτίλλων, εἰς αὐτὴν μεταβάλλεται[4]). Εἰ γὰρ ὁ

(σελ. 629), καὶ ὁ Θεοδώρητος (αἱρετ. κακομ. ά. 26.), ἦσαν οἱ πρῶτοι μύσται τῆς αὐτοῦ δυσσεβείας, καὶ τῶν ἄλλων ἐπισημότεροι, διὰ τοῦτο καὶ μᾶλλον μνημονεύονται ὑπὸ τῶν ἱστορικῶν. Σημείωσαι πρὸς τούτοις, ὅτι μετὰ τὴν λέξιν «μαθητῶν» ἐν τῷ κειμένῳ τοῦ Κυρίλλου Πέτρος ὁ Σικελὸς προστίθησι ταῦτα, οὐκ οἶδ' ὁπόθεν λαβών· «Μήτε τὴν ἑπτάλογον Ἀγαπίου, μήτε τὴν ἐπιστολῶν ὁμάδα, μήτε τὴν πᾶσαν παρὰ τούτων τῶν ἀσεβῶν ἐκτεθεῖσαν βίβλον ἀναγινωσκέτω, εἰς λύμην πολλῶν, καὶ τῆς οἰκείας ψυχῆς ἀπώλειαν· πᾶσαν γὰρ αὐτῶν βίβλον, ὡς ἀσεβῆ διδάγματα κατέχουσαν, καὶ πάσης βλασφημίας πεπληρωμένην, καὶ πᾶσαν εὐχὴν λεγομένην παρ' αὐτῶν, μᾶλλον δὲ γοητείαν, ἡ καθ' ἡμᾶς ἁγία καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία ἀνεθεμάτισε μετὰ καὶ τοὺς ἐκθεμένους αὐτὰς, ὡς πολλῶν καὶ μεγάλων κακῶν ἐφευρετὰς καὶ ὁδηγοὺς ἀπωλείας, ἀνεθεμάτισε δὲ καὶ πάντας τοὺς μαθητευομένους ἐπ' αὐτοῦ· διὸ μηδεὶς προσφθειρέσθω τοῖς ψυχοφθόροις Μανιχαίοις κτλ.».

[1]) Τοῦ κατὰ Θωμᾶν ψευδοῦς Εὐαγγελίου μνημονεύει ὁ Κύριλλος καὶ ἐν Κατηχ. Δ'. §. 36. Λέγει δὲ καὶ Εὐσέβιος (Ἐκκλ. Ἱστ. γ'. 25,)· «Τὰς ὀνόματι τῶν Ἀποστόλων προφερομένας, ἤτοι ὡς Πέτρου καὶ Θωμᾶ καὶ Ματθία, ἢ καί τινων παρὰ τούτους ἄλλων εὐαγγέλια περιεχούσας». Περὶ τούτου τοῦ Εὐαγγελίου φησὶ καὶ ὁ Λεόντιος (περὶ αἱρέσ. πράξ. γ'.)· «Οὗτοι (οἱ Μανιχαῖοι) καὶ βιβλία τινὰ ἑαυτοῖς καινοτομοῦσι· λέγουσι γὰρ εὐαγγέλιον κατὰ Θωμᾶν καὶ Φίλιππον, ἅπερ ἡμεῖς οὐκ ἴσμεν». Ὅρα καὶ ὅσα παρεθήκαμεν ἐν τῇ σημειώσει εἰς Κατήχ. Δ'. §. 36.

[2]) Ἐν τῷ Κώδ. Α. εὕρηται ἀντὶ τοῦ «προσφερέσθω» ἄλλη οὐκ ἀπροσφυὴς λέξις «Προσφθειρέσθω» ταύτην ἔχει καὶ Πέτρος ὁ Σικελός.

[3]) Οὐ πάμπαν σαφὲς τὸ χωρίον τοῦτο· δηλοῖ δὲ ὡς φαίνεται, τὴν ἄκραν τῶν Μανιχαίων ὑπόκρισιν καὶ κακοδαιμονίαν, οἵτινες οὐ μόνον οἴνου ἀπείχοντο, ἀλλὰ καὶ ὕδωρ τοῖς ἀχύροις ἐγχέοντες, ἔπινον τὸ ἐκ τούτου ἀχυρῶδες ποτὸν, τὸ στυγνὸν τῆς νηστείας ἐπιδεικνύμενοι.

[4]) Οὐ μόνον μετεμψύχωσιν ἐδόξαζον οἱ Μανιχαῖοι, ἀλλὰ καὶ πάντα τὰ φυτὰ καὶ τὰ σπέρματα ἐνόμιζον ἔμψυχα· «Ψυχῶν δὲ μετενσωματώσεις

ἐκτέμνων βοτάνας ἤ τι τῶν λαχάνων εἰς τοῦτο μεταβάλλεται, γεωργοὶ καὶ κηπουρῶν παῖδες εἰς πόσα μεταβληθήσονται; Κατὰ τοσούτων ὁ κηπουρὸς ἤνεγκε τὴν δρεπάνην, ὡς ὁρῶμεν· εἰς ποῖα ἄρα μεταβάλλεται; Γέλωτος ἀληθῶς τὰ διδάγματα καὶ καταγνώσεως πλήρη καὶ αἰσχύνης· ὁ αὐτὸς ἀνὴρ ποιμὴν ὢν προβάτων, καὶ πρόβατον ἔθυσε, καὶ λύκον ἀπέκτεινεν· εἰς ποῖον ἄρα μεταβάλλεται; Πολλοὶ τῶν ἀνθρώπων ἰχθύας ἐσαγήνευσαν, καὶ ὄρνεα ἴξευσαν· εἰς ποῖον ἄρα μεταβάλλονται;

§. ΛΒ΄. Ἀποκρινέσθωσαν οἱ τῆς ἀργίας ἔκγονοι Μανιχαῖοι, οἱ μὴ ἐργαζόμενοι καὶ τὰ τῶν ἐργαζομένων κατεσθίοντες[1])· οἱ τοὺς προσ-

---

λέγουσι γίνεσθαι, καὶ τὰς μὲν εἰς πτηνῶν, τὰς δὲ εἰς κτηνῶν καὶ θηρίων καὶ ἑρπετῶν σώματα καταπέμπεσθαι· πάντα δὲ νομίζουσιν ἔμψυχα, καὶ τὸ πῦρ καὶ τὸ ὕδωρ καὶ τὸν ἀέρα καὶ τὰ φυτὰ καὶ τὰ σπέρματα· οὗ δὴ χάριν οἱ καλούμενοι τέλειοι παρ' αὐτοῖς οὔτε ἄρτον κλῶσιν, οὔτε λάχανον τέμνουσιν, ἀλλὰ καὶ τοῖς ταῦτα δρῶσιν, ὡς μιαιφόνοις, προφανῶς ἐπαίρονται, ἐσθίουσι δὲ ὅμως τὰ τεμνόμενα καὶ τὰ κλώμενα»· Θεοδώρητος (αἱρετ. κακομ. ά. 26). Οὐ παραλειπτέα ἐνταῦθα οὐδὲ τὰ τοῦ Ἐπιφανίου, ὡς πολὺ σαφηνίζοντα τὸν Κύριλλον· «Ἀνάγκη αὐτοὺς μεταγγισθῆναι εἰς χόρτον, ἢ εἰς φασήλια, ἢ εἰς κριθὴν, ἢ εἰς στάχυν, ἢ εἰς λάχανα, ἵνα θερισθῶσι καὶ κοπῶσι. Καὶ εἴ τις πάλιν ἐσθίει ἄρτον, ἀνάγκη καὶ αὐτὸν βρωθῆναι ἄρτον γενόμενον· εἴ τις φονεύσει ὀρνίθιον, ὀρνίθιον ἔσται· εἴ τις φονεύσει μῦν, καὶ αὐτὸς μῦς ἔσται». Περὶ τῆς ἀνοίας ταύτης τῶν Μανιχαίων πολλὰ λέγει καὶ Αὐγουστῖνος (de haeres. cap. 46. καὶ de morib. Manichæor. cap. 17.).

[1]) Εἰς δύο τάξεις ἦσαν διῃρημένοι οἱ Μανιχαῖοι, εἰς ἐκλεκτοὺς καὶ εἰς ἀκροατάς· καὶ οἱ μὲν ἐκλεκτοὶ πάσης ἀπεῖχον ἀγροτικῆς ἐργασίας, μηδὲν μηδέποτε μήτε λάχανον, μήτε χόρτον κόπτοντες, ὡς ἀθέμιτον· οἱ ἀκροαταὶ ὅμως κόπτοντες πάντα ταῦτα καὶ καλὰ ἐκ τούτων κατασκευάζοντες βρώματα, προσέφερον ἀνοήτως τοῖς ἐκλεκτοῖς· Αὐγουστῖνος (de hæres. cap. 46. Ὅθεν εἶπε καὶ Ἐπιφάνιος (σελ. 645)· «Εἴ τι κάλλιςον ἐν βρώμασι, τοῖς ἐκλεκτοῖς προσφέρουσι». Περὶ τῆς ἀκριβοῦς διαστολῆς τῶν ἐκλεκτῶν τούτων καὶ ἀκροατῶν τῆς μανιχαϊκῆς αἱρέσεως γράφει ὁ ἱερὸς Αὐγουστῖνος καὶ ἀλλαχοῦ τὰ ἑξῆς· «Auditorem sane Manichæorum, non Electum se esse confessus est. Auditores autem qui appellantur apud eos et carnibus vescuntur, et agros colunt, et, si voluerint, uxores habent, quorum nihil fa-

φέροντας αὐτοῖς τὰ βρώματα. μειδιῶσι προσώποις δεχόμενοι, καὶ ἀντὶ εὐλογιῶν κατάρας ἀποδιδόντες· ὅταν γάρ τις αὐτοῖς τι προσενέγκῃ ἀνόητος, μικρὸν ἔξω, φησὶ, στῆθι, καὶ εὐλογήσω σε· εἶτα δεξάμενος εἰς χεῖρας τὸν ἄρτον (ὡς οἱ ἐξ αὐτῶν μετανοήσαντες ἐξωμολογήσαντο), ἐγώ σε οὐκ ἐποίησα, φησὶν ὁ Μανιχαῖος τῷ ἄρτῳ[1]), καὶ κατάρας πέμπει εἰς τὸν Ὕψιστον, καὶ καταρᾶται τὸν πεποιηκότα, καὶ οὕτως ἐσθίει τὸ πεποιημένον. Εἰ μισεῖς τὰς τροφὰς, τί μειδιῶντι τῷ προσώπῳ ἐνέβλεψας[2]) τῷ προσενέγκαντι; εἰ τῷ ἐνέγκαντι ἔχεις χάριν, διατί πέμπεις τῷ κατασκευάσαντι καὶ δημιουργήσαντι Θεῷ τὴν βλασφημίαν; Καὶ πάλιν· Ἐγώ σε οὐκ ἔσπειρα, φησί· σπαρείη ὁ σπείρας σε· ἐγώ σε οὐκ ἐθέρισα δρεπάνῃ[3])· ἐκθερισθείη ὁ θερίσας σε· ἐγώ σε πυρὶ οὐκ ὤπτησα· ὀπτηθείη ὁ ὀπτήσας σε· καλὰ τὰ ἀμοιβαῖα τῆς χάριτος.

§. ΛΓ΄. Μεγάλα μὲν κακὰ καὶ ταῦτα[4]), ἀλλ' ἔτι μικρὰ πρὸς τὰ

---

ciunt qui vocantur Electi. Sed ipsi Auditores ante Electos genua figunt, ut eis manus supplicibus imponatur, non a solis episcopis, vel presbyteris, aut diaconis eorum, sed a quibuslibet Electis. Solem etiam et lunam cum eis adorant et orant. Die quoque dominico jejunant cum illis et omnes blasphemias credunt etc.» (Epist. CCXXXVI. ad Deuterium.).

[1]) Τὴν ἄνοιαν ταύτην τῶν Μανιχαίων ἐκπομπεύει καὶ ὁ Ἐπιφάνιος, γράφων (σελ. 645)· «Ὅταν μέλλωσιν ἐσθίειν ἄρτον, προσεύχονται πρῶτον, οὕτω λέγοντες πρὸς τὸν ἄρτον· οὔτε σε ἐγὼ ἐθέρισα, οὔτε ἤλεσα, οὔτε ἔθλιψά σε, οὔτε εἰς κλίβανον ἔβαλον· ἀλλὰ ἄλλος ἐποίησε ταῦτα, καὶ ἤνεγκέ μοι, ἐγὼ ἀναιτίως ἔφαγον· καὶ ὅταν καθ' ἑαυτὸν εἴπῃ ταῦτα, λέγει τῷ κατηχουμένῳ· ηὐξάμην ὑπὲρ σοῦ, καὶ οὕτως ἀφίσταται ἐκεῖνος». Τὸ ἀλλόκοτον τοῦτο ἔθος ἀναφέρει καὶ ὁ Θεοδώρητος (περὶ προνοίας Λογ. Β΄)· «Τὰ τοῦ Μανιχαίου νοσῶν, ὃς σιτίων καὶ ποτῶν ἀπολαύων, λοιδορεῖται τοῖς χορηγοῦσι, καὶ θερισταῖς ὁμοῦ καὶ ἀρτοποιοῖς, καὶ τοῖς τὸν ἄρτον διχῇ τέμνουσιν ἐπαρᾶται, αὐτὸς τέμνειν μὲν οὐκ ἀνεχόμενος, ἐσθίων δὲ τὸ τεμνόμενον».

[2]) «Ἀπέβλεψας» ἔχει ὁ Κώδ. Α. καὶ ἄλλοι.

[3]) Ἐν τοῖς Κώδ. Α., R., C. «δρεπάνοις».

[4]) Τὸ «καὶ ταῦτα», ἐπιζητούμενον ἐκ τῆς ἐννοίας, ἐθήκαμεν ἐκ τῶν

ἄλλα. Οὐ τολμῶ ἐπὶ ἀνδρῶν καὶ γυναικῶν τὸ λουτρὸν αὐτῶν διηγήσασθαι[1])· οὐ τολμῶ εἰπεῖν, τίνι ἐμβάπτοντες τὴν ἰσχάδα, διδόασι τοῖς ἀθλίοις[2])· διὰ συσσήμων δὲ μόνον δηλούσθω· ἄνδρες γὰρ τὰ ἐν τοῖς ἐνυπνιασμοῖς ἐνθυμείσθωσαν, καὶ γυναῖκες τὰ ἐν ἀφέδροις. Μιαίνομεν ἀληθῶς τὸ στόμα ταῦτα λέγοντες. Μὴ Ἕλληνες τούτων μυσαρώτεροι; μὴ Σαμαρεῖται τούτων ἀθλιώτεροι[3]); μὴ Ἰουδαῖοι τούτων ἀσεβέστεροι; μὴ οἱ πορνεύοντες τούτων ἀκαθαρτότεροι; ὁ μὲν γὰρ πορνεύσας πρὸς μίαν ὥραν δι᾽ ἐπιθυμίαν τελεῖ τὴν πρᾶξιν· καταγινώσκων δὲ τῆς πράξεως, ὡς μιανθεὶς οἶδε λουτροῦ ἐπιδεόμενος, καὶ γινώσκει τῆς πράξεως τὸ μυσαρόν· ὁ δὲ Μανιχαῖος θυσιαστηρίου μέσον, οὗ νομίζει[4]), τίθησι ταῦτα, καὶ μιαίνει καὶ τὸ στόμα καὶ τὴν γλῶτταν. Παρὰ τοιούτου στόματος, ἄνθρωπε, δέχῃ διδασκαλίαν;

τριῶν Κωδ. A., R., C. Ἔχει τοῦτο καὶ Πέτρος ὁ Σικελὸς, ἐν δὲ τοῖς ἐκδεδομένοις ἐλλείπει.

[1]) Περὶ τίνος λουτροῦ λαλεῖ ἐνταῦθα ὁ Κύριλλος, οὐ σαφηνίζει· φαίνεται ὅμως ὅτι ἐννοεῖ τὸ ἱερὸν τῶν Μανιχαίων λουτρὸν, δηλ. τὸ βάπτισμα· καὶ τοῦτο καθίσταται πιθανὸν ἐκ τούτου, ὅτι συνάπτει μετὰ τοῦ λουτροῦ καὶ τὰ περὶ τῆς μυσαρᾶς ἰσχάδος. Ἀλλὰ ζητεῖται, εἶχον ἆρά γε ὄντως οἱ Μανιχαῖοι βάπτισμα, ὥσπερ καὶ οἱ ἄλλοι χριστιανοί; Εἰς ἀπάντησιν λέγομεν, ὅτι σημασίαν μὲν πολλὴν καὶ βαρύτητα οὐκ ἐδίδουν οἱ Μανιχαῖοι τῷ βαπτίσματι, οὐδ᾽ ἐνόμιζον τοῦτο ἀναγκαιότατον πρὸς τὴν σωτηρίαν, ὡς μαρτυρεῖ Αὐγουστῖνος (de hæres. cap. 46.)· ἀλλ᾽ ὅμως ἐκ πολλῶν ἄλλων δείκνυται ὅτι εἶχον καὶ ἐτήρουν οἱ αἱρετικοὶ οὗτοι ἓν εἶδος βαπτίσματος. Ὁ Τουτέος πολλὰς ἐκ πολλῶν συνάγει μαρτυρίας εἰς ἀπόδειξιν τῆς ὑπάρξεως βαπτίσματος παρὰ τοῖς Μανιχαίοις· ὅτι δὲ ἡ τελετὴ τοῦ βαπτίσματος αὐτῶν τούτου ἦν μυσαρὰ καὶ κατάπτυστος καὶ ὁμοία τῇ τελετῇ τῆς εὐχαριστίας, γίνεται φανερὸν ἐξ ὧν λέγει ὁ Κύριλλος ἐνταῦθα, καίπερ μὴ σαφῶς ἐκδηλῶν, ἐν τίνι συνίστατο, καὶ πῶς ἐτελεῖτο τοῦτο.

[2]) Τὰ περὶ ἰσχάδος ἐκτέθεινται ἀνωτέρω ἐν τῷ §. 23, καὶ ὅρα ἐκεῖ.

[3]) Ἐν τῷ Κώδ. A. καὶ ἐν ταῖς πρὸ τοῦ Τ. ἐκδόσεσιν «ἀθεώτεροι».

[4]) Αἱ μὲν πρὸ τοῦ Τουτέου ἐκδόσεις εἶχον «ὃ νομίζει», ὁ δὲ Τουτέος ἐξ αὐθεντίας τριῶν Κωδήκων ἔγραψεν «οὗ νομίζει», ἣν γραφὴν ἐτηρήσαμεν καὶ ἡμεῖς· ἀλλ᾽ ἴσως ἦν προτιμοτέρα ἡ Πέτρου τοῦ Σικελοῦ γραφὴ «ὡς νομίζει».

τοῦτον ὅλως ἀπαντήσας ἀσπάζῃ φιλήματι; Ἆρα χωρὶς τῆς λοιπῆς ἀσεβείας οὐ φεύγεις τὸ μεμολυσμένον [1]), καὶ τοὺς ἀκολάστων χείρονας, τοὺς πάσης προεστώσης μυσαρωτέρους.

§. ΛΔ΄. Παραγγέλλει ταῦτα ἡ Ἐκκλησία καὶ διδάσκει, καὶ ἅπτεται βορβόρων, ἵνα σὺ μὴ βορβορωθῇς· λέγει τὰ τραύματα, ἵνα μὴ σὺ τραυματισθῇς· ἀρκεῖ δέ σοι τὸ εἰδέναι μόνον· τὸ δὲ πείρᾳ παραλαβεῖν ἀπέχου. Βροντᾷ ὁ Θεός, καὶ πάντες τρέμομεν, κἀκεῖνοι βλασφημοῦσιν· ἀστράπτει ὁ Θεός, καὶ πάντες εἰς γῆν ἐπικλίνομεν, κἀκεῖνοι περὶ οὐρανῶν τὰς δυσφήμους ἔχουσι γλώσσας. Ἰησοῦς λέγει περὶ τοῦ Πατρὸς αὐτοῦ, «ὅστις τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ δικαίους καὶ ἀδίκους, καὶ βρέχει ἐπὶ πονηροὺς καὶ ἀγαθούς» [2])· κἀκεῖνοι λέγουσιν, ὅτι οἱ ὑετοὶ ἐξ ἐρωτικῆς μανίας γίνονται, καὶ τολμῶσι λέγειν, ὅτι ἐστι τις παρθένος ἐν οὐρανῷ εὐειδὴς μετὰ νεανίσκου εὐειδοῦς· καὶ κατὰ τὸν τῶν καμήλων ἢ λύκων καιρόν, τοὺς τῆς αἰσχρᾶς ἐπιθυμίας καιροὺς ἔχειν, καὶ κατὰ τὸν τοῦ χειμῶνος καιρὸν μανιωδῶς αὐτὸν ἐπιτρέχειν τῇ παρθένῳ· καὶ τὴν μὲν φεύγειν φασί, τὸν δὲ ἐπιτρέχειν· εἶτα ἐπιτρέχοντα ἱδροῦν· ἀπὸ δὲ τῶν ἱδρώτων αὐτοῦ εἶναι τὸν ὑετόν [3]). Ταῦτα γέγραπται ἐν τοῖς τῶν Μανιχαίων βι-

---

[1]) Ὁ Κώδ. Α. ἔχει «τὸν μεμολυσμένον»· ἀλλὰ προσφυεστέρα ἡ γραφὴ τοῦ Σικελοῦ «μεμολυσμένους».

[2]) Μετέβαλε μικρὸν τὴν τάξιν τῶν λέξεων ὁ Πατήρ. Τὸ ἱερὸν κείμενον ἔχει· «Ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους». Οὕτως ἐξήνεγκε τὴν εὐαγγελικὴν ῥῆσιν ὁ Πατὴρ ἀνωτέρω §. 16. Ἀντὶ δὲ τοῦ ἐν τῇ ἀρχῇ τῆς ῥήσεως «ὅτι», ὅπερ εἶχον αἱ πρότεραι ἐκδόσεις, ὁ Τουτέος ἔγραψεν «ὅστις» ἐξ αὐθεντίας τεσσάρων Κωδήκων· «ὅστις» ἔχει ὁ Κύριλλος καὶ ἀνωτέρω §. 16.

[3]) Τὰ παντὸς γραώδους ὕθλου μωρότερα ταῦτα ληρήματα ἐκτίθησι καὶ ὁ Ἐπιφάνιος εἰς ἔνδειξιν τῆς τῶν Μανιχαίων ἀνοίας (Τόμ. Α΄. σελ. 644.)· «Παρθένος τις ὡραία, κεκοσμημένη, πιθανὴ πάνυ, συλᾷν ἐπιχειρεῖ τοὺς ἄρχοντας, τοὺς ἐν τῷ στερεώματι ὑπὸ τοῦ ζῶντος Πνεύματος ἀνενεχθέντας καὶ σταυρωθέντας. Φαινομένη δὲ τοῖς ἄρρεσι θήλεια εὔμορφος, ταῖς δὲ θηλείαις νεανίας εὐειδὴς καὶ ἐπιθυμητός, καὶ οἱ μὲν ἄρχοντες, ὁπόταν ἴδωσιν αὐτὴν κεκαλλωπισμένην, οἰστροῦνται τῷ φίλτρῳ, καὶ μὴ δυνάμενοι αὐτὴν καταλαβεῖν, δεινῶς

βλίοις· ταῦτα ἡμεῖς ἀνέγνωμεν, ἀπιστοῦντες τοῖς λέγουσιν· ὑπὲρ γὰρ τῆς ὑμετέρας ἀσφαλείας τὴν ἐκείνων ἀπώλειαν ἐπολυπραγμονήσαμεν.

§. ΛΕ΄. Ἀλλὰ ῥύσαιτο ὑμᾶς[1]) ὁ Κύριος ἀπὸ τοιαύτης πλάνης· δοθείη δὲ ὑμῖν ἔχθρα πρὸς τὸν δράκοντα[2]), ἵνα, ὥσπερ ἐκεῖνοι τηροῦσι τὴν πτέρναν, οὕτω καὶ ὑμεῖς αὐτῶν πατήσητε τὴν κεφαλήν. Μνημονεύετε τῶν λεγομένων. Τίς συμφωνία τῶν ἡμετέρων[3]) πρὸς τὰ ἐκείνων; τί τὸ φῶς πρὸς τὸ σκότος; τί τὸ τῆς Ἐκκλησίας σεμνὸν πρὸς τὸ τῶν Μανιχαίων μυσαρόν; Ὧδε τάξις, ὧδε ἐπιστήμη, ὧδε σεμνότης, ὧδε ἁγνεία, ὧδε καὶ τὸ ἐμβλέψαι γυναικὶ πρὸς ἐπιθυμίαν καταγινώσκεται[4])· ὧδε γάμος σεμνότητος[5]), ὧδε ἐγκρατείας ὑπομονὴ[6]), ὧδε παρθενίας ἰσάγγελλον ἀξίωμα· ὧδε βρωμάτων

φλέγονται τῷ ἐρωτικῷ πόθῳ, τὸν νοῦν ἐξαρπασθέντες. Ὅταν οὖν, τρεχόντων αὐτῶν, ἡ παρθένος ἄφαντος γένηται, τότε ὁ Ἄρχων ὁ μέγας προβάλλει τὰς νεφελας ἐξ αὐτοῦ, ὅπως σκοτίσῃ τῇ ὀργῇ αὐτοῦ τὸν κόσμον».

[1]) Ἐθήκαμεν τὸ καταλληλότερον «ὑμᾶς» ἐκ τοῦ Κώδ. Α. ἀντὶ «ἡμᾶς», ὅπερ ἔχουσιν αἱ ἐκδόσεις· διότι κατωτέρω κεῖται «ὑμῖν», οὐχὶ «ἡμῖν».

[2]) Ἐν τῷ Κώδ. Α. ἡ φράσις αὕτη γέγραπται οὕτω· «δῴη ὑμῖν τοιαύτην ἔχθραν πρὸς τὸν δράκοντα».

[3]) Ἐν τῷ Κώδ. Α. καὶ ἐν ταῖς πρὸ τοῦ Τ. ἐκδόσεσι γράφεται «τῶν σῶν» ἀντὶ «τῶν ἡμετέρων». ὁ Τ. προὐτίμησε τὴν γραφὴν τῶν Κωδ. Roe, Casaub. Ταύτην ἐτηρήσαμεν καὶ ἡμεῖς.

[4]) Ἐγράψαμεν «καταγινώσκεται» ἐκ τοῦ Κώδ. Α. ἀντὶ τοῦ ἄχρι τοῦδε φερομένου «κατάγνωσις»· οἱ δὲ Κώδ. R., C. ἔχουσι «καταγνωστέον».

[5]) Ἡ φράσις αὕτη ἐλλείπει παντάπασιν ἐκ τοῦ Κώδ. Α.

[6]) Ὁ Τουτέος νομίζει ὅτι ἐν τῷ ὀνόματι τῆς ἐγκρατείας ἐδήλωσεν ὁ Κύριλλος ἐνταῦθα τὴν τάξιν καὶ κατάστασιν τῆς χηρείας· πιθανὸν τοῦτο, οὐδ' ἀντιλέγομεν τῷ σοφῷ Τουτέῳ· σημειοῦμεν δὲ μόνον ὅτι ἐγκράτεια λέγεται οὐ μόνον ἡ κατάστασις τῆς χηρείας, ἀλλὰ καὶ ἡ ἐν γάμῳ σωφροσύνη· «Τὸν ἐπὶ παιδοποιΐᾳ γήμαντα, ἐγκράτειαν ἀσκεῖν χρὴ» λέγει ὁ ἱερὸς Κλήμης ὁ Ἀλεξ. (Στρωμ. γ΄.). Φησὶ δὲ καὶ ὁ θεῖος Χρυσόστομος· «Εἰπὼν δὲ, διὰ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, αὐτῇ τῇ αἰτίᾳ τῆς συγχωρήσεως εἰς ἐγκράτειαν ἤγαγεν» (Ὁμιλ. ΙΘ΄. εἰς τὴν Α΄. Κορ.)· ὅρα καὶ Θεοφύλακτον (εἰς τὸ ζ΄. κεφ. τῆς Α΄. Κορινθ.). Συνάρμοσον πρὸς ταῦτα καὶ τὸ χωρίον τοῦ Ἀμφιλοχίου (δογ. εἰς τὴν ὑπαπαντὴν σελ. 27), ἔνθα ἐκτίθενται καὶ αἱ

μετάληψις[1]) μετὰ εὐχαριστίας· ὧδε εὐγνωμοσύνη πρὸς τὸν τῶν ὅλων δημιουργόν· ὧδε ὁ Πατὴρ τοῦ Χριστοῦ προσκυνεῖται· ὧδε φόβος καὶ τρόμος διδάσκεται τοῦ βρέχοντος· ὧδε τῷ βροντῶντι καὶ ἀστράπτοντι δοξολογίαν ἀναπέμπομεν.

§. ΛϚ΄. Συναγελάζου τοῖς προβάτοις, φεῦγε τοὺς λύκους, τῆς Ἐκκλησίας μὴ ἀναχώρει. Μίσει καὶ τοὺς ποτὲ εἰς τὰ τοιαῦτα[2]) ὑποπτευθέντας· καὶ ἐὰν μὴ χρόνῳ καταλάβῃς αὐτῶν τὴν μετάνοιαν, μὴ προπετῶς[3]) σεαυτὸν ἐμπιστεύσῃς[4]). Παρεδόθη σοι τῆς μοναρχίας ἡ

τρεῖς τάξεις, τῶν παρθένων, τῶν ἐγγάμων, καὶ τῶν χηρῶν, ἃς ὀνομάζει «τρία τάγματα».

[1]) Ἐθήκαμεν τὸ προσφυέστερον «μετάληψις» ἐκ τῶν Κωδ. A, R., C. ἀντὶ τοῦ ἐν ταῖς ἐκδόσεσι φερομένου «μετοχή».

[2]) Τὸ ἄρθρον «τὰ» ἐλλείπει ἐκ τῶν Κωδ. A., Roe καὶ Casaub.

[3]) Ἀντὶ «προπετῶς» ὁ Κώδ. A. ἔχει τὸ οὐχ ἧττον κατάλληλον «πρότερον».

[4]) Δυσέκνιπτος καὶ δυσαπάλλακτος ἐνιζάνετο ὁ τῆς μανιχαϊκῆς αἱρέσεως ῥύπος ἐν ταῖς ψυχαῖς τῶν ἅπαξ ὑπὸ τῆς πλάνης ταύτης ἐζωγρημένων· διὰ τοῦτο καὶ προσήρχοντο μὲν πολλάκις ἐν ὑποκρίσει μετανοίας, οὐκ ἀπέπτυον δὲ ῥαδίως οὐδ' ἐμυσάττοντο τὰς γοητείας καὶ τὰ μυσαρὰ ὄργια, ἐν οἷς πρότερον ἐτελοῦντο· ὅθεν εἶπε καὶ ὁ Θεοδώρητος (αἱρετ. κακομ. ά. 26)· «Κέχρηνται δὲ καὶ γοητείαις διαφερόντως, τὰ δυσαγῆ αὐτῶν ἐκτελοῦντες μυστήρια· ταύτῃ τοι καὶ δυσέκνιπτος αὐτῶν ἡ διδασκαλία, καὶ τὸν τῶν μυσαρῶν ὀργίων μετειληχότα λίαν ἐστὶ δυσχερὲς μετατιθέναι τῆς τῶν ψυχοφθόρων ἐνεργείας δαιμόνων, ταῖς τῶν τελούντων ἐπῳδαῖς τὰς ἐκείνων καταδεσμούντων ψυχάς». Τὸ δύστροπον τοῦτο καὶ δυσπειθὲς τῆς γνώμης τῶν Μανιχαίων γίνεται φανερὸν καὶ ἐκ τῶν σφοδρῶν καὶ βαρέων διωγμῶν, οὓς ἀνῆψαν καὶ ἐξεκίνησαν κατ' αὐτῶν πολλοὶ αὐτοκράτορες, ἐθνικοί τε καὶ χριστιανοί, διὰ τὸ βδελυρὸν καὶ κακόηθες τῆς αἱρέσεως. Πρῶτος ὁ Διοκλητιανὸς σκληρὸν ἐπαφῆκε διάταγμα κατ' αὐτῶν, ὡς ταραττόντων καὶ διαφθειρόντων τὸν ῥωμαϊκὸν λαόν. (Τὸ διάταγμα τοῦτο ἀνάγνωθι παρὰ τῷ Βαρωνίῳ Annal. ad an. 287.). Εἶτα δὲ καὶ οἱ χριστιανοὶ αὐτοκράτορες Οὐαλεντινιανὸς Α΄., Β΄. καὶ Γ΄., Θεοδόσιος ὁ Μέγας, Ὀνώριος, Θεοδόσιος ὁ Μικρὸς, Ἰουστῖνος καὶ Ἰουστινιανὸς λίαν αὐστηροὺς ἐξέδωκαν νόμους κατὰ τῶν αἱρετικῶν τούτων. (Ὅρα Cod. Theodos. lib. 16. tit. 5. de hæret. καὶ Cod. Iustin. lib. 1. tit. 5. de hæret.). Καὶ ὅμως οὗτοι ὑπὸ τὴν βαρεῖαν δυσμένειαν το-

ἀλήθεια, γνώριζε τὰς βατάνας τῶν μαθημάτων· γίνου δόκιμος τραπεζίτης[1]), τὸ καλὸν κατέχων, ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπεχόμενος. Εἰ δὲ καί ποτε τοιοῦτος γέγονας, μίσησον ἐπιγνοὺς τὴν πλάνην· ἔστι γὰρ ὁδὸς σωτηρίας, ἐὰν ἀπεμέσῃς τὸν ἔμετον, ἐὰν ἀπὸ καρδίας μισήσῃς, ἐὰν ἀποστῇς αὐτῶν[2]) μὴ χείλεσι μόνον, ἀλλὰ καὶ τῇ ψυχῇ· ἐὰν προσκυνήσῃς τὸν Πατέρα τοῦ Χριστοῦ, τὸν Θεὸν νόμου καὶ Προφητῶν· ἐὰν γινώσκῃς τὸν ἀγαθὸν καὶ δίκαιον, ἕνα καὶ τὸν αὐτὸν ὄντα Θεόν· ὃς πάντας ὑμᾶς συντηρήσειε, διαφυλάττων[3]) ὑμᾶς ἀπτώ-

---

σούτων αὐτοκρατόρων διατελοῦντες, καὶ ἐν τῷ πυρὶ τοσούτων σφοδρῶν διωγμῶν φλογιζόμενοι, οὐκ ἀφίσταντο τῆς αἱρέσεως, ἀλλ' ἐνέμενον ἐν τῇ πλάνῃ μετὰ πεισμονῆς παραδόξου διὰ πολλῶν αἰώνων.

[1]) Εἶπε καὶ ὁ Μ. Βασίλειος (εἰς τὸ ἑ. κεφ. τοῦ Ἡσαΐου)· «Δοκίμου τραπεζίτου ἐστὶ τὸ καλὸν κατέχειν, ἀπὸ δὲ παντὸς εἴδους πονηροῦ ἀπέχεσθαι». Καὶ ὁ Μ. Ἀθανάσιος (ὁμιλ. εἰς τὸ κά, κεφ. τοῦ Ματθ.)· «Ὡς δόκιμοι τραπεζῖται τὸ καλὸν ἐκλεξώμεθα, ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπεχόμενοι». Καὶ ὁ Κύριλλος Ἀλεξ. (εἰς τὸ γ'. κεφ. τοῦ Ἰωάννου)· «Δεῖ σοφοὺς εἶναι τοὺς τῶν θείων μυστηρίων ἀκροατὰς, δεῖ δοκίμους εἶναι τραπεζίτας, ὡς εἰδέναι τὸ δόκιμον καὶ τὸ παράσημον νόμισμα». Καὶ ὁ μὲν ἡμέτερος Κύριλλος ἐνταῦθα ἑνικῶς ἐξέθηκε τὴν ῥῆσιν: «γίνου δόκιμος τραπεζίτης»· πλεῖστοι δὲ ἄλλοι πατέρες καὶ συγγραφεῖς πληθυντικῶς ταύτην ἐξήνεγκαν: «γίνεσθε δόκιμοι τραπεζῖται». Ζητεῖται δὲ, πόθεν ἐλήφθη ἡ ῥῆσις αὕτη; οἱ μὲν γὰρ πατέρες ἐκφέρουσι ταύτην ἢ ἐν γένει ὡς λόγιον γραφικὸν, ἢ ὡς εὐαγγελικὸν, ἢ ὡς τοῦ θείου Παύλου· ἀλλ' οὐδαμοῦ τῆς Γραφῆς ἀπαντᾶται τοιαύτη ῥῆσις. Ὁ σοφὸς Κοτελέριος ἐν ταῖς σημειώσεσιν εἰς τὰς Διαταγὰς τῶν Ἀποστ. (lib· β'. κεφ· 36) μετὰ πολλῆς πολυμαθείας ἔγραψε περὶ τοῦ ῥητοῦ τούτου, ἐξερευνῶν πῶς καὶ πόθεν τοσοῦτοι καὶ τηλικοῦτοι συγγραφεῖς ἐκφέρουσι τὴν ῥῆσιν ταύτην ὡς γραφικὴν, μὴ εὑρισκομένην τὴν σήμερον ἐν ᾧ χρώμεθα κειμένῳ. Εἰκάζει δὲ, καὶ τὴν εἰκασίαν ταύτην ἀπεδέξατο καὶ Τουτέος καὶ ἄλλοι συχνοὶ, ὅτι ἡ ῥῆσις αὕτη «γίνεσθε δόκιμοι τραπεζῖται», ἐκ τῆς παραδόσεως ἢ ἐξ ἐπισήμου τινὸς ἀποκρύφου βιβλίου ληφθεῖσα, κατεχωρήθη πρῶτον μὲν ἐν περισελίδῳ, εἶτα δὲ καὶ εἰς αὐτὸ τὸ κείμενον τινῶν χειρογράφων.

[2]) Ἐν τῷ κωδ. Α. «ἀπ' αὐτῶν».

[3]) Ἐγράψαμεν «διαφυλάττων» ἐκ τῶν κωδ. A. R. C. ἀντὶ τοῦ ἁπλοῦ «φυλάττων».

τους, ἀσκανδαλίστους, ἑδραίους ἐν τῇ πίστει, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν[1]).

[1]) Ἡ δοξολογία αὕτη ἐν τῷ τέλει τῆς κατηχήσεως κεῖται οὕτως ἐν τῷ ἀρχιεπισκοπικῷ κώδηκι· «ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ Πατρὶ καὶ τῷ συνανάρχῳ καὶ ἁγίῳ καὶ προσκυνητῷ Πνεύματι τῆς ἀδιαιρέτου Τριάδος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.»

ΚΑΤΗΧΗΣΙΣ Ζ'.

ΦΩΤΙΖΟΜΕΝΩΝ,

Ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα, εἰς τὸ, Πατέρα· καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Ἐφεσίους· «Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν Πατέρα, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται» καὶ τὰ ἑξῆς.

§ Α'. Περὶ μὲν τῆς τοῦ Θεοῦ μοναρχίας αὐτάρκως ἡμῖν ἐν τῇ χθὲς ἡμέρᾳ πρὸς ὑμᾶς εἴρηται· αὐτάρκως δὲ λέγω, οὐ τὸ πρὸς ἀξίαν, (τούτου γὰρ ἐφικέσθαι θνητῇ φύσει παντελῶς ἀδύνατον), ἀλλ' ὅσον ἧκεν εἰς τὴν ἡμετέραν ἀσθένειαν, καὶ τῆς τῶν ἀθέων αἱρεσιωτῶν πολυσχιδοῦς πλάνης τὰς ἐκτροπὰς διῆλθον· ὧν τὸ βορβορῶδες, καὶ τὸ τῶν ψυχῶν ἰοβόλον ἀποσεισάμενοι, καὶ τὰ κατ' ἐκείνους μνημονεύσαντες, οὐχ ἵνα βλαβῶμεν, ἀλλ' ἵνα μειζόνως αὐτοὺς μισήσωμεν· πρὸς ἑαυτοὺς λοιπὸν ἐπανέλθωμεν, καὶ τὰ σωτηριώδη τῆς ἀληθοῦς πίστεως καταδεξώμεθα, τῷ τῆς μοναρχίας ἀξιώματι τὸ πατρικὸν συνάπτοντες, καὶ πιστεύοντες εἰς ἕνα Θεὸν Πατέρα· οὐ γὰρ μόνον εἰς ἕνα Θεὸν δεῖ πιστεύειν [1]), ἀλλὰ καὶ τὸ Πατέρα τοῦτον εἶναι τοῦ

---

[1]) Οὕτω συνηρτημένη κεῖται ἡ φράσις αὕτη ἐν τῷ Κωδ. Α. Ἐν δὲ τοῖς Κώδηξι Roe, Casaub. τὸ «μόνον» κεῖται μετὰ τὸ «δεῖ»· «οὐ γὰρ εἰς ἕνα Θεὸν δεῖ μόνον πιστεύειν»· αἱ δὲ ἐκδόσεις τοῦ Μ. καὶ Τ. «οὐ γὰρ δεῖ μόνον εἰς ἕνα Θεὸν πιστεύειν».

Μονογενοῦς, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, μετ' εὐσεβείας καταδεχώμεθα. [1])

§ Β΄. Ταύτῃ γὰρ ἂν τῶν Ἰουδαίων ἀνώτερα φρονοίημεν, οἳ τὸ μὲν εἶναι ἕνα Θεὸν καταδέχονται τοῖς δόγμασι (τί γὰρ εἰ καὶ τοῦτο

[1]) Παραπλήσια τούτοις ἐφθέγξατο καὶ ὁ τῶν Ἀλεξανδρέων φωστὴρ Κύριλλος· « Πληρεστάτη γὰρ γνῶσις καὶ περὶ Θεοῦ καὶ τῆς τῶν ὅλων ἀρχῆς οὐκ ἐν τῷ εἰδέναι μόνον ὅτι Θεός ἐστιν, ἀλλ' ὅτι καὶ Πατὴρ, καὶ τίνος ἐστὶ Πατὴρ, συνεισβαίνοντος δηλονότι καὶ τοῦ ἁγίου Πνεύματος· τὸ μὲν γὰρ εἰδέναι μόνον ὄντα τὸν Θεὸν, οὐχ ἡμῖν ἂν πρέποι μᾶλλον ἢ τοῖς ὑπὸ νόμον· φρονήσεως γὰρ ἰουδαϊκῆς οὐχ ὑπερίσχει τὸ μέτρον » (Κυριλλ. Ἀλεξ. εἰς Ἰωανν. κεφ. 7.). Ὁ ἱερὸς οὗτος διδάσκαλος κυριώτερον ἐπὶ Θεοῦ ὄνομα νομίζει μᾶλλον τὸ « Πατὴρ » ἢ τὸ « Θεός »· « Κυριώτερον δέ πως ὄνομα τῷ Θεῷ τὸ, Πατὴρ, ἢ Θεός· τὸ μὲν γάρ ἐστι τῆς ἀξίας σημαντικὸν, τὸ δὲ τῆς οὐσιώδους ἰδιότητος ἔχει τὴν δήλωσιν· Θεὸν μὲν γάρ τις εἰπὼν, τὸν τῶν ὅλων ἔδειξε κύριον· Πατέρα γε μὴν ὀνομάσας, τῶν τῆς ἰδιότητος ἅπτεται λόγων· πεφανέρωκε γὰρ ὅτι γεγέννηκεν » (αὐτόθι)· « Τὴν τοῦ Πατρὸς κλῆσιν ἐνδεικτικωτέραν τῆς ἀληθείας » λέγει καὶ ὁ Νύσσ. Γρηγ. (κατὰ Εὐνομ. Λογ. β΄.). Τελείαν πίστεως ὁμολογίαν ὑπολαμβάνει καὶ ὁ Μ. Βασίλειος οὐχὶ τὴν ἁπλῶς Θεὸν ὁμολογοῦσαν, ἀλλὰ τὴν Θεὸν πατέρα κηρύττουσαν· « Μὴ γὰρ νοούντων ἡμῶν τοὺς ἀφωρισμένους περὶ ἑκάστου χαρακτῆρας, οἷον πατρότητα, καὶ υἱότητα, καὶ ἁγιασμὸν, ἀλλ' ἐκ τῆς κοινῆς ἐννοίας τοῦ εἶναι ὁμολογούντων θεὸν, ἀμήχανον ὑγιῶς τὸν λόγον τῆς πίστεως ἀποδίδοσθαι· χρὴ οὖν τῷ κοινῷ τὸ ἰδιάζον προστιθέντας, οὕτω τὴν πίστιν ὁμολογεῖν· κοινὸν ἡ θεότης, ἴδιον ἡ πατρότης· συνάπτοντας δὲ λέγειν, πιστεύω εἰς Θεὸν πατέρα » (Ἐπιςολ. 236.). Ὅθεν καὶ ὁ Μ. Ἀθανάσιος ἄθεον ἐκάλεσε τὸν Ἄρειον, οὐχ ὡς μὴ ὁμολογοῦντα Θεὸν, ἀλλ' ὡς « ἀρνούμενον τὸν υἱὸν, καὶ τοῖς ποιήμασιν αὐτὸν συναριθμοῦντα » (Τόμ. ά, σελ. 137). Γέγραπται δὲ καὶ ἐν τῇ Συνοδικῇ ἐπιςολῇ τῆς ἐν Ἀγκύρᾳ Συνόδου· « Ἡ ἐκκλησία πεπίστευκεν, ὅτι ὁ Θεὸς οὐ μόνον ἐστὶ κτίστης κτισμάτων· τοῦτο γὰρ Ἰουδαῖοί τε καὶ Ἕλληνες ἐπίστανται· ἀλλ' ὅτι καὶ πατήρ ἐστι μονογενοῦς » (ἐν τῇ Συλλογῇ τῶν Συνοδ. Τομ. ά σελ. 255). Ὁ δὲ Χρυσόςομος ἑρμηνεύων τὸ « Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις » (Ἰωάνν. ΙΖ΄, 6) λέγει, ὅτι τὸ φανερωθὲν τοῦτο ὄνομα ἦν οὐχὶ τὸ τοῦ Θεοῦ· τοῦτο γὰρ οὐκ ἠρνοῦντο· ἀλλὰ τὸ τοῦ Πατρός· « Ποῖον ὄνομα ἐφανέρωσεν; ὅτι Θεός· ἀλλὰ προειλήφει ἡ γνῶσις τὸ ὄνομα,

διὰ τῆς εἰδωλολατρείας πολλάκις ἠρνήσαντο;)· τὸ δὲ καὶ Πατέρα εἶναι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦτον, [1]) οὐ παραδέχονται[2]), τοῖς οἰκείοις προφήταις ἐναντία φρονοῦντες, οἵ φασιν ἐν ταῖς θείαις Γραφαῖς· «Κύριος εἶπε πρός με, Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε»· καὶ μέχρι σήμερον φρυαττόμενοι, καὶ συναγόμενοι κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ· νομίζοντες, ὅτι δυνατόν ἐστι Πατρὶ φιλιωθῆναι, χωρὶς τῆς εἰς τὸν Υἱὸν εὐσεβείας, ἀγνοοῦντες, ὅτι οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα, εἰ μὴ διὰ τοῦ Υἱοῦ, τοῦ λέγοντος· «Ἐγώ εἰμι ἡ θύρα», καὶ «ἐγώ εἰμι ἡ ὁδός». Ὁ τοίνυν τὴν ὁδὸν παραιτούμενος τὴν ἀπάγουσαν πρὸς τὸν Πατέρα, καὶ ὁ τὴν θύραν ἀρνούμενος, πῶς τῆς πρὸς τὸν Θεὸν[3]) εἰσόδου καταξιωθήσεται; [4]) ἀντιλέγοντες δὲ καὶ τοῖς ἐν ὀγδοηκοστῷ ὀγδόῳ ψαλμῷ γεγραμμένοις, τό· «Αὐτὸς ἐπικαλέσεταί με, Πατήρ μου εἶ σύ, Θεός μου καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μου· κἀγὼ πρωτότοκον θήσομαι αὐ-

---

καὶ οἱ πλανώμενοι γὰρ λέγουσι Θεὸν, καὶ οἱ ἀπεσχοινισμένοι τῆς εὐσεβείας οὐκ ἀρνοῦνται τὴν προσηγορίαν· ποῖον οὖν ὄνομα ἐγνώρισεν; ὅτι Πατὴρ καλεῖται» (Τόμ. ιϐʹ. σελ. 560.). Τὰ αὐτὰ τῷ χρυσῷ Διδασκάλῳ λέγει καὶ Κύριλλ. Ἀλεξ. (εἰς Ἰωάνν. κεφ. 7).

[1]) Ὁ Κώδ. Α. ἔχει «τοῦτον», καὶ πρὸ αὐτοῦ στίξιν.

[2]) Βλέπε (πάντως) Γρηγ. Νύσσ. κατὰ Εὐνομ. Λογ. ϐʹ, (Τομ. ϐʹ. σελ. 484. καὶ 488).

[3]) Ἀντὶ «πρὸς τὸν Θεὸν» οἱ Κωδ. A. R. C. καὶ Coisl. ἔχουσι «πρὸς τὸν Πατέρα»· οἱ δὲ δύο Κωδ. R. C. πληθυντικῶς ἐξήνεγκον τὴν περίοδον ταύτην· «Οἱ τοίνυν τὴν ὁδὸν παραιτούμενοι .... καὶ τὴν θύραν ἀρνούμενοι .... καταξιωθήσονται».

[4]) Οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα εἰμὴ διὰ τοῦ Υἱοῦ· διὰ τοῦτο λέγεται ὁ Χριστὸς θύρα, ἐπειδὴ δι' αὐτοῦ εἰσερχόμεθα πρὸς τὸν Πατέρα· «Θύρα λέγεται, λέγει ὁ Ἐπιφάνιος, ἐπειδὴ δι' αὐτοῦ εἰσερχόμεθα» (Τόμ. άʹ. σελ. 758)· λέγει δὲ καὶ ὁ Θεοφύλακτος (εἰς τὸ ἱ. κεφ. τοῦ Ἰωάννου)· «Ὅταν θέλῃ δεῖξαι ὅτι αὐτός ἐστιν ὁ προσάγων τῷ Πατρὶ, τότε θύραν ἑαυτὸν λέγει». Ἀλλὰ καὶ αὐτὸς ὁ Κύριλλος λέγει ἀλλαχοῦ (Κατηχ. 1 § 1.)· «Ἐὰν γὰρ ἀρνήσῃ τὴν θύραν, ἀποκέκλεισταί σοι ἡ πρὸς τὸν Πατέρα γνῶσις». Ὅρ. καὶ Γρηγόρ. Ναζιανζ. (Λογ. 36.) καὶ Ἑρμᾶν (Pastor libr. III Simil. IX.), καὶ Μ. Βασίλειον (περὶ τοῦ ἁγίου Πνεύμ. κεφ. ή.).

τόν, ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς». Εἰ γὰρ ταῦτα πρὸς τὸν Δαβίδ, ἢ Σολομῶντα, ἢ καί τινα τῶν καθεξῆς εἰρῆσθαι βιάζοιντο, δειξάτωσαν, πῶς ὁ θρόνος τούτου τοῦ προφητευομένου παρ' αὐτοῖς ἔστιν «ὡς αἱ ἡμέραι τοῦ οὐρανοῦ, καὶ ὡς ὁ ἥλιος ἐναντίον τοῦ Θεοῦ, καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα». Πῶς δὲ καὶ οὐ δυσωποῦνται τὸ γεγραμμένον, «ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε»· καὶ τό, «Συμπαραμενεῖ τῷ ἡλίῳ καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν;» ἅπερ ἐπ' ἄνθρωπον ἀναφέρειν, πάσης ἀγνωμοσύνης ἀνάπλεων καὶ μεστόν. [1])

§ Γ΄. Ἀλλ' Ἰουδαῖοι μὲν τὰ συνήθη τῆς ἀπιστίας, ἔν τε τοῖς ῥηταῖς τούτοις καὶ ἐν τοῖς παραπλησίοις, ἐπειδὴ βούλονται, νοσείτωσαν· ἡμεῖς δὲ τὸ τῆς πίστεως εὐσεβὲς ἀναλαμβάνωμεν, Θεὸν ἕνα τὸν Πατέρα τοῦ Χριστοῦ προσκυνοῦντες· (τὸν γὰρ τοῖς πᾶσι τὸ γεννᾷν χαριζόμενον, τοῦτον τῆς τοιαύτης ἀξίας ἀποστερεῖν ἀνόσιον [2]). Καὶ

---

[1]) Αὐτῶν τούτων τῶν ψαλμικῶν ῥητῶν τὴν ἑρμηνείαν ποιούμενος καὶ ὁ σοφὸς Θεοδώρητος, λέγει· «Ταῦτα μέν τοι οὔτε ἐπὶ Δαβίδ, οὔτε ἐπὶ τοῦ πολυθρυλλήτου Σολομῶντος τετύχηκε πέρατος· οὔτε γὰρ τῆς θαλάττης ἐκράτησε Σολομὼν ἢ Δαβίδ, οὔτε πρωτότοκος ὠνομάσθη Θεοῦ, οὔτε τῶν βασιλέων ἁπάντων τὴν ἐξουσίαν ἐδέξατο. Εἰ δὲ μήτε τῷ Δαβίδ, μήτε τῷ Σολομῶντι ἁρμόττει ταῦτα τὰ ῥήματα, ἀψευδὴς δὲ τοῦ Θεοῦ ἡ ὑπόσχεσις, τυφλώττουσιν Ἰουδαῖοι τὸν ἐκ Δαβὶδ κατὰ σάρκα προσκυνεῖν οὐκ ἐθέλοντες— Δειξάτωσαν τοίνυν οἱ Ἰουδαῖοι τὸν βασιλικὸν τοῦ Δαβὶδ θρόνον . . . . . (εἰς ψαλμ. 88).

[2]) «Ἀδύνατον, λέγει καὶ ὁ Δαμασκηνός, τὸν Θεὸν εἰπεῖν ἔρημον τῆς φυσικῆς γονιμότητος· ἡ δὲ γονιμότης τὸ ἐξ αὐτοῦ, ἤγουν ἐκ τῆς ἰδίας οὐσίας ὅμοιον κατὰ φύσιν γεννᾷν» (ά, 8). Τὸ γεννᾷν ὡς γνώρισμα καὶ σφραγῖδα θείας τελειότητος ἀνακηρύττει καὶ ὁ Ἀλεξανδρ. Κύριλλος (Θησαυρ. έ.)· «Τέλειος δέ, οὐχ ὅτι μόνον ἐστὶ Θεός, ἀλλ' ὅτι καὶ πατήρ· εἰ γὰρ ἀφέλοις τοῦ Θεοῦ τὸ εἶναι πατέρα, ἀναιρήσεις τῆς θείας φύσεως τὸ καρπογόνον, ἵνα μηκέτι τὸ τέλειον ἔχοι, λείποντος αὐτῇ τοῦ γεννᾷν. Γνώρισμα τοίνυν τῆς τελειότητος ἡ καρπογονία, καὶ σφραγὶς τῷ πατρὶ τοῦ εἶναι τέλειον ὁ ἐξ αὐτοῦ προελθὼν ἀχρόνως υἱός». Εἰς τὸ αὐτὸ νόημα φέρουσι καὶ τὰ τοῦ Θεσπεσίου Νύσσης (κατὰ Εὐνομ. ά)· «Εἶτα πῶς τέλειος, μήπω πατὴρ

πιστεύομεν εἰς ἕνα Θεὸν Πατέρα, ἵνα καὶ πρὸ τῶν περὶ Χριστοῦ κινηθησομένων ἡμῖν διδασκαλικῶν λόγων ἡ περὶ τοῦ Μονογενοῦς πίστις ἐγκαταβάλληται τῇ ψυχῇ τῶν ἀκουόντων, ἐκ τῶν μεταξὺ λόγων τῶν περὶ τοῦ Πατρὸς κατὰ μηδοτιοῦν ἀποσχοινιζομένη.

§ Δ΄. Τὸ γὰρ τοῦ Πατρὸς ὄνομα, ἅμα τῷ τῆς ὀνομασίας προσρήματι, νοεῖν παρέχει καὶ τὸν Υἱόν· ὥσπερ ὁμοίως Υἱόν τις ὀνομάσας, εὐθὺς ἐνόησε καὶ τὸν Πατέρα [1])· εἰ γὰρ πατὴρ, πάντως ὅτι πατὴρ υἱοῦ· καὶ εἰ υἱὸς, πάντως ὅτι πατρὸς υἱός. Ἵν᾽ οὖν μὴ ἐκ τοῦ λέγειν οὕτως· «εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων»· εἶτα ἐπαγόντων ἡμῶν καὶ τὸ «εἰς ἕνα Κύριον Ἰησοῦν χριστόν·» ὑπολάβοι [2]) τις οὐχ ὁσίως οὐρανοῦ καὶ γῆς δευτερεύειν τῇ τάξει τὸν Μονογενῆ, διὰ τοῦτο πρὸ τῆς ἐκείνων ὀνομασίας Πατέρα τὸν Θεὸν ὠνομάσαμεν, ἵνα ἅμα τῷ νοεῖν Πατέρα νοήσωμεν καὶ τὸν Υἱόν· Υἱοῦ γὰρ καὶ Πατρὸς οὐδέν ἐστι μεταξὺ τῶν ὄντων [3]).

εἶναι δυνάμενος; » Ὅρα καὶ Ἀθανάσιον (Τομ. ά σελ. 186).

[1]) «Ὁ τὸν Θεὸν Πατέρα καλῶν, εὐθὺς τὸν Υἱὸν θεωρεῖ καὶ νοεῖ »· Ἀθανάσ. (κατὰ Ἀρειαν. Λογ. β΄· σελ. 161. Τόμ. ά.). « Πατέρα γὰρ οὐκ ἄν τις εἴποι μὴ ὑπάρχοντος υἱοῦ· ὁ μέν τοι ποιητὴν λέγων τὸν Θεὸν, οὐ πάντως καὶ τὰ γενόμενα δηλοῖ· ἔστι γὰρ καὶ πρὸ τῶν ποιημάτων ποιητής· ὁ δὲ πατέρα λέγων, εὐθὺς μετὰ πατρὸς σημαίνει καὶ τὴν τοῦ υἱοῦ ὕπαρξιν »· Ἀθανάσιος (Τόμ. ά. σελ. 255). Λέγει δὲ καὶ ὁ Κύριλλος Ἀλεξ. (Θησαυρ. ά)· «Τὸ πατὴρ ὄνομα τὴν περὶ τοῦ υἱοῦ πάντως ἔννοιαν ἐν ἑαυτῷ συμφέρει ». Ὁμοιότατα τοῖς τοῦ ἱεροῦ Κυρίλλου εἰσὶ καὶ ὅσα θεολογεῖ ὁ μακάριος Ἐπιφάνιος (ἐν τῷ Ἀγκυρωτῷ)· « Ὅσον δ᾽ ἀναβῇ σου ἡ διάνοια υἱὸν καταλαμβάνειν καὶ πιστεύειν, νόει ἅμα καὶ πατέρα· τὸ γὰρ ὄνομά ἐστι σημαντικόν· ὅταν γὰρ υἱὸν καλέσῃς, υἱὸν λέγων, νόει πατέρα· ἀπὸ γὰρ τοῦ υἱοῦ πατὴρ νοεῖται· καὶ ὅταν καλέσῃς πατέρα, σημαίνεις υἱόν· πατὴρ γὰρ πάντως υἱοῦ καλεῖται ».

[2]) Οἱ Κωδ. A. R. C. «ὑπολάβῃ».

[3]) Υἱοῦ καὶ πατρὸς μεταξὺ οὐδέν ἐστιν, οὔτε χρόνος, ὡς δείξει τοῦτο ὁ Κύριλλος παρακατιὼν, οὔτε δημιουργική τις σοφία, ὡς ἐφλυάρει ὁ Ἀστέριος, λέγων· « ἄλλην εἶναι παρὰ τὸν Χριστὸν ἐν τῷ Θεῷ σοφίαν, τὴν τοῦ Χριστοῦ καὶ τοῦ κόσμου δημιουργικὴν » (παρὰ τῷ Ἀθανασίῳ Τόμ. ά.

§ Ε΄. Ἔστι τοίνυν ὁ Θεὸς πολλῶν μὲν καταχρηστικῶς πατὴρ· ἑνὸς δὲ μόνου φύσει καὶ ἀληθείᾳ, τοῦ Μονογενοῦς Υἱοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ πατήρ· οὐ χρόνοις τὸ πατὴρ εἶναι κτησάμενος, ἀλλ' ἀεὶ πατὴρ τοῦ Μονογενοῦς τυγχάνων [1]· οὐ γὰρ ἄπαις ὢν πρὸ

σελ. 684)· οὔτε γέννησίς τις ἄλλη καὶ προαγωγὴ οἱαδήποτε, κατὰ τὰς Οὐαλεντινιανῶν καὶ Γνωστικῶν φληνάφους ἐρεσχελίας.

[1]) Ταῦτα ὁ θεσπέσιος Κύριλλος θεηγόρως δογματίζει κατὰ τῶν χριστομάχων Ἀρειανῶν, λεγόντων ὅτι «οὐκ ἀεὶ ὁ Θεὸς πατὴρ ἦν, ἀλλ' ἦν ὅτε ὁ Θεὸς πατὴρ οὐκ ἦν»· (Ἐπιστολὴ Ἀλεξ. παρὰ τῷ Σωκρατ. Ἐκκλ. Ἱστ. ά, 6). Ὅρα καὶ Ἀθανάσιον (Τόμ. ά, σελ. 124). Συνῳδὰ τῷ Κυρίλλῳ βροντᾷ καὶ ὁ Ἐπιφάνιος (Αἱρεσ. 72, 3)· «Πατὴρ δὲ ἀεὶ Πατὴρ, καὶ οὐκ ἦν καιρὸς, ὅτε οὐκ ἦν ὁ Πατὴρ Πατήρ». Βλ. καὶ Γρηγ. Θεολ. (ἐν τῷ γ΄. Θεολογικῷ Λόγῳ). Ὅτι δὲ οὐδεὶς ἐμεσίτευσε χρόνος μεταξὺ Πατρὸς καὶ Υἱοῦ, ἀλλ' ἀεὶ ὁ Πατὴρ ἦν Πατὴρ, τοῦτο καὶ ὁ Κύριλλος ὡς θεμελιῶδες ἐντόνως καὶ ἐπαναληπτικῶς διδάσκει ἐνταῦθα τε καὶ ἐν Κατηχ. ιά, § 7. καὶ πλεῖστοι τῶν ἱερῶν διδασκάλων εὐσεβοφρόνως διατρανοῦσιν· «Ἐν Θεῷ, λέγει ὁ Ἐπιφάνιος, οὐ χρόνος, οὐ καιρὸς, οὐ στιγμὴ χρόνου, οὐκ ἄτομον ὥρας, οὐ ῥιπὴ ὀφθαλμοῦ, οὐ διανοίας μετέωρον ἐνδέχεται, ἀλλ' ὅσον δ' ἀναβῇ σου ἡ διάνοια υἱὸν καταλαμβάνειν καὶ πιστεύειν, νόει ἅμα καὶ πατέρα» (ἐν τῷ Ἀγκυρωτῷ). Ὁ αὐτὸς Πατὴρ λέγει καὶ ἀλλαχοῦ (Τόμ. ά. σελ. 749)· «Οὔτε γὰρ ἔνι χρόνος ἀναμέσον Υἱοῦ καὶ Πατρὸς, ἵνα μὴ χρόνος τις ὑπὲρ πλείων γένηται τοῦ υἱοῦ· δι' αὐτοῦ γὰρ τὰ πάντα, ἄρα καὶ οἱ χρόνοι». Ἀξιάγαστα καὶ τὰ τοῦ ἱεροῦ Ἀλεξάνδρου· «Ἀνάγκη τὸν πατέρα ἀεὶ εἶναι πατέρα· ἔστι δὲ πατὴρ ἀεὶ παρόντος τοῦ υἱοῦ, δι' ὃν χρηματίζει πατήρ· ἀεὶ δὲ παρόντος αὐτῷ τοῦ υἱοῦ, ἀεί ἐστιν ὁ πατὴρ τέλειος, ἀνελλιπὴς τυγχάνων ἐν τῷ καλῷ, οὐ χρονικῶς, οὐδὲ ἐκ διαστήματος, οὐδὲ ἐξ οὐκ ὄντων γεννήσας τὸν μονογενῆ Υἱὸν (Ἐπιστολ. Ἀλεξ. πρὸς Ἀλέξ. Κωνσταντινουπόλ. παρὰ τῷ Θεοδωρ. Ἐκκλ. 15 ά, 3). Ὁ θεῖος Χρυσόστομος συμβουλεύει, ἵνα τὰ χρονικὰ μόρια, πρὸ, καὶ, μετὰ, ἐῶμεν κατὰ μέρος, ὁσάκις λαλοῦμεν περὶ τῆς ἀχρόνου γεννήσεως τοῦ Υἱοῦ· «Εἰ μὲν γὰρ ὡς ἄνθρωπος ἐγέννα, ἀνάγκη μέσον εἶναι τι τοῦ γεννῶντος καὶ τοῦ γεννωμένου· ἐπειδὴ δὲ ἀῤῥήτως καὶ ὡς Θεῷ πρέπον ἐστι, τοῦ πρὸ καὶ τοῦ μετὰ ἀναχώρει· τῶν χρόνων γὰρ ταῦτα ὀνόματα· ὁ δὲ υἱὸς καὶ τῶν αἰώνων πάντων ἐστὶ ποιητής» (Τόμ. ή. σελ. 53). Θαυμάσιά εἰσι καὶ ὅσα περὶ τῆς ὑ-

τούτου, πατὴρ γέγονεν ὕστερον μεταβουλευσάμενος· ἀλλὰ πρὸ πάσης ὑποστάσεως, καὶ πρὸ πάσης αἰσθήσεως, πρὸ χρόνων τε καὶ πρὸ πάντων τῶν αἰώνων τὸ πατρικὸν ἀξίωμα ἔχει ὁ Θεὸς, τούτῳ μᾶλλον ἢ τοῖς λοιποῖς ἀξιώμασι σεμνυνόμενος· καὶ οὐ πάθει πατὴρ γενόμενος, οὐκ ἐκ συμπλοκῆς, οὐ κατὰ ἄγνοιαν, οὐκ ἀποῤῥεύσας, [1]) οὐ μειωθεὶς, οὐκ ἀλλοιωθεὶς [2]) (πᾶν γὰρ δώρημα τέλειον ἄνωθέν ἐστι,

---

ποθέσεως ταύτης θεολογεῖ ὁ Δαμασκηνός· « Ἀεὶ ἦν σὺν τῷ Πατρὶ καὶ ἐν αὐτῷ, ἀϊδίως καὶ ἀνάρχως ἐξ αὐτοῦ γεγεννημένος· οὐ γὰρ ἦν ποτε ὁ Πατὴρ, ὅτε οὐκ ἦν ὁ Υἱός· ἀλλ' ἅμα Πατὴρ, ἅμα Υἱὸς ὁ ἐξ αὐτοῦ γεγεννημένος· Πατὴρ γὰρ ἐκτὸς Υἱοῦ οὐκ ἂν κληθείη· εἰ δὲ ἦν μὴ ἔχων Υἱὸν, οὐκ ἦν Πατήρ· καὶ εἰ μετὰ ταῦτα ἔσχεν Υἱὸν, μετὰ ταῦτα ἐγένετο Πατὴρ, μὴ ὢν πρὸ τούτου Πατήρ· καὶ ἐτράπη ἐκ τοῦ μὴ εἶναι Πατὴρ εἰς τὸ γενέσθαι Πατήρ· ὅπερ πάσης βλασφημίας ἐστὶ χαλεπώτερον κτλ. » (Σελ. 13).

[1]) Ὀρθῶς ἐποίησεν ὁ Τουτέος διορθώσας ἐκ τριῶν κωδήκων τὸ ἄχρι τότε ἐσφαλμένως ἐκδιδόμενον « ἀποῤῥήσας » εἰς τὸ « ἀποῤῥεύσας· ὁ Κώδ. Α. ἔχει ἄλλην γραφὴν « ἀπὸ ῥεύσεως », οὐκ εὐκαταφρόνητον οὐδ' αὐτήν.

[2]) Πάσῃ θνητῇ γεννήσει παρομαρτεῖ ἐκ φύσεως καὶ πάθος, ἢ ῥεῦσις καὶ ἀλλοίωσις, καὶ εἴτι τοιοῦτον· διὰ τοῦτο καὶ ὁ ἱερὸς Κύριλλος ἐν ταῖς Κατηχήσεσι, καὶ οἱ λοιποὶ θεομακάριστοι διδάσκαλοι καὶ Πατέρες, ὁσάκις περὶ τῆς ἐκ τοῦ Πατρὸς γεννήσεως τοῦ Υἱοῦ καὶ Λόγου διαλαμβάνουσιν, ἐνδελεχῶς καὶ ἐντόνως διαγορεύουσι καὶ ἐντέλλονται, ἵνα ἀπομακρύνωμεν ἀπὸ τοῦ νοὸς ἡμῶν πᾶσαν ὁμοιότητα τῶν ἀνθρωπίνων γεννήσεων πρὸς τὴν γέννησιν ἐκείνην· « Ἄλλως ἐστὶν ἡ τῶν ἀνθρώπων γένεσις, λέγει καὶ ὁ Μ. Ἀθανάσιος, καὶ ἄλλος ἐστὶν ὁ Υἱὸς ἐκ τοῦ Πατρός· τῶν μὲν γὰρ ἀνθρώπων τὰ γεννήματα μέρη πως τῶν γεννώντων εἰσίν· ἐπεὶ καὶ αὐτὴ τῶν σωμάτων ἡ φύσις οὐχ ἁπλῆ τις ἐστὶν, ἀλλὰ ῥευστὴ καὶ ἐκ μερῶν ἔχει τὴν σύνθεσιν· ἀποῤῥέουσί τε ἄνθρωποι γεννῶντες, καὶ πάλιν ἐπιῤῥεῖ τὰ ἐκ τῶν τροφῶν εἰς αὐτοὺς εἰσαγόμενα· δι' ἣν αἰτίαν καὶ πολλῶν κατὰ καιρὸν τέκνων γίνονται πατέρες οἱ ἄνθρωποι· ὁ δὲ Θεὸς ἀμερὴς ὢν, ἀμερίστως ἐστὶ καὶ ἀπαθὴς τοῦ υἱοῦ πατήρ· οὔτε γὰρ ἀποῤῥοὴ τοῦ ἀσωμάτου ἐστὶν, οὔτ' ἐπιῤῥοή τις εἰς αὐτὸν γίνεται, ὡς ἐπ' ἀνθρώπων· ἁπλοῦς δὲ ὢν τὴν φύσιν, ἑνὸς καὶ μόνου τοῦ υἱοῦ πατήρ ἐστι» (Τόμ. ά. σελ. 409). Θαυμάσια καὶ τὰ τοῦ Θεολόγου Γρηγορίου (Λογ. λέ)· « Κατάβαλέ σου τὰς ῥεύσεις, καὶ ἃς διαιρέσεις, καὶ τὰς τομὰς, καὶ τὸ

καταβαῖνον ἀπὸ τοῦ πατέρος τῶν φώτων, παρ' ᾧ οὐκ ἔνι παραλλαγή, ἢ τροπῆς ἀποσκίασμα), πατὴρ τέλειος, τέλειον υἱὸν γεννήσας [1]), πάντα παραδοὺς τῷ γεγεννημένῳ· «πάντα γάρ μοι, φησὶ, παρεδόθη ὑπὸ τοῦ πατρός μου»· καὶ τιμώμενος ὑπὸ τοῦ Μονογενοῦς· «ἐγὼ γὰρ τιμῶ τὸν Πατέρα» φησὶν ὁ Υἱός· καὶ πάλιν· «καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ πατρός μου τετήρηκα, καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ». Λέγομεν τοίνυν καὶ ἡμεῖς παραπλησίως τῷ Ἀποστόλῳ· «Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως»· καί· «Κάμπτομεν [2])

ὡς περὶ πνεύματος διανοεῖσθαι περὶ τῆς ἀσωμάτου φύσεως, καὶ τάχα ἂν ἄξιόν τι διανοηθείης Θεοῦ γεννήσεως». Ἀνάγνωθι καὶ Ἰσίδωρον Πηλουσιώτην (lib. γ'· ἐπιστ. 355) καὶ Κύριλλον Ἀλεξανδρείας (ἐν τῷ ἕκτῳ τῶν θησαυρῶν σελ. 43). Σημείωσαι, ὅτι ἡ ἐν Σιρμίῳ Σύνοδος ἐξετόξευσεν ἀνάθεμα κατ' ἐκείνων, οἵτινες ἔλεγον τὴν οὐσίαν τοῦ Θεοῦ πλατύνεσθαι καὶ συστέλλεσθαι, καὶ ἐκ τῆς πλατύνσεως ταύτης τὸν Υἱὸν ὑφίστασθαι· «Εἴ τις τὴν οὐσίαν τοῦ Θεοῦ πλατύνεσθαι καὶ συστέλλεσθαι φάσκοι, ἀνάθεμα ἔστω· εἴ τις πλατυνομένην τὴν οὐσίαν τοῦ Θεοῦ τὸν Υἱὸν λέγοι ποιεῖν, ἢ τὸν πλατυσμὸν τῆς οὐσίας αὐτοῦ Υἱὸν ὀνομάζει, ἀνάθεμα ἔστω»· Σωκρατ. (Ἐκκλ. Ἱστ. β', 30). Ἀλλὰ καὶ Δάμασος ὁ πάπας ἀναθέματι καθυπέβαλε τοὺς τὴν παραπληξίαν ταύτην νοσοῦντας· «Ἀναθεματίζομεν καὶ τοὺς λέγοντας τὸν Λόγον τοῦ Θεοῦ τῇ ἐκτάσει καὶ τῇ συστολῇ ἀπὸ τοῦ Πατρὸς κεχωρίσθαι» Θεοδώρητ. (Ἐκκλ. Ἱστ. ε', 11). Ἡ ἐκ τοῦ πατρὸς προαιώνιος αὕτη γέννησις τοῦ Υἱοῦ καὶ Λόγου ἐγένετο «ἀχρόνως καὶ ἀπαθῶς» κατὰ τὸν Θεολόγον Γρηγόριον (Λόγ. μ')· «ἀῤῥήτως, ἀφράστως, ἀκαταλήπτως, ἀϊδίως» κατὰ τὸν Μ. Ἀθανάσιον (Τόμ. ά. σελ. 468)· «ἀϊδίως καὶ ἀπαθῶς» κατὰ τὸν Εὐλόγιον (παρὰ τῷ Φωτ. Βιβλ. 230)· «ἀχρόνως, ἀκαταλήπτως καὶ ἀνάρχως» κατὰ τὸν Ἐπιφάνιον (ἐν τῷ Ἀγκυρωτῷ)· «θεοπρεπῶς τε καὶ ἀποῤῥήτως» κατὰ τὸν Κύριλλ. Ἀλεξ. (Ἐπιστ. πρὸς τοὺς ἐν Αἰγύπτῳ μοναχοὺς § 8.)· «ἀχρόνως καὶ ἀνάρχως καὶ ἀπαθῶς καὶ ἀῤῥεύστως» κατὰ τὸν Δαμασκηνὸν (ά, 8). Τί δὲ σημαίνει τὸ «κατὰ ἄγνοιαν», ὅπερ ἐνταῦθα λέγει ὁ Κύριλλος, αὐτὸς ὁ Πατὴρ ἐξηγήσατο ἐν τῇ Κατηχ. ιά. § 8.

[1]) Τί σημαίνει τὸ «τέλειον», ἐνταῦθα ἐπὶ τῆς ἀχρόνου γεννήσεως τοῦ Υἱοῦ, ἡρμήνευσεν αὐτὸς ὁ Κύριλλος Κατηχ. ιά, § 7.

[2]) Οἱ Κώδ. R. C. ἔχουσι «κάμ-

τὰ γόνατα πρὸς τὸν Πατέρα, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται», δοξάζοντες αὐτὸν σὺν τῷ Μονογενεῖ· [1]) (ὁ γὰρ ἀρνούμενος τὸν Πατέρα, καὶ τὸν Υἱὸν ἀρνεῖται· καὶ πάλιν· ὁ ὁμολογῶν τὸν Υἱὸν, καὶ τὸν Πατέρα ἔχει [2])· γινώσκοντες, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός.

§ ϛ'. Προσκυνοῦμεν τοίνυν τὸν πατέρα τοῦ Χριστοῦ, τὸν οὐρανοῦ καὶ γῆς ποιητὴν, τὸν Θεὸν Ἀβραὰμ, Ἰσαὰκ καὶ Ἰακώβ· οὗ πρὸς τιμὴν καὶ ὁ πρότερος ἄντικρυς ἡμῶν ἐνταῦθα ναὸς ᾠκοδόμητο· [3]) οὐ γὰρ ἀνεξόμεθα τῶν αἱρετικῶν τῶν τὴν παλαιὰν τῆς και-

---

πτω μου», ὅπως δηλαδὴ καὶ τὸ ἱερὸν κείμενον τοῦ Ἀποστόλου· ἀλλ' ἐτηρήσαμεν τὴν συνήθη γραφὴν, καθότι πληθυντικῶς ἐκφέρεται ὁ λόγος ἔν τε τοῖς προηγουμένοις καὶ ἑπομένοις, μεθ' ὧν κάλλιον συναρμολογεῖται τὸ «κάμπτομεν».

[1]) Ἐν τῷ Κώδ. Α. «διὰ τοῦ Μονογενοῦς»· πρὸς ταύτην τὴν γραφὴν συνᾴδει καὶ ὁ Κοισλιανὸς κώδηξ καὶ ὁ Γροδέκιος· οὐχ ἧττον δὲ ὀρθὸν καὶ εὐσεβὲς δίδωσι νόημα καὶ ἡ γραφὴ «διὰ τοῦ Μονογενοῦς»· βλ. Μ. Βασίλειον (περὶ τοῦ ἁγίου Πνεύμ. κεφ. ά.)

[2]) Ἡ δύναμις τῆς Χριστιανικῆς εὐσεβείας ἐν τούτῳ συνίσταται, ὅτι οὐ μόνον ἕνα ὁμολογεῖ τὸν Θεὸν αὕτη, ἀλλὰ καὶ Πατέρα τοῦτον προσαγορεύει· ἂν δ' ἀφέλῃ τις τὴν τῆς πατρότητος ταύτην ἔννοιαν ἐκ τῆς ἐννοίας τοῦ Θεοῦ, τότε συναφεῖλε καὶ συνεξέλιπε καὶ ἡ ἔννοια τοῦ χριστιανικοῦ Θεοῦ· ὁ γὰρ τῆς πατρότητος ἀπεστερημένος Θεὸς, παντὸς ἄλλου μᾶλλον ἂν εἴη Θεὸς ἢ τῶν Χριστιανῶν, τῶν μηδένα ἄλλον Θεὸν ἀναγνωριζόντων ἢ τὸν Θεὸν Πατέρα. Περὶ τούτου εἴρηνται μὲν καὶ ἀνωτέρω ὀλίγα, παρατίθεμεν δὲ ἐνταῦθα τὰ ἀληθῶς θαυμάσια τοῦ θεσπεσίου Νύσσης· «Ὁ ὁμολογῶν τὸν Πατέρα πάντοτε καὶ ὡσαύτως ἔχειν, ἕνα καὶ μόνον ὄντα, τὸν τῆς εὐσεβείας κρατύνει λόγον, βλέπων ἐν τῷ Πατρὶ τὸν Υἱὸν, οὗ χωρὶς Πατὴρ οὔτε ἐστὶν, οὔτε λέγεται· εἰ δὲ ἄλλον τινὰ παρὰ τὸν Πατέρα Θεὸν ἀναπλάσσει, Ἰουδαίοις διαλεγέσθω, ἢ τοῖς λεγομένοις Ὑψιστιανοῖς, ὧν αὕτη ἐστὶν ἡ πρὸς τοὺς χριστιανοὺς διαφορὰ, τὸ Θεὸν μὲν αὐτοὺς ὁμολογεῖν εἶναί τινα, ὃν ὀνομάζουσιν ὕψιστον, ἢ παντοκράτορα, πατέρα δὲ αὐτὸν εἶναι μὴ παραδέχεσθαι. Ὁ δὲ χριστιανὸς, εἰ μὴ τῷ Πατρὶ πιστεύοι, χριστιανὸς οὐκ ἔςι» (κατὰ Εὐνομ. Λόγ. β'. Τόμ. II, Σελ. 440).

[3]) Τὸν ναὸν τοῦ Σολομῶντος λέγει τὸν πρὸς τὸ ἀνατολικὸν μέρος τῆς

νῆς Διαθήκης ἀποσχιζόντων [1]), ἀλλὰ τῷ Χριστῷ πεισθησόμεθα, τῷ λέγοντι περὶ τοῦ ἱεροῦ· « Οὐκ ᾔδειτε, ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ με εἶναι; » Καὶ πάλιν· « Ἄρατε ταῦτα ἐντεῦθεν, καὶ μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου οἶκον ἐμπορίου »· δι' ὧν σαφέστατα τὸν ἐν Ἱεροσολύμοις πρότερον ναὸν οἶκον εἶναι τοῦ ἑαυτοῦ πατρὸς ὡμολόγει. Εἰ δέ τις ἐξ ἀπιστίας ἀποδείξεις ἔτι πλείονας λαβεῖν βούλεται περὶ τοῦ τὸν πατέρα τοῦ Χριστοῦ τὸν αὐτὸν εἶναι καὶ κόσμου ποιητήν, ἀκουσάτω πάλιν αὐτοῦ λέγοντος· « Οὐχὶ δύο στρουθία ἀσσα-

---

Ἱερουσαλὴμ, ἐπὶ τοῦ ὄρους Μωρία, ᾠκοδομημένον· ἐκ τοῦ ὑψώματος τοῦ ἁγίου Γολγοθᾶ, ἐν ᾧ ἐδίδασκεν ὁ Κύριλλος, κατοπτεύει τις θαυμασίως, καὶ τὴν σήμερον, τό τε δάπεδον καὶ τὴν αὐλὴν καὶ τὰ ἐν αὐτῷ πάντα οἰκοδομήματα καὶ τεμένη, τὰ ἐν ὑστέροις χρόνοις ἀνεγερθέντα. Ὅτι δὲ ὁ ναὸς οὗτος τοῦ Σολομῶντος ἦν ἀπὸ τῶν χρόνων ἤδη τοῦ Τίτου κατηδαφισμένος, πασίγνωστόν ἐστιν ἐκ τῆς ἱστορίας. Ὅτι ὅμως ἐπὶ τῶν χρόνων τοῦ Κυρίλλου ἐσώζοντο ἔτι λείψανά τινα τοῦ ναοῦ ἐκείνου, ἐν ἐρειπίοις καὶ συντρίμμασι κείμενα, τοῦτο βεβαιοῖ ὁ Κύριλλος ἐν τῇ Κατηχ. ιέ. § 15. καὶ ὅρα τὰς ἐκεῖ σημειώσεις. . . .

[1]) Τὴν ἑνότητα ταύτην τῆς παλ. καὶ καιν. Διαθήκης καὶ τὴν ὑφ' ἑνὸς καὶ τοῦ αὐτοῦ Πνεύματος ὑπαγόρευσιν ἀμφοτέρων πολλαχοῦ συνίστησιν ὁ Κύριλλος καὶ ταῖς τῶν κατηχουμένων ψυχαῖς ἐνσημαίνει διὰ τὸ πλῆθος τῶν τότε αἱρετικῶν τῶν τὴν Παλαιὰν τῆς Καινῆς ἀποσχιζόντων, καὶ ἄλλον μὲν εἶναι ληρούντων τὸν Θεὸν τῆς Παλαιᾶς, ἄλλον δὲ τῆς Νέας. Τοιοῦτοι αἱρετικοὶ ἦσαν πρὸ πάντων οἱ περὶ τὸν Μάνεντα καὶ Μαρκίωνα. Περὶ τούτων διελάβομεν ὀλίγα ἐν ταῖς σημειώσεσιν εἰς Κατ. δ', § 33. Ὅρα καὶ Ἐπιφάνιον (Τόμ. ά. σελ. 705· καὶ σελ. 1035), Θεοδώρητον (αἱρετ. κακομυθ. έ, 17). Κατὰ τῶν αἱρετικῶν τούτων ἀνταγωνιζόμενοι καὶ πολλοὶ ἄλλοι Πατέρες τῶν χρόνων ἐκείνων, ἕνα δότην καὶ νομοθέτην ἀμφοτέρων τῶν Διαθηκῶν διαπρυσίως ἀνακηρύττουσιν· « Εἷς ἀμφοῖν ταῖν διαθήκαιν δείκνυται ὁ Θεὸς » διδάσκει Κλήμης ὁ Ἀλεξ. (Στρωμ. 6', 6, § 28)· « Δύο διαθηκῶν εἷς ἐστι νομοθέτης » γράφει ὁ Χρυσόστ. (Τόμῳ 6'. σελ. 382 καὶ τόμ. γ'. σελ. 278)· « Εἷς ἐστιν ἀμφοτέρων τῶν διαθηκῶν ὁ νομοθέτης » κράζει καὶ Ἰσίδωρος ὁ Πηλουσιώτης (βιβλ. δ'. Ἐπιστ. 209). « Ὁ αὐτὸς καὶ τὴν παλαιὰν καὶ τὴν καινὴν δέδωκε διαθήκην » λέγει καὶ ὁ Θεοδώρητος (αἱρετ. κακομυθ. έ, 17).

ρίου πωλεῖται; καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται ἐπὶ τὴν γῆν ἄνευ τοῦ πατρὸς ὑμῶν [1]) τοῦ ἐν οὐρανοῖς»· καὶ τὸ, «Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά»· καὶ τὸ, «Ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι».

§ Ζ΄. Ἀλλ' ἵνα μή τις ἐξ ἀφελείας ἢ κακεντρεχείας ἀνθρώποις δικαίοις ἰσότιμον εἶναι τὸν Χριστὸν ὑπολάβῃ [2]) ἐκ τοῦ λέγειν αὐ-

[1]) Ἐθήκαμεν «ὑμῶν» ἐκ τῶν Κωδ. A., R., C., Coisl. «Ὑμῶν» ἔχει καὶ τὸ ἱερὸν κείμενον τῆς Γραφῆς· αἱ δὲ ἐκδόσεις ἔχουσι «τοῦ πατρός μου».

[2]) Τοὺς αἱρετικοὺς ἐννοεῖ ὁ Πατὴρ ἐνταῦθα, τοὺς δικαίοις ἀνθρώποις ἰσότιμον τὸν Χριστὸν ὑπολαβόντας· πολυειδεῖς δὲ καὶ πολυώνυμοι ἦσαν οἱ αἱρετικοὶ οὗτοι, ἐν πολλοῖς μὲν ἄλλοις ἀπ' ἀλλήλων ἀφεστηκότες, ἐν ταύτῃ δὲ μόνον τῇ δυσσεβείᾳ κοινῷ συνδέσμῳ συντεταγμένοι. Πρῶτος τοιούτων αἱρετικῶν λέγεται ὁ Ἐβίων, ὃς «ἐκ παρατριβῆς καὶ σπέρματος ἀνδρὸς, τουτέστι τοῦ Ἰωσὴφ, τὸν Χριστὸν γεγεννῆσθαι ἔλεγεν»· Ἐπιφάν. (Τόμ. ά. σελ. 125). Οἱ δὲ ἀπ' αὐτοῦ κληθέντες Ἐβιωναῖοι, τῷ τοῦ ἀρχηγέτου δόγματι πιστῶς κατακολουθοῦντες, ὡμολόγουν τὸν Χριστὸν ψιλὸν μὲν ἄνθρωπον, ἀλλὰ προφήτην, «διὰ δὲ ἀρετὴν βίου ἥκοντα εἰς τὸ καλεῖσθαι υἱὸν Θεοῦ», κατὰ τὸν Ἐπιφάνιον (σελ. 142), ἢ «ἀρετῇ καὶ καθαρότητι τῶν ἄλλων διαφέροντα», κατὰ τὸν Θεοδώρητον (αἱρετ. κακ. β΄, 1). Τὴν αὐτὴν ἐνόσησε κακοφροσύνην καὶ Κήρινθος, διδάσκων «τὸν Ἰησοῦν κατὰ φύσιν ἐξ ἀνδρὸς γεγεννῆσθαι καὶ γυναικὸς, τοῦ Ἰωσὴφ καὶ τῆς Μαρίας, σωφροσύνῃ δὲ καὶ δικαιοσύνῃ καὶ τοῖς ἄλλοις ἀγαθοῖς διαπρέψαι»· Θεοδώρητος (αἱρ. κακ. β΄. 3)· Ὅρα καὶ Ἐπιφ. (Τόμ. ά. σελ. 110), καὶ πρὸ πάντων Εἰρην. (ά. 26). Ὁμοία ἦν καὶ ἡ πλάνη τοῦ Καρποκράτους κατὰ τὸν Εἰρην. (ά. 25) καὶ Ἐπιφ. (Τόμ. ά. σελ. 102). Ὅτι δὲ καὶ Θεόδοτος ὁ Σκυτεὺς καὶ Ἀρτέμων, καὶ Παῦλος Σαμοσατεὺς τὴν αὐτὴν ἐκήρυξαν ἀρνησίθεον ἀποστασίαν, γίνεται φανερὸν ἐκ τοῦ Ἐπιφανίου (Τόμ. ά. σελ 463 καὶ σελ. 608), Εὐσεβίου (Ἐκκλ. Ἱστ. έ. 28) καὶ Θεοδωρήτου (αἱρετ. κακομ. β΄. 4 καὶ 5 καὶ 8.). Ὡς οὐραγοὶ δὲ τῆς ἀντιθέου ταύτης ἀρχαίας φάλαγγος θεωροῦνται οἱ περὶ τὸν Ἄρειον, ἄλλοις τρόποις καὶ λόγοις τὴν αὐτὴν ὑποστηρίζοντες βλασφημίαν καὶ κτιστὴν τὴν θεότητα τοῦ Χριστοῦ δυσσεβῶς δογματίζοντες. Ὅρα Ἀθαν. (Τόμ. ά. σελ. 124), Θεοδώρητ. (ἐν

τόν· « Ἀναβαίνω πρὸς τὸν πατέρα μου, καὶ πατέρα ὑμῶν » [1]), καλὸν ἐκεῖνο προδιαστείλασθαι [2]), ὅτι τὸ μὲν τοῦ πατρὸς ἕν ἐστιν ὄνομα, ποικίλη δὲ τῆς ἐνεργείας ἡ δύναμις. Καὶ τοῦτο αὐτὸς γινώσκων, εἴρηκεν ἀσφαλῶς· « Πορεύομαι πρὸς τὸν πατέρα μου, καὶ πατέρα ὑμῶν »· οὐκ εἰπὼν, πρὸς τὸν πατέρα ἐμοῦ καὶ ὑμῶν [3]), ἀλλὰ διελὼν, καὶ εἰπὼν πρῶτον τὸ οἰκεῖον [4]), πρὸς τὸν πατέρα μου, ὅπερ ἦν κατὰ φύσιν· εἶτ' ἐπαγαγὼν, καὶ πατέρα ὑμῶν, ὅπερ ἦν κατὰ θέσιν [5]). Εἰ γὰρ καὶ μάλιστα λέγειν ἐν προσευχαῖς κατηξιώθημεν,

---

τῷ Β'. Διαλόγῳ, Τόμ. δ'. σελ. 52).

[1]) Τῷ ῥητῷ τούτῳ ἐχρῶντο, ἢ μᾶλλον κατεχρῶντο, οἱ θεομάχοι Ἀρειανοὶ πρὸς ὑποστήριξιν τῆς ἰδίας πλάνης, ὡς μαρτυροῦσιν Ἐπιφάνιος (Τόμ. ά. σελ. 777) καὶ Γρηγόρ. Ναζ. (λ'.).

[2]) Ἐτηρήσαμεν τὴν γραφὴν « προδιαστείλασθαι », ἣν ἔθηκεν ὁ Τουτέος ἔκ τινων κωδήκων, καὶ ἣν ἔχει καὶ ὁ Κώδ. Α. Αἱ πρότεραι ἐκδόσεις ἔχουσι « προσδιαστείλασθαι »· ἀλλ' οὐδὲ τοῦτο κατάκριτον· « προσδιαστείλασθαι » ἔχει ἐν τῷ αὐτῷ νοήματι καὶ ὁ Μ. Βασίλειος (Ἐπισ. 125).

[3]) Οὕτω συνᾴδουσαν πρὸς τὸ νόημα ἐθήκαμεν τὴν φράσιν ἐκ τῶν Κωδ. R. C. Τὸ « ἐμοῦ » ἐλλείπει ἐκ πασῶν τῶν ἐκδόσεων, ἀντὶ δὲ « ὑμῶν », ὅπερ ἡμεῖς ἐγράψαμεν ἐκ τοῦ Κώδ. Α., ἐν ταῖς ἐκδόσεσιν ἔκειτο ἐσφαλμένως « ἡμῶν ».

[4]) Ἐν τῷ Κώδ. Α. κεῖται οὕτω· « ἀλλὰ διελὼν πρῶτον, καὶ εἰπὼν τὸ οἰκεῖον ».

[5]) Ὅρα τὸν Κύριλλον ἑρμηνεύοντα τὸ αὐτὸ ῥητὸν καὶ ἐν Κατηχ. ιά. § 19. Αὐτὴν ταύτην τὴν εὐαγγελικὴν ῥῆσιν εἰς μέσον ἀγαγὼν καὶ ὁ Μ. Ἀθανάσιος τῷ αὐτῷ πνεύματι καὶ νοήματι αὐτὴν διηρμήνευσεν· « Ἀπέρχομαι πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν, καὶ θεόν μου καὶ Θεὸν ὑμῶν. Πατὴρ γὰρ αὐτοῦ (τοῦ Χριστοῦ) ἐστὶν ὁ Θεὸς, ὡς προεῖπον, κατὰ φύσιν, ἡμῶν δὲ κατὰ χάριν· καὶ Θεὸς αὐτοῦ γέγονε κατ' οἰκονομίαν, διότι ἄνθρωπος· ἡμῶν δὲ κατὰ φύσιν δεσπότης ἐςὶ καὶ Θεός » (Περὶ τῆς ἐνσάρκου ἐπιφ. Τόμ. ά. σελ. 468). Ὅμοια καὶ τὰ τοῦ μακαρίου Ἐπιφανίου· « Πατέρα μου μὲν κατὰ φύσιν ἐν τῇ θεότητι, καὶ πατέρα ὑμῶν διὰ χάριν δι' ἐμὲ ἐν τῇ υἱοθεσίᾳ· Θεόν μου δὲ ὅτι τὸ ὑμέτερον σαρκίον εἴληφα, καὶ Θεὸν ὑμῶν κατὰ φύσιν καὶ ἀλήθειαν ». Σαφῶς καὶ εὐλήπτως ἐξέφρασε τὸ αὐτὸ νόημα καὶ Εὐθύμιος ὁ Ζιγαβηνὸς (εἰς τὸ κ'. κεφ. τοῦ Ἰωάννου)· « Ἑτέρως δὲ πατέρα ἑαυτοῦ τὸν Πατέρα εἶπε, καὶ

«Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς», ἀλλὰ κατὰ φιλανθρωπίαν ἡ δόσις· οὐ γὰρ κατὰ φύσιν ἐκ τοῦ ἐν οὐρανοῖς πατρὸς γεννηθέντες πατέρα καλοῦμεν αὐτὸν, ἀλλ' ἐκ δουλείας εἰς υἱοθεσίαν πατρικῇ χάριτι διὰ Υἱοῦ καὶ ἁγίου Πνεύματος [1]) μετενεχθέντες, ἀφάτῳ φιλανθρωπίᾳ λέγειν τοῦτο καταξιούμεθα.

§ Η΄. Εἰ δέ τις βούλεται μαθεῖν, ὅπως ἡμεῖς τὸν Θεὸν πατέρα καλοῦμεν, ἀκουέτω τοῦ καλοῦ παιδαγωγοῦ Μωσέως λέγοντος· «Οὐκ αὐτός οὗτός σου πατὴρ ἐκτήσατό σε, καὶ ἐποίησέ σε, καὶ ἔπλασέ σε;» [2]) καὶ Ἡσαΐου τοῦ προφήτου· «Καὶ νῦν Κύριε, πατὴρ ἡμῶν σὺ, ἡμεῖς δὲ πηλὸς, ἔργα τῶν χειρῶν σου πάντες»· σαφέστατα γὰρ ἐδήλωσεν ἡ προφητικὴ χάρις, ὅτι μὴ κατὰ φύσιν, ἀλλὰ κατὰ Θεοῦ χάριν καὶ θέσει [3]) πατέρα καλοῦμεν [4]).

ἑτέρως τῶν μαθητῶν· ἑαυτοῦ μὲν φύσει, ὡς ὁμοουσίου· τῶν μαθητῶν δὲ τῷ λόγῳ τῆς δημιουργίας καὶ προνοίας, ὡς δημιουργημάτων καὶ προνοίας ἀξιουμένων· Θεὸν δὲ καὶ ἑαυτοῦ καὶ τῶν μαθητῶν, ὡς ἀνθρώπων» (σελ. 741). Ὅρα καὶ Γρηγ. Ναζ. (Λογ. λ΄.), Δαμασκηνὸν (δ΄, 8) καὶ Φώτιον (Ἀμφιλοχ. Ζητ. 215). Ἐπὶ πᾶσι τούτοις κείσθωσαν καὶ τὰ καλὰ ἐκεῖνα τοῦ ἀνωνύμου ἑρμηνευτοῦ τῶν Κανόνων· «Οὐκ εἶπε πατέρα ἡμῶν, ἀλλὰ πατέρα μου, φύσει δηλαδὴ, καὶ πατέρα ὑμῶν, χάριτι δηλαδὴ, καὶ θεόν μου καὶ θεὸν ὑμῶν· οὐκ εἶπε θεὸν ἡμῶν, ἀλλὰ θεόν μου, ἂν διέλῃς λεπταῖς ἐπινοίαις τὸ ὁρώμενον ἀπὸ τοῦ νοουμένου, ἤτοι τὴν ἀνθρωπότητα ἀπὸ τῆς θεότητος, καὶ θεὸν ὑμῶν, ὡς δημιουργὸν καὶ Κύριον» (Ἑορτοδρ. σελ. 184).

[1]) Ὁ Κώδ. Α, ἔχει «ἐν ἁγίῳ Πνεύματι».

[2]) Ἐκ τοῦ ἀρχιεπισκοπικοῦ Κώδηκος λαβόντες ἐθήκαμεν «ἔπλασέ σε»· οὕτω κεῖται καὶ ἐν τῷ ἱερῷ κειμένῳ τῶν Ο΄. αἱ δὲ ἐκδόσεις ἔχουσιν «ἔκτισέ σε».

[3]) [4]) Ἐν τῷ Κώδ. Α. κεῖται «κατὰ θέσιν καὶ χάριν».

[4]) Κατὰ δύο τρόπους καὶ σχέσεις λέγεται ὁ Θεὸς πατὴρ τῶν ἀνθρώπων· α΄) τῷ λόγῳ τῆς δημιουργίας καὶ τῆς ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παραγωγῆς, καὶ τῆς διηνεκοῦς ἀγαθοποιοῦ προνοίας· κατὰ ταύτην τὴν ἔννοιαν ὁ Θεὸς ἀληθινῶς καὶ κυρίως πατὴρ ὀνομάζεται τῶν ἀνθρώπων· «Πατὴρ ἡμῶν ὁ Θεὸς, λέγει ὁ Μ. Βασίλειος, οὐ καταχρηστικῶς, οὐδ' ἐκ μεταφορᾶς, ἀλλὰ κυρίως καὶ πρώτως καὶ ἀληθινῶς ὀνομάζεται, διὰ

§ Θ΄. Καὶ ἵνα γνῷς ἀκριβέστερον, ὅτι μὴ πάντως ἐν ταῖς θείαις Γραφαῖς ὁ κατὰ φύσιν πατὴρ μόνον καλεῖται πατὴρ, ἄκουε Παύλου λέγοντος· «Ἐὰν γὰρ μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ' οὐ πολλοὺς πατέρας· ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα»· οὐ γὰρ τῷ γεννῆσαι κατὰ σάρκα, ἀλλὰ τῷ διδάξαι καὶ ἀναγεννῆσαι κατὰ πνεῦμα, Παῦλος ἦν Κορινθίων πατήρ. Ἄκουε δὲ καὶ τοῦ Ἰὼβ λέγοντος· «Ἐγὼ ἤμην πατὴρ ἀδυνάτων»· πατέρα γὰρ ἑαυτὸν οὐ τῷ γεννῆσαι πάντως [1]), ἀλλὰ τῷ κηδεμονεῖν ὠνόμασεν. Αὐτός τε ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ τῷ ξύλῳ κατὰ τὸν τοῦ [2]) σταυροῦ καιρὸν τὴν σάρκα προσηλωμένος, ἰδὼν τὴν Μαριὰμ, τὴν ἑαυτοῦ κατὰ σάρκα μητέρα, καὶ τὸν Ἰωάννην τὸν τῶν μαθητῶν προσφιλέστατον, φησὶ πρὸς ἐκεῖνον μέν, «Ἰδοὺ ἡ μήτηρ

τῶν σωματικῶν γονέων εἰς τὸ εἶναι ἡμᾶς ἐκ τοῦ μὴ ὄντος παράγων, καὶ ταῖς κηδεμονίαις προσοικειούμενος (κατὰ Εὐνομ. βιβλ. β΄.). Ὅθεν εἶπε καὶ ὁ θεῖος Δαμασκηνὸς (ά. 13)· «Κυριώτερον ὁ Θεὸς ἡμῶν ἐστι πατὴρ, ὁ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παραγαγὼν, ἢ οἱ γεννήσαντες, οἱ ἐξ αὐτοῦ καὶ τὸ εἶναι καὶ τὸ γεννᾶν εἰληφότες». Πρβλ. καὶ Θεοδώρητ. (εἰς τὸ γ΄. κεφ. τῆς πρὸς Ἐφεσ.). Ἀλλ' ὅσον κυρίως καὶ ἀληθινῶς καὶ ἂν λέγηται πατὴρ ἡμῶν ὁ Θεὸς κατὰ ταύτην τὴν σχέσιν τῆς δημιουργίας, πάλιν χάριτι μόνον καὶ καταχρηστικῶς πατὴρ λέγεται ἐν συγκρίσει πρὸς τὴν μόνην ἐκείνην φυσικὴν γέννησιν τοῦ μονογενοῦς Υἱοῦ καὶ Λόγου ἐκ τοῦ Πατρὸς, ἣν τοσοῦτον ἀκριβῶς καὶ ἐπιμόνως διαστέλλει ὁ Κύριλλος ἐνταῦθα ἀπὸ πάσης ἄλλης κατὰ χάριν, ἢ θέσιν, ἢ υἱοθεσίαν γεννήσεως. β΄.) Πατὴρ ὀνομάζεται ὁ Θεὸς τῷ λόγῳ τῆς διὰ πίστεως οἰκειώσεως· ὅθεν εἶπε καὶ ὁ Χρυσός. (Ὁμιλ. Ζ΄. εἰς τὴν πρὸς Ῥωμ.). «Ὁ Θεὸς πατήρ ἐστιν οὐ κατὰ τὴν φυσικὴν συγγένειαν, ἀλλὰ κατὰ οἰκείωσιν πίστεως».

[1]) Τά τε χειρόγραφα καὶ αἱ ἐκδόσεις ἔχουσι «πάντας»· «πάντας» ἔχει καὶ ὁ Τ. Ἐπειδὴ δὲ οὐ τοσοῦτον προσφυὲς ἀποδίδοται νόημα, ὁ Κασωβὼν μετέτρεψεν ἐξ εἰκασίας τὸ «πάντας» εἰς τὸ «πένητας»· καὶ ταύτην τὴν διόρθωσιν ἀπεδέξατο καὶ ὁ Μ. ἐν τῇ ἰδίᾳ ἐκδόσει. Ἀλλ' εἰ ἔξεστιν ἐξ εἰκασίας διορθοῦν τι, προαιρούμεθα τρέψαι τὸ «πάντας» εἰς τὸ «πάντως» μᾶλλον ἢ εἰς τὸ «πένητας», καίτοι οὐδὲ τὸ «πάντας» ὅλως κατάκριτον.

[2]) Τὸ ἄρθρον «τοῦ» ἐλλεῖπον ἐκ πασῶν τῶν ἐκδόσεων παρεθήκαμεν ἐκ τοῦ Κώδ. Α.

σου»· πρὸς δὲ τὴν Μαριὰμ, «ἰδοὺ ὁ υἱός σου»· τὴν ὀφειλομένην φιλοστοργίαν ἐκδιδάσκων, καὶ τὸ παρὰ τῷ Λουκᾷ εἰρημένον πλαγίως ἐπιλύων, τὸ «καὶ ἦν ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ θαυμάζοντες»· ὅπερ ἁρπάζουσιν αἱρεσιωτῶν παῖδες [1]) ἐξ ἀνδρὸς αὐτὸν καὶ γυναικὸς γεγεννῆσθαι λέγοντες· ὅν περ γὰρ τρόπον ἡ Μαρία μήτηρ [2]) Ἰωάννου διὰ τὴν φιλοστοργίαν, οὐ διὰ τὸ γεννῆσαι, οὕτω καὶ Ἰωσὴφ πατὴρ ἐκαλεῖτο τοῦ Χριστοῦ οὐ διὰ τὸ γεννῆσαι· «οὐ γὰρ ἔγνω αὐτὴν, κατὰ τὸ Εὐαγγέλιον, ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον»· ἀλλὰ διὰ τὴν περὶ τὴν ἀνατροφὴν κηδεμονίαν γεγενημένην [3]).

§ Ι΄. Τοῦτο μὲν οὖν ὑμῖν ἐν παρεκβάσει νῦν ὡς ἐν ὑπομνήσει λελέχθω. Προσθῶμεν δὲ καὶ μαρτυρίαν ἑτέραν ἀποδεικτικὴν τοῦ καταχρηστικῶς ἀνθρώπων τὸν Θεὸν καλεῖσθαι πατέρα [4])· ὅταν γὰρ ἐν Ἡσαΐᾳ λέγηται πρὸς τὸν Θεόν, «Σὺ γὰρ εἶ πατὴρ ἡμῶν, ὅτι Ἀβραὰμ οὐκ ἔγνω ὑμᾶς, καὶ ἡ Σάῤῥα οὐκ ὠδίνησεν ἡμᾶς» [5]), ἆρα ἔτι

---

[1]) Οἱ αἱρετικοὶ οὗτοί εἰσιν ἐκεῖνοι, οὓς ὀνομαστὶ κατελέξαμεν ἀνωτέρω, οἱ περὶ τὸν Κήρινθον δηλαδὴ καὶ Ἐβίωνα καὶ Καρποκράτην.

[2]) Ἐν τῷ Κώδ· Α. μετὰ τὸ «μήτηρ» ἀκολουθεῖ «ἦν».

[3]) Ἐν τοῖς Κώδ. Roe, Casaub. ἡ περίοδος αὕτη συντομώτερον κεῖται οὕτως· «Οὕτω καὶ Ἰωσὴφ πατὴρ Χριστοῦ διὰ τὸ ὑπουργὸς γενέσθαι τοῦ μυστηρίου καὶ κηδεμών».

[4]) Διὰ πολλῶν πειρᾶται ὁ ἱερὸς Πατὴρ ἵνα δείξῃ ὅτι οὐχὶ φύσει καὶ κυρίως, ἀλλὰ θέσει καὶ χάριτι καὶ καταχρηστικῶς λέγεται πατὴρ ἡμῶν ὁ Θεὸς, φύσει δὲ καὶ κυρίως πατήρ ἐστι τοῦ Μονογενοῦς μόνον. Ἐμμένει δὲ πολὺ εἰς τὴν ὑπόθεσιν ταύτην ἕνεκα τῶν Ἀρειανῶν, τῶν ἐξ ἴσου καὶ τῇ αὐτῇ ἐννοίᾳ ἐφαρμοζόντων τὴν λέξιν «πατὴρ» καὶ ἐφ' ἡμῶν καὶ ἐπὶ τοῦ Σωτῆρος. Ὅθεν εἶπε καὶ ὁ Θεολόγος Γρηγόριος· «ἡμῶν γὰρ κυρίως μὲν Θεὸς ὁ Θεὸς, οὐ κυρίως δὲ πατήρ· καὶ τοῦτό ἐστιν ὃ ποιεῖ τοῖς αἱρετικοῖς τὴν πλάνην, ἡ τῶν ὀνομάτων ἐπίζευξις, ἐπαλλαττομένων τῶν ὀνομάτων διὰ τὴν σύγκρασιν» (Λογ. 30).

[5]) Ἀπὸ μνήμης ἐξέφερε τὴν προφητικὴν ῥῆσιν ἐνταῦθα ὁ θεσπέσιος Κύριλλος, καθὰ καὶ ἐν ἄλλοις πολλοῖς. Ἐν τῷ ἱερῷ τῆς Γραφῆς κειμένῳ κεῖται οὕτω· «Σὺ γὰρ εἶ πατὴρ ἡμῶν, ὅτι Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς, καὶ Ἰσραὴλ οὐκ ἐπέγνω ἡμᾶς». Συνέταξε

περὶ τούτου ζητεῖν χρή; Κἂν ὁ ψαλμῳδὸς λέγῃ, «Ταραχθήτωσαν ἀπὸ προσώπου αὐτοῦ, τοῦ πατρὸς τῶν ὀρφανῶν καὶ κριτοῦ τῶν χηρῶν», ἆρα οὐ πᾶσι πρόδηλον, ὅτι τῶν νεωστὶ τοὺς οἰκείους πατέρας ἀποβεβληκότων ὀρφανῶν πατὴρ ὁ Θεὸς καλούμενος, οὐ διὰ τὸ γεννᾷν ἐξ αὐτοῦ, ἀλλὰ διὰ τὸ κηδεμονεῖν καὶ ὑπερασπίζειν ὠνόμασται; Ἀλλὰ τῶν μὲν ἀνθρώπων, καθὼς εἴρηται, καταχρηστικῶς ἐστι πατήρ· Χριστοῦ δὲ μόνου κατὰ φύσιν ἐστὶ πατὴρ ὁ Θεός, οὐ κατὰ θέσιν· καὶ τῶν μὲν ἀνθρώπων ἐν χρόνοις, Χριστοῦ δὲ πρὸ χρόνων, καθὼς αὐτός φησι· «Καὶ νῦν δόξασόν με σύ, Πάτερ, παρὰ σεαυτῷ τῇ δόξῃ ᾗ εἶχον, πρὸ τοῦ τὸν κόσμον εἶναι, παρὰ σοί».

§ ΙΑ΄. Πιστεύομεν τοίνυν εἰς ἕνα Θεὸν Πατέρα, τὸν ἀνεξιχνίαστον καὶ ἀνεκδιήγητον, ὃν ἀνθρώπων μὲν οὐδεὶς ἑώρακεν, ὁ Μονογενὴς δὲ μόνος ἐξηγήσατο· ὁ γὰρ ὢν ἐκ τοῦ Θεοῦ αὐτὸς ἑώρακε τὸν Θεόν, οὗ τὸ πρόσωπον οἱ ἄγγελοι διὰ παντὸς βλέπουσιν ἐν τοῖς οὐρανοῖς· βλέπουσι δὲ κατὰ τὸ μέτρον τῆς οἰκείας τάξεως ἕκαστος [1]· τὸ δὲ ἀκραιφνὲς τῆς τοῦ Πατρὸς θεωρίας εἰλικρινῶς Υἱῷ σὺν ἁγίῳ Πνεύματι τετήρηται.

§ ΙΒ΄. Ἐνταῦθα τοῦ λόγου γενόμενος, καὶ τῶν πρὸ βραχέος εἰρημένων ὑπομνησθείς, ἐν οἷς ὁ Θεὸς πατὴρ ἀνθρώπων ἀνηγορεύετο, μεγάλως πρὸς τὴν τῶν ἀνθρώπων ἀγνωμοσύνην ἐξίσταμαι. Ὁ μὲν γὰρ Θεὸς ἀφάτῳ φιλανθρωπίᾳ πατὴρ ἀνθρώπων καλεῖσθαι κατηξίωσεν· ὁ ἐν οὐρανοῖς τῶν ἐπὶ γῆς, καὶ ὁ τῶν αἰώνων ποιητὴς τῶν ἐν

δὲ τὸ ῥητὸν ὁ Πατὴρ καὶ ἐκ τοῦ ἑξῆς χωρίου τοῦ Ἡσαΐου (νά, 2.)· «Ἐμβλέψατε εἰς Ἀβραὰμ τὸν πατέρα ἡμῶν καὶ εἰς Σάῤῥαν τὴν ὠδίνουσαν ἡμᾶς».

[1]) Τοῦτ᾽ αὐτὸ εἴρηκεν ὁ Κύριλλος καὶ ἐν Κατηχ. ς΄. § 6. Ὅπερ δὲ εὐθὺς κατωτέρω λέγει περὶ τῆς μόνῳ τῷ Υἱῷ καὶ τῷ Πνεύματι τετηρημένης εἰλικρινοῦς τοῦ Πατρὸς θεωρίας, τοῦτο ὡς ἀμφίστομος μάχαιρα κατασφάζει τοὺς Ἀνομοίους, τοὺς δυσσεβεῖς δηλονότι ἐκείνους, οἵτινες καθαρὰν καὶ πλήρη καὶ ἐναργῆ γνῶσιν Θεοῦ ἔχειν ἐτερατεύοντο, οὓς καὶ ὁ θεῖος Χρυσόστομος διὰ τῶν πέντε ἐκείνων περὶ Ἀκαταλήπτου θαυμασίων ὁμιλιῶν αὐτοῦ ἀφώνους καὶ ἐννεοὺς εἰς τὴν γῆν κατέῤῥιψε, καὶ τὴν ἄνοιαν αὐτῶν ἐξεπόμπευσεν.

χρόνοις· καὶ ὁ τὴν γῆν κατέχων δρακὶ [1]) τῶν ἐπὶ γῆς ὄντων ὡς ἀκρίδων [2])· ὁ δὲ ἄνθρωπος καταλιπὼν τὸν ἐπουράνιον πατέρα, « τῷ ξύλῳ, εἶπε, πατήρ μου εἶ σὺ, καὶ τῷ λίθῳ, σὺ ἐγέννησάς με ». Καί μοι δοκεῖ, διὰ τοῦτο πρὸς τὴν ἀνθρωπότητα λέγει ὁ Ψαλμῳδός· «Καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου», ὃν εἵλου πατέρα, ὃν ἐπεσπάσω πρὸς τὴν ἀπώλειαν.

§ ΙΓʹ. Οὐ μόνον δὲ ξύλα καὶ λίθους, ἔνιοι δὲ καὶ τὸν Σατανᾶν αὐτὸν ἤδη εἵλοντο πατέρα, τὸν ψυχοφθόρον, πρὸς οὓς ἐλεγκτικῶς ἔλεγεν ὁ Κύριος· « Ὑμεῖς τὰ ἔργα τοῦ πατρὸς ὑμῶν ποιεῖτε »· [3]) τοῦ διαβόλου, πατρὸς ὄντος ἀνθρώπων οὐ κατὰ φύσιν, ἀλλὰ κατὰ ἀπάτην· [4]) ὃν γὰρ τρόπον διὰ τῆς εὐσεβοῦς διδασκαλίας Παῦλος Κορινθίων πατὴρ ἐκαλεῖτο, οὕτω καὶ ὁ διάβολος τῶν ἐκ προαιρέσεως αὐτῷ συντρεχόντων καλεῖται πατήρ· οὐ γὰρ ἀνεξόμεθα τῶν κακῶς ἐκλαμβανόντων τὸ εἰρημένον ἐκεῖνο τό, « Ἐκ τούτου γινώσκομεν τὰ τέκνα τοῦ Θεοῦ, καὶ τὰ τέκνα τοῦ διαβόλου », ὡς ὄντων φύσει τι-

---

[1]) Οὕτως ἄνευ τῆς «ἐν» προθέσεως κεῖται ἔν τε τῷ Κωδ. Α. καὶ ἐν ἄλλοις, ὁμοίως καὶ ἐν τῷ ἱερῷ τῆς Γραφῆς κειμένῳ· ὁ δὲ Τ. ἔγραψεν «ἐν δρακί».

[2]) Οὐ δυνάμεθα σιγῇ παραδραμεῖν τὰ θαυμάσια ἐκεῖνα τοῦ χρυσοῤῥήμονος Διδασκάλου, ὅσα περὶ τῆς αὐτῆς ὑποθέσεως εἴρηκεν, ὁμοιότατα τοῖς τοῦ ἱεροῦ Κυρίλλου· « Ὢ πόση τῆς φιλανθρωπίας ἡ ὑπερβολή· ὢ πόση τῆς φιλοτιμίας ἡ ὑπεροχή· ποῖος ἀρκέσει λόγος πρὸς εὐχαριστίαν τοῦ τοσαῦτα πηγάζοντος ἡμῖν ἀγαθά; Σκόπησον, ἀγαπητὲ, τῆς σῆς καὶ τῆς ἐμῆς φύσεως τὴν ἐντέλειαν· ἐρεύνησον τὴν συγγένειαν, τὴν γῆν, τὸν χοῦν, τὸν πηλὸν, τὴν πλίνθον, τὴν σποδόν· ἀπὸ γὰρ τῆς γῆς διαπλασθέντες, πάλιν εἰς τὴν γῆν μετὰ τέλος ἀναλύομεν. Ταῦτα οὖν ἐννοήσας, ἐκπλάγηθι τὸν ἀνεξιχνίαστον πλοῦτον τῆς πολλῆς περὶ ἡμᾶς τοῦ Θεοῦ ἀγαθότητος, ὅτι πατέρα καλεῖν προσετάχθης αὐτὸν, ὁ γήϊνος τὸν οὐράνιον, ὁ θνητὸς τὸν ἀθάνατον, ὁ φθαρτὸς τὸν ἄφθαρτον, ὁ πρόσκαιρος τὸν αἰώνιον, ὁ χθὲς καὶ πρώην πηλὸς τὸν ὄντα πρὸ τῶν αἰώνων Θεόν »· (Τόμ. γʹ. σελ. 35.).

[3]) Ἐν τῷ ἱερῷ Εὐαγγελίῳ κεῖται· « τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν ».

[4]) Ἐσφαλμένως πάντως ἐν τοῖς Κωδ. Roe, Casaub. κεῖται « κατὰ ἀγάπην ».

νῶν καὶ σωζομένων καὶ ἀπολλυμένων ἐν ἀνθρώποις [1])· οὔτε γὰρ ἐπάναγκες, ἀλλ' ἐκ προαιρέσεως εἰς τὴν τοιαύτην ἁγίαν υἱοθεσίαν ἐρχόμεθα· οὔτε ἐκ φύσεως ὁ προδότης Ἰούδας υἱὸς ἦν διαβόλου καὶ τῆς ἀπωλείας [2])· ἦ γὰρ ἂν οὐθ' ὅλως ἐξ ἀρχῆς ἐν ὀνόματι Χριστοῦ δαίμονας ἀπήλασε· σατανᾶς γὰρ σατανᾶν οὐκ ἐκβάλλει· οὐδ' ἂν πάλιν ὁ Παῦλος ἐκ τοῦ διώκειν εἰς τὸ κηρύττειν μετέβαινεν, ἀλλ' αὐτεξούσιος ἡ υἱοθεσία, καθώς φησιν ὁ Ἰωάννης· «Ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ»· οὐ γὰρ πρὸ τῆς πίστεως, ἀλλ' ἐκ τῆς πίστεως τέκνα Θεοῦ γενέσθαι κατηξιώθησαν αὐτεξουσίως.

§ ΙΔ'. Τοῦτο τοίνυν γινώσκοντες, πνευματικῶς ἀναστραφῶμεν [3]),

---

[1]) Τοιοῦτοι αἱρετικοὶ, τοὺς μὲν ἐκλαμβάνοντες φύσει σωζομένους, τοὺς δὲ φύσει ἀπολλυμένους, ἦσαν οἱ Οὐαλεντινιανοὶ, ὧν τῆς κακοφροσύνης μνείαν ἐποιήσατο ὁ Κύριλλος καὶ ἐν Κατ. δ'. § 20., καὶ ὅρα τὰς ἐκεῖ σημειώσεις. Ἐν τῷ Κώδ. Α. ἡ περικοπὴ κεῖται οὕτως· «ὡς ὄντως ὡς σωζομένων φύσει τινῶν ἐν ἀνθρώποις καὶ ἀπολλυμένων».

[2]) Ἐνταῦθα μὲν ὁ Κύριλλος ἐξελέγχει τὴν ἄνοιαν τῶν κακοφρόνων ἐκείνων, οἵτινες εἰς δύο τάξεις διήρουν τοὺς ἀνθρώπους, τοὺς μὲν φύσει καλοὺς καὶ δικαίους, τοὺς δὲ φύσει πονηροὺς καὶ ἀδίκους. Ἀλλ' ὁμοία τῆς πλάνης ταύτης ἦν καὶ ἡ ἄλλη πλάνη, ἡ τὸν Ἰούδαν υἱὸν τῆς ἀπωλείας ποιοῦσα, οὐχὶ διότι ἐκ προαιρέσεως αὐτὸς ἐγένετο κακὸς καὶ προδότης, ἀλλὰ διότι οὕτω προέγνω καὶ προεῖπε περὶ αὐτοῦ ὁ Θεός. Τούτους ἀποῤῥαπίζει οὐ μόνον ὁ Ὠριγένης (παρὰ τῷ Εὐσεβ. Εὐαγγελ. Προπαρ. βιβλ. ς'. κεφ. 11.) καὶ ὁ Ἐπιφάνιος (Τόμ. ά. σελ. 281), ἀλλὰ καὶ ὁ θεῖος Χρυσόστομος (Τόμ. ς'. σελ. 201)· «Προεῖπε, φησὶν, ὅτι προδότης ἔσται, καὶ διὰ τοῦτο προδότης ἐγένετο· ὢ τῆς ἀνοίας, ὢ τῆς ἀναισχυντίας· οὐδὲ γὰρ ἡ πρόγνωσις, ἄνθρωπε, τῆς πονηρίας αἰτία· μὴ γένοιτο· οὐ γάρ ἐστιν ἀναγκαστικὴ τῶν μελλόντων ἔσεσθαι, ἀλλὰ προγνωστικὴ μόνον· οὐκ ἐπειδὴ προεῖπεν ὁ Χριστὸς, διὰ τοῦτο ἐγένετο ἐκεῖνος προδότης· ἀλλ' ἐπειδὴ προδότης ἔμελλε γενέσθαι, διὰ τοῦτο προεῖπεν ὁ Χριστός».

[3]) Αἱ ἐκδόσεις ἔχουσιν «ἀναστρέψωμεν», ὁ Κώδ. Α. «ἀναστρέφωμεν· «ἀλλὰ τὸ «ἀναστραφῶμεν», ἐν τοῖς Κώδ. R. C. εὑρισκόμενον, κρεῖττον ἡμῖν ἔδοξε καὶ πρὸς τὴν ἑξῆς

ἵνα τῆς υἱοθεσίας τοῦ Θεοῦ καταξιωθῶμεν· «Ὅσοι γὰρ πνεύματι Θεοῦ ἄγονται, οὗτοι υἱοὶ Θεοῦ εἰσιν». Οὐδὲν γὰρ ὄφελος ἡμῖν τὴν Χριστιανῶν κεκτῆσθαι προσηγορίαν, μὴ καὶ τῶν ἔργων ἐπακολουθούντων [1]· μήποτε καὶ πρὸς ἡμᾶς, ῥηθῇ τό, «Εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε»· εἰ γὰρ πατέρα ἐπικαλούμεθα τὸν ἀπροσωπολήπτως κρίνοντα κατὰ τὸ ἑκάστου ἔργον, ἐν φόβῳ τὸν τῆς παροικίας ἡμῶν χρόνον ἀναστραφῶμεν, μὴ ἀγαπῶντες τὸν κόσμον, μηδὲ τὰ ἐν κόσμῳ· ἐάν γάρ τις ἀγαπᾷ τὸν κόσμον,

---

ἔννοιαν τοῦ λόγου προσφυέστερον· «ἀναστραφῶμεν» κεῖται καὶ κατωτέρω καθ' ὅλας τὰς ἐκδόσεις.

[1]) Παραπλήσια τῷ ἱερῷ Κυρίλλῳ γράφει καὶ ὁ θεοφόρος Ἰγνάτιος πρὸς τοὺς Μαγνησίους· «Πρέπον ἐστὶ μὴ μόνον καλεῖσθαι χριστιανούς, ἀλλὰ καὶ εἶναι· οὐ γὰρ τὸ λέγεσθαι, ἀλλὰ τὸ εἶναι μακαριστὸν ποιεῖ». Ὅμοια καὶ τὰ τοῦ Χρυσοῤῥήμονος· «Πανταχοῦ χρὴ τῆς τῶν ἔργων ἐργασίας· ταύτης γὰρ ἀπούσης, οὔτε ἡ τοῦ χριστιανοῦ προσηγορία ὠφελῆσαι ἡμᾶς δύναται» (Τόμ. ϐ΄. σελ. 411.). Ἀξιάγαστα καὶ τὰ Ἰσιδώρου τοῦ Πηλουσιώτου (βιϐ. δ΄. Ἐπιστ. 34)· «Ὥσπερ τὸν φιλόσοφον οὐχ ἡ στολὴ καὶ βακτηρία δείκνυσιν, ἀλλ' ἡ παῤῥησία καὶ ἡ πολιτεία· οὕτω καὶ τὸν χριστιανὸν οὐ σχῆμα καὶ λόγος, ἀλλὰ τρόπος καὶ βίος τῷ ὀρθῷ λόγῳ ἐφάμιλλος». Ὁ δὲ θεσπέσιος Νύσσης κατέστρωσε καὶ δύο ἰδίας πραγματείας περὶ τῆς ὑποθέσεως ταύτης, ὧν ἡ μὲν μία ἐπιγράφεται «Περὶ τοῦ τί τὸ χριστιανῶν ὄνομα ἢ ἐπάγγελμα» (Τόμ. γ΄. σελ. 238 ἔκδ. ν)· ἡ δὲ ἄλλη «Ὁποῖον χρὴ εἶναι τὸν χριστιανὸν» (Τόμ. γ΄. σελ. 252 ἔκδ. ν.). Ἐκ τῆς δευτέρας ταύτης ἀποσπῶμεν τὰ ἑξῆς μόνον· «Ἐπειδὴ τοῦ μεγίστου τε καὶ θειοτάτου καὶ πρώτου τῶν ὀνομάτων γέγονε παρὰ τοῦ ἀγαθοῦ δεσπότου ἡμῖν κοινωνία, ὥστε τοὺς τῇ ἐπωνυμίᾳ τοῦ Χριστοῦ τιμηθέντας χριστιανοὺς ὀνομάζεσθαι, ἀναγκαῖον ἂν εἴη πάντα τὰ ἑρμηνευτικὰ τῆς τοιαύτης φωνῆς ὀνόματα καὶ ἐν ἡμῖν καθορᾶσθαι, ὡς μὴ ψευδώνυμον ἐφ' ἡμῖν εἶναι τὴν κλῆσιν, ἀλλ' ἐκ τοῦ βίου τὴν μαρτυρίαν ἔχειν· οὐ γὰρ ἐκ τοῦ καλεῖσθαί τι τὸ εἶναι γίνεται, ἀλλ' ἡ ὑποκειμένη φύσις, οἷα δ' ἂν οὖσα τύχῃ, διὰ τῆς προσφυοῦς τοῦ ὀνόματος σημασίας γνωρίζεται». Σημείωσαι ὅτι ἡ περικοπὴ αὕτη ἀπὸ τοῦ «οὐδὲν γὰρ» ἕως τοῦ «ἐποιεῖτε» εὕρηται καὶ ἐν τῷ Ἀναστασίῳ τῷ Σιναΐτῃ, τῷ ἡμετέρῳ Κυρίλλῳ ἐπιγραφομένη· δικαίως δ' ἔψεξε τὸν Μιλέσιον ὁ Τουτέος, μηδαμοῦ τῶν Κατηχήσεων τοῦ Κυρίλλου κεῖσθαι ταύτην εἰπόντα.

οὐκ ἔστιν ἡ ἀγάπη τοῦ πατρὸς ἐν αὐτῷ. Ὥστε, τέκνα ἀγαπητά, δόξαν τῷ ἐν οὐρανοῖς πατρὶ διὰ τῶν ἔργων προσενέγκωμεν, [1]) ὅπως ἴδωσιν ἡμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Πᾶσαν τὴν μέριμναν ἡμῶν ἐπ' αὐτὸν ἐπιῤῥίψωμεν [2])· οἶδε γὰρ ὁ πατὴρ ἡμῶν ὧν χρείαν ἔχομεν.

ΙΕ'. Τιμῶντες δὲ τὸν ἐπουράνιον πατέρα, καὶ τοὺς τῆς σαρκὸς ἡμῶν πατέρας τιμήσωμεν· ἐπειδὴ σαφῶς ἐν νόμῳ καὶ προφήταις αὐτὸς ὥρισεν ὁ Κύριος, λέγων· « Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς ». Καὶ τοῦ παραγγέλματος τούτου ἀκουέτωσαν μάλιστα τῶν παρόντων οἱ πατέρας καὶ μητέρας κεκτημένοι. « Τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσιν ἡμῶν κατὰ πάντα· τοῦτο γὰρ εὐάρεστόν ἐστι τῷ Κυρίῳ» [3])· οὐ γὰρ εἶπεν ὁ Κύριος· « Ὁ φιλῶν πατέρα ἢ μητέρα οὐκ ἔστι μου ἄξιος »· μὴ τὸ καλῶς γεγραμμένον αὐτὸς ἐξ ἀγνοίας ἐκλάβῃς κακῶς· ἀλλὰ τὸ, « ὑπὲρ ἐμὲ », προσέθηκεν. Ὅταν γὰρ τῷ ἐν οὐρανοῖς πατρὶ οἱ ἐπὶ γῆς πατέρες φρονῶσιν ἐναντία, τότε δεῖ τῷ ῥήματι ἐπακολουθεῖν· ὅταν δὲ μηδὲν ἡμῖν εἰς εὐσέβειαν αὐτῶν ἐμποδιζόντων, ἀγνωμοσύνῃ φερόμενοι, καὶ τῶν εἰς ἡμᾶς αὐτῶν εὐεργεσιῶν ἀμνημονοῦντες, καταφρονῶμεν, τότε χώραν ἕξει τὸ λόγιον, τὸ λέγον· « Ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω.

§ ΙΣΤ'. Χριστιανῶν εὐσέβεια ἐνάρετος πρώτη, τὸ τιμᾷν τοὺς γεννήτορας, τὸ τοὺς πόνους ἀμείψασθαι τῶν φύντων καὶ πάσῃ δυνάμει

---

[1]) Ἡ φράσις αὕτη ἐν τοῖς Κωδ. Roe, Casaub. ἀναγινώσκεται οὕτω· «τῷ ἐν οὐρανοῖς πατρὶ διὰ τῶν ἔργων εὐαρεστήσωμεν ».

[2]) Αἱ πρὸ τοῦ Τ. ἐκδόσεις ἔχουσιν «ἐπιῤῥίψαντες», ὁμοίως καὶ ὁ Κώδ. Α., ἀναφέρεται δὲ τότε τὸ μετοχικὸν εἰς τὸ ἀνωτέρω «προσενέγκωμεν». Ὁ δὲ Τουτέος ἐκ τῶν τριῶν Κωδ. Coisl., R., C. ἔγραψεν «ἐπιῤῥίψωμεν», ἣν γραφὴν ἐτηρήσαμεν καὶ ἡμεῖς.

[3]) Ἡ ῥῆσις ἐκ τῆς πρὸς Κολασσ. ἐπιστολῆς, ἐν ᾗ ἐλλείπει τὸ «ὑμῶν»· κεῖται ὅμως τοῦτο ἐν τῷ παραλλήλῳ χωρίῳ τῆς πρὸς Ἐφεσίους ἐπιστολῆς (ς', 1.).

τὰ πρὸς ἀνάπαυσιν αὐτοῖς προσενεγκεῖν [1]· κἂν γὰρ τὰ πλεῖστα [2]) τούτοις ἀποδῶμεν, ἀλλ' ἀντιγεννῆσαι τούτους οὐδέποτε δυνησόμεθα [3]), ἵνα καὶ αὐτοὶ τῆς παρ' ἡμῶν ἀναπαύσεως ἀπολαύσαντες, εὐλογίαις ἡμᾶς στηρίξωσιν, ἃς ὁ πτερνιστὴς Ἰακὼβ ἐμφρόνως ἥρπασε· καὶ τὴν ἀγαθὴν ἡμῶν προαίρεσιν ὁ ἐν οὐρανοῖς πατὴρ ἀποδεξάμενος καταξιώσειεν ἡμᾶς μετὰ τῶν Δικαίων λάμπειν, ὡς ὁ ἥλιος, ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς ἡμῶν· ᾧ ἡ δόξα σὺν τῷ μονογενεῖ καὶ σωτῆρι Ἰησοῦ Χριστῷ, σὺν τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι [3]), νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

[1]) «Προσενεγκεῖν» ὡς καταλληλότερον, ἐγράψαμεν ἐκ τοῦ Κώδ. Α., ἅπασαι δὲ αἱ ἐκδόσεις ἔχουσιν «ἐπενεγκεῖν».

[2]) Ἀντὶ «τὰ πλεῖςα» ὁ Κώδ. Α. ἔχει «ταῦτα πλεῖστα».

[3]) Οὐ παροπτέα, οὐδ' ἀνάξια τῆς ἐνταῦθα μνήμης ἔδοξαν ἡμῖν καὶ ὅσα ὁ ἐκ τῆς μονῆς τοῦ ἁγίου Σάββα Ἀντίοχος ἐν τῇ ἐπιστολῇ αὐτοῦ (κεφ. 108) γράφει περὶ τιμῆς τῶν γονέων, συνῳδὰ πρὸς ἐκεῖνα τοῦ Κυρίλλου· «Τοῦ τιμᾷν τοὺς τεκόντας ἡμᾶς καὶ ἀμοιβὰς αὐτοῖς ἀποδιδόναι ὀφειλέται ἐσμὲν καὶ ἐκ τῆς φυσικῆς νομοθεσίας· ἐν πρώτοις μέν, ὅτι τὸ αἰσθητὸν τοῦτο φῶς δι' αὐτῶν ἑωράκαμεν· ἔπειτα δὲ καὶ τὸ νοητόν, τουτέστι τὴν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν διὰ τοῦ βαπτίσματος ἐπίγνωσιν· καὶ διὰ τὴν φυσικὴν αὐτῶν πρὸς τὰ ἴδια ἔκγονα στοργήν, καὶ διὰ τὸν κόπον, ὃν ὑπομένουσι περὶ τῆς ἀνατροφῆς αὐτῶν, καὶ τὴν μέριμναν, ἣν ἔχουσι νυκτὸς καὶ ἡμέρας δι' αὐτά, μή τι τῶν ἀβουλήτων αὐτοῖς συναντήσῃ· καὶ ἐργαζόμενοι καὶ μοχθοῦντες περὶ ἐνδύματος καὶ τροφῆς αὐτῶν, καὶ τοῦ ἀποθησαυρίσαι αὐτοῖς μετὰ θάνατον. Ποίας οὖν ἀξίας ἀμοιβὰς ὑπὲρ τούτων πάντων δυνάμεθα ἀνταποδοῦναι αὐτοῖς; Πάντοτε τοιγαροῦν σπουδάσωμεν τὰ εἰς τὴν τιμὴν καὶ θεραπείαν καὶ ἀνάπαυσιν αὐτῶν διαπράττεσθαι, ἐξαιρέτως δὲ ἐν τῷ γήρει αὐτῶν». Σημείωσαι ὅτι τὴν περὶ τῆς περιθάλψεως καὶ γηροτροφίας τῶν γεννητόρων ἀξιάγαστον ταύτην νουθεσίαν τοῦ Κυρίλλου ἀπὸ τοῦ «χριστιανῶν εὐσέβεια» ἕως τοῦ, «δυνησόμεθα» ἀναφέρει κατὰ λέξιν καὶ ὁ θεῖος Μάξιμος (ἐν τῷ κγ΄. Λόγῳ). Ὁ Τουτέος εἰκάζει ὅτι ἀντέγραψέ τινα ἐξ αὐτῶν καὶ ὁ ἱερὸς Νεῖλος (Ἐπιστ. 206 βιβλ. β΄.).

[3]) Ἡ δοξολογία αὕτη ἐν τῷ Κώδ. Α. κεῖται συντομωτέρα οὕτως· «ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν».

ΚΑΤΗΧΗΣΙΣ Η'.

ΦΩΤΙΖΟΜΕΝΩΝ,

Ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα, εἰς τὸ, Παντοκράτορα. Καὶ ἀνάγνωσις ἐκ τοῦ Ἱερεμίου· Ὁ Θεὸς ὁ μέγας, καὶ ὁ ἰσχυρὸς Κύριος· ὁ μέγας τῇ βουλῇ, καὶ δυνατὸς τοῖς ἔργοις, ὁ παντοκράτωρ, ὁ μεγαλώνυμος Κύριος,» καὶ τὰ ἑξῆς.

§ Α'. Διὰ μὲν τοῦ πιστεύειν εἰς ἕνα Θεὸν, πᾶσαν πολύθεον πλάνην ἐκκόπτομεν, ὅπλῳ τούτῳ κεχρημένοι πρὸς Ἕλληνας καὶ πᾶσαν ἐναντίαν αἱρετικῶν δύναμιν· διὰ δὲ τοῦ προστιθέναι, «εἰς ἕνα Θεὸν Πατέρα,» πρὸς τοὺς ἐκ περιτομῆς μαχόμεθα, τοὺς ἀρνουμένους τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ. Καθὼς γὰρ εἴρηται τῇ χθὲς ἡμέρᾳ, καὶ πρὶν τρανῶσαι τὰ περὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῷ εἰπεῖν ὅτι Πατὴρ, ἤδη ἐδηλώσαμεν, ὅτι υἱοῦ ἐστι πατὴρ, ἵνα ὥσπερ νοοῦμεν, ὅτι Θεὸς ἐστιν, οὕτω νοήσωμεν, ὅτι καὶ υἱὸν ἔχει. Προστίθεμεν δὲ πρὸς ἐκείνοις ὅτι καὶ, Παντοκράτωρ ἐστί· τοῦτο δὲ καὶ διὰ Ἕλληνας καὶ Ἰουδαίους ὁμοῦ [1]) καὶ πάντας αἱρετικούς φαμεν.[2])

---

[1]) Τὸ «ὁμοῦ» τοῦτο ἐλλείπει ἐκ τῶν Κωδ. Α., Roc, Casaub. οὐδ' ἔστιν ἀναγκαῖον.

[2]) Ἀπορήσειέ τις ἐνταῦθα, διατί ὁ Πατὴρ συναριθμεῖ καὶ τοὺς Ἰουδαίους, τοὺς παντοκράτορα τὸν Θεὸν ἀνομολογοῦντας ἐν ἑκάστῃ σχεδὸν σελίδι τῆς παλαιᾶς Γραφῆς; Ἰουδαίους ἐννοεῖ ἴσως ὁ θεῖος Κύριλλος ἐνταῦθα οὐχὶ τοὺς καθαρῶς καὶ γνησίως

§ Β'. Ἑλλήνων μὲν γάρ τινες ψυχὴν τοῦ κόσμου τὸν Θεὸν εἶπον [1]), καὶ ἕτεροι τὴν ἐξουσίαν αὐτοῦ φθάνειν εἰς οὐρανὸν μόνον, μὴ-

τῇ διδασκαλίᾳ τῆς παλαιᾶς Γραφῆς προσανακειμένους, ἀλλὰ τοὺς αἱρεσιώτας τοὺς περὶ τῆς θείας προνοίας ϛρεβλὰ δογματίζοντας. Τοιοῦτοι ἦσαν οἱ Φαρισαῖοι, « οἱ τύχῃ καὶ εἱμαρμένῃ ἐπιγράφοντες τὴν τῶν ἁμαρτανόντων πρᾶξιν » (Ἀποστολ. Διαταγ. ϛ', 6). Τοιοῦτοι καὶ πολλῷ τούτων χείρονες ἦσαν οἱ Βασμώθεοι, « οἱ πρόνοιαν ἀρνούμενοι, ἐξ αὐτομάτου δὲ φορᾶς λέγοντες τὰ ὄντα συνεστάναι, καὶ ψυχῆς τὴν ἀθανασίαν περικόπτοντες » (αὐτόθι). Περὶ τῶν Βασμωθέων τούτων ὅρα Ἡγήσιππον (παρὰ τῷ Εὐσεβίῳ δ', 22.), Νικηφόρ. (δ'. 7.), Θεοδώρητον (αἱρετ. κακομυθ. ά, 1.), Σωφρόνιον ἐν τῇ πρὸς Σέργιον ἐπιστολῇ (Πράξ. 6 τῆς ϛ'. Οἰκουμ. Συν·).

[1]) «Εἶπαν» ἔχουσιν οἱ Κώδ. Α., Roe, Casaub.—Ἐκ πολλῶν φιλοσοφικῶν Σχολῶν ἦσαν οἱ τὸ δόγμα τοῦτο ἐπαγγελλόμενοι. Ἐν πρώτοις μαρτυροῦνται οἱ Στωϊκοὶ ὡς τὴν δόξαν ταύτην ἐσχηκότες, καὶ τὸν Θεὸν ψυχὴν τοῦ κόσμου ὑπολαβόντες· « Τὸν Θεὸν νοῦν ὁρίζουσι καὶ ὡς ψυχὴν τοῦ παντὸς » λέγει περὶ αὐτῶν ὁ μακάριος Ἐπιφάνιος (Τόμ. ά. ἐν τῇ προτεταγμένῃ ἐπιστολῇ, καὶ Τόμ. 6'. σελ. 132). Τοῦτ' αὐτὸ βεβαιοῖ καὶ Διογένης ὁ Λαέρτιος (Ζ', 138) γράφων· « Τὸν δὴ κόσμον οἰκεῖσθαι κατὰ νοῦν καὶ πρόνοιαν—εἰς ἅπαν αὐτοῦ μέρος διήκοντος τοῦ νοῦ, καθάπερ ἐφ' ἡμῶν τῆς ψυχῆς ». Πρὸς ταῦτα συνάδουσι καὶ ἅπερ γράφει ὁ Πλούταρχος περὶ τῶν Στωϊκῶν (Ἀρέσκοντ. τοῖς φιλ. ά, 7.), ὅτι δηλ. τὸν Θεὸν ἀπεφαίνοντο « πνεῦμα διῆκον δι' ὅλου τοῦ κόσμου ». Διά τοι τοῦτο οἱ Στωϊκοὶ καὶ τὸν κόσμον ὅλον ἐθεώρουν ὡς ζῶον (Διογέν. Λαέρτ. Ζ'. 139), ὅπερ ὁ Θεὸς ἐζωογόνει ὡς δύναμις, νῦν μὲν συστελλομένη, νῦν δὲ ἐκτεινομένη (Ἀθανασ. Τόμ. ά. σελ. 309). Ὅρα καὶ Κλήμεντα Ἀλεξ. (ἐν τῷ προτρεπτικῷ έ. § 66. καὶ Στρωματ. έ. 14, § 90), Τερτυλλιανὸν (adversus Hermog. cap. 44.). Ὅτι δὲ τὴν δόξαν ταύτην ἔσχε καὶ Πυθαγόρας, μαρτυρεῖ ὁ Κικέρων, γράφων· « Pythagoras censuit Deum animum esse per naturam rerum omnium intentum et commeantem » (de natur. Deor. I.) καὶ ὁ Μινούκιος (ἐν τῷ Ὀκταβ. σελ. 151). Ἦν δὲ τοῦτο πρὸς τούτοις δόγμα κοινὸν τῶν τε Ἀκαδημαϊκῶν καὶ Περιπατητικῶν, ὡς μαρτυρεῖ ὁ αὐτὸς Κικέρων (αὐτόθι). Βλ. καὶ Κλήμεντα Ἀλεξ. (ἐν τῷ Προτρεπτικῷ έ. § 66). Ἀλλὰ καὶ αὐτὸς ὁ Πλάτων ψυχὴν τοῦ κόσμου ἐκάλει τὴν τρίτην ἐκείνην ὑπόστασιν ἢ τὸν τρίτον θεὸν, περὶ οὗ ὁ Εὐσέβιος (Εὐαγγελ. Προπαρ. βιβλ. ιά.) καὶ ὁ Κύριλλος Ἀλεξ. (κατὰ Ἰουλιαν. βιβλ. γ'.)· « Προσεπινοεῖ

κέτι δὲ καὶ εἰς γῆν· [1]) καί τινες δὲ πλανηθέντες μετ' ἐκείνων, κακῶς

δὲ καὶ τρίτον αἴτιον, τάξει δὲ καὶ φύσει τῶν πρώτων μειονεκτούμενον, ὃ δὴ καὶ ψυχὴν τῶν ὄντων ἀποκαλεῖ· » καὶ ἀλλαχοῦ· « Ὁ γοῦν Πλάτων θεὸν μὲν τὸν ἀνωτάτω φησί τ' ἀγαθόν· ἐξ αὐτοῦ γε μὴν ἀναλάμψαι νοῦν, καὶ τούτου εἶναι τὸν προσεχῆ τῷ κόσμῳ δημιουργὸν, ὄντος ἐν ἀκινησίᾳ τοῦ πρώτου· καὶ τρίτην εἰσφέρει ψυχὴν, ὑφ' ἧς τὰ πάντα κινεῖσθαί τε καὶ ἐμψυχοῦσθαί φησι» (κατὰ Ἰουλιαν. βιβλ. δ'.). Τὴν δόξαν ταύτην τῶν παλαιῶν Ἑλλήνων φιλοσόφων ἀνενέωσε καὶ νεκρὰν ἤδη ἀνεῤῥίπισεν ἐν τοῖς νεωτέροις χρόνοις ὁ ἰταλὸς φιλόσοφος Ἰορδάνης Βροῦνος, ἐπὶ πυρᾶς κατακαυθεὶς τῷ 1600 (A. Schvvegler's, Geschichte der Philos. S. 95. — Tennemann's, Grundriss der Gesch. der Philos. S. 328. 5 Aufl.).

[1]) Τούτους, τοὺς μέχρι σελήνης μόνον τὴν πρόνοιαν τιθέντας, ἀναφέρει τε καὶ ἐλέγχει καὶ ὁ Χρυσόστομος (Τόμ. ἰ. σελ. 465, καὶ Ὁμιλ. ϐ'. εἰς τὴν πρὸς Ἑϐρ.). Ὀνομαστὶ δὲ ἡ πλάνη αὕτη ἀποδίδοται εἰς τὸν Ἀριστοτέλη· « Ὁ δὲ Νικομάχου μέχρι σελήνης ὑπείληφε τὸν Θεὸν πρυτανεύειν, τῶν δὲ μετὰ ταύτην ἁπάντων ἠμεληκέναι, καὶ τῇ τῆς εἱμαρμένης ἀνάγκῃ παραδεδωκέναι τὴν τούτων ἐπιτροπείαν »· Θεοδώρητος (ἑλλην. θεραπευτ. παθημ. λόγ. ς'. σελ. 561)· φησὶ δὲ καὶ Τατιανὸς (Λόγ. πρὸς τοὺς Ἕλληνας)· «Γελάσαιμι δ' ἂν καὶ τοὺς μέχρι νῦν τοῖς δόγμασιν αὐτοῦ (τοῦ Ἀριστοτέλους) καταχρωμένους, οἳ τὰ μετὰ σελήνην ἀπρονόητα λέγοντες εἶναι » κ. τ. λ. Πρϐλ. Κλήμ. Ἀλεξ. (ἐν τῷ Προτρεπτικῷ σελ. 58). Περίεργος δέ ἐστιν ἡ διαϐεϐαίωσις τοῦ Ἀλεξανδρέως Κλήμεντος, ὅτι τὴν τῆς δόξης ταύτης ἀφορμὴν δέδωκε τῷ Ἀριστοτέλει τὸ ψαλμικὸν ἐκεῖνο ῥητόν· Κύριε, ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου, καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν (Στρωμ. ἐ. 14, § 91)· «Ἀριστοτέλει δὲ μέχρι σελήνης ἐπῆλθε κατάγειν τὴν πρόνοιαν ἐκ τοῦδε τοῦ ψαλμοῦ» κτλ. Πλὴν ἀλλὰ πολλοὶ τῶν νεωτέρων ἀπεκάθηραν τὸν Σταγειρίτην φιλόσοφον ἀπὸ τῆς κηλῖδος ταύτης, διατεινάμενοι ὅτι οὐκ ὀρθῶς οὐδ' εὐλόγως, ἀλλ' ἐκ παρερμηνείας χωρίων τινῶν ἐξήχθη ἡ πλάνη αὕτη. Βίϐλον ὅλην συνέταξε περὶ τούτου Σολομών τις Γέσνερος, ὃς ἐν τριάκοντα ἀποδείξεσιν, ἐξ αὐτῶν τῶν συγγραμμάτων τοῦ Ἀριστοτέλους ἀναλεχθείσαις, κατηκόντισε τοὺς τὴν δόξαν ἐκείνην περιάψαντας τῷ ὑπάτῳ τῶν φιλοσόφων. Ἀλλ' ἐὰν ἐγκύψας τις ἀκριϐέστερον ἐξετάσῃ αὐτὸν τὸν Ἀριστοτέλη, εὑρήσει ὅτι ῥητῶς μὲν καὶ διαῤῥήδην οὐδὲν τοιοῦτον εἴρηκεν οὐδαμοῦ· ἐξ ὧν δ' εἶπε περὶ οὐρανοῦ καὶ

τῷ ῥητῷ συγχρησάμενοι [1]) τῷ λέγοντι, «Καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν», ἐτόλμησαν τὴν τοῦ Θεοῦ πρόνοιαν ἕως νεφελῶν περιγράψαι καὶ οὐρανοῦ, ἀπαλλοτριῶσαι δὲ τοῦ Θεοῦ τὰ ἐπὶ γῆς, ἐπιλαθόμενοι τοῦ ψαλμοῦ τοῦ λέγοντος· «Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει». Εἰ γὰρ ὑψηλότερον μὲν οὐρανοῦ οὐδέν ἐστι, βαθύτερον δὲ τῆς γῆς ὁ ᾅδης [2]), ὁ τὰ κατώτερα κρατῶν ἅπτεται καὶ τῆς γῆς.

§. Γ΄. Αἱρετικοὶ δὲ πάλιν, καθὼς εἴρηται καὶ πρότερον [3]), οὐκ οἴδασιν ἕνα παντοκράτορα Θεόν· παντοκράτωρ γάρ ἐστιν ὁ πάντων κρατῶν, ὁ πάντων ἐξουσιάζων [4])· οἱ δὲ λέγοντες τὸν μὲν εἶναι τῆς

τῶν ἐν αὐτῷ ἀστέρων, δύναταί τις, καὶ πάνυ ῥᾳδίως, συμπεράναι τοῦτο· Βλ. Zeller (die Philosophie der Griechen II, S. 472.),--Kirchen-Lexicon der kathol. Theologie Tom. I, S. 416.). Ὁ Κύριλλος ἀναφέρει καὶ ἄλλους ὑπὸ στρεβλῆς παρερμηνείας τοῦ ψαλμικοῦ ῥητοῦ ἐξαπατηθέντας, καὶ ἕως τῶν νεφελῶν μόνον τοῦ Θεοῦ τὴν πρόνοιαν περιγράψαντας· ἀλλὰ τίνες ἄρά γε ἦσαν οὗτοι, οἱ τοσοῦτον κακῶς τῷ ῥητῷ συγχρησάμενοι, καὶ τοσαύτην δυσσέβειαν ἐκεῖθεν ἀντλήσαντες; Ὁ Τουτέος εἰκάζει, καὶ οὐκ ἀπιθάνως, ὅτι ἦσαν Ἰουδαῖοί τινες, αἱρέσεσι προσανήκοντες, καὶ περὶ τὸ δόγμα τῆς θείας Προνοίας νοσοῦντες, ἴσως οἱ Βασμώθεοι, περὶ ὧν ἐγένετο λόγος καὶ μικρὸν ἀνωτέρω ἐν ταῖς σημειώσεσι.

[1]) Ὁ Κώδ. Α. ἔχει τὸ ἁπλοῦν «χρησάμενοι».

[2]) Ἐν τῷ ἐσωτάτῳ τῆς γῆς ὑποτίθησι τὸν ᾅδην καὶ ὁ Μ. Βασίλειος· «Τάχα δὲ ἡμῖν ὁ λόγος ἐνδείκνυται κοινόν τινα τόπον ἐν τῷ ἐσωτάτῳ τῆς γῆς, ἐπίσκιον πανταχόθεν καὶ ἀλαμπῆ, τὸ τοῦ ᾅδου χωρίον εἶναι» (εἰς Ἡσ. κεφ. έ.).

[3]) Οὕτως εὕρηται καὶ ἐν ταῖς πρὸ τοῦ Τ. ἐκδόσεσι καὶ ἐν τῷ Κώδ. Α. Ὁ δὲ Τ. ἐξ ἄλλων τινῶν Κωδήκων ἔγραψε «τὸ πρότερον», εἰς οὐδὲν δέον παραλλάξας τὴν συνήθη γραφήν.

[4]) Συνῳδὰ τῷ ἱερῷ Κυρίλλῳ εἶπε καὶ Θεόφιλος ὁ Ἀντιοχείας (πρὸς Αὐτόλυκον βιβλ. ά.) «Παντοκράτωρ δὲ, ὅτι αὐτὸς τὰ πάντα κρατεῖ καὶ ἐμπεριέχει· τὰ γὰρ ὕψη τῶν οὐρανῶν καὶ τὰ βάθη τῶν ἀβύσσων καὶ τὰ πέρατα τῆς οἰκουμένης ἐν τῇ χειρὶ αὐτοῦ ἐστι, καὶ οὐκ ἔστι τόπος τῆς καταπαύσεως». Θαυμάσια καὶ τὰ τοῦ θεσπεσίου Γρηγορίου Νύσσης (κατὰ Εὐνομ. Λόγ. β΄. Τόμ. β΄. σελ. 467)· «Ὅταν τῆς *παντοκράτωρ* φωνῆς ἀκούσωμεν, τοῦτο νοοῦμεν, τὸ πάντα τὸν Θεὸν ἐν τῷ εἶναι συνέχειν,

ψυχῆς δεσπότην, τὸν δέ τινα τοῦ σώματος, οὐδέτερον αὐτῶν τέλειον λέγουσι, τῷ λείπειν ἑκάτερον θατέρῳ [1]· ὁ γὰρ ψυχῆς ἐξουσίαν ἔχων,

ὅσα τε νοητὰ, καὶ ὅσα τῆς ὑλικῆς ἐστι φύσεως· διὰ τοῦτο γὰρ κατέχει τὸν γύρον τῆς γῆς, διὰ τοῦτο ἔχει ἐν τῇ χειρὶ τῆς γῆς τὰ πέρατα, διὰ τοῦτο περιλαμβάνει τὸν οὐρανὸν τῇ σπιθαμῇ, διὰ τοῦτο περιμετρεῖ τῇ χειρὶ τὸ ὕδωρ, διὰ τοῦτο τὴν νοητὴν πᾶσαν κτίσιν ἐν ἑαυτῷ περιέχει, ἵνα πάντα ἐν τῷ εἶναι περιμένῃ τῇ περιεκτικῇ δυνάμει περικρατούμενα». Οὐ παροπτέα ἐνταῦθα οὐδὲ τὰ ὑψηλὰ ἐκεῖνα τοῦ ἱεροῦ Διονυσίου τοῦ Ἀρεοπαγίτου, ὃς ἑρμηνεύων τὴν λέξιν «παντοκράτωρ», λέγει· «Διὰ τὸ πάντων αὐτὸν εἶναι παντοκρατορικὴν ἕδραν, συνέχουσαν καὶ περιέχουσαν τὰ ὅλα καὶ ἐνιδρύουσαν καὶ θεμελιοῦσαν, καὶ ἀῤῥαγὲς ἐν ἑαυτῇ τὸ πᾶν ἀποτελοῦσαν. Λέγεται δὲ παντοκράτωρ ἡ Θεαρχία, καὶ ὡς πάντων κρατοῦσα, καὶ ἀμιγῶς τῶν διοικουμένων ἐπάρχουσα, καὶ ὡς πᾶσιν ἐφετὴ καὶ ἐπέραστος οὖσα, καὶ ἐπιβάλλουσα πᾶσι τοὺς ἐθελουσίους ζυγοὺς, καὶ τὰς γλυκείας ὠδῖνας τοῦ θείου καὶ παντοκρατορικοῦ καὶ ἀλύτου τῆς ἀγαθότητος αὐτοῦ ἔρωτος» (Περὶ θείων ὀνομ. κεφ. ί.). Ὅρα καὶ Τερτυλλιανὸν (contra Marcion. cap. 11·), Αὐγουστῖνον (de Trinit. βιβλ. 4. cap. 7), Ἀμβρόσιον (de fide βιβλ. 2. cap. 3.). Εἰς τὸ θεμελιῶδες δόγμα τῆς τοῦ Θεοῦ παντοκρατορίας προσέκρουσαν καὶ ἀντέβησαν καὶ οἱ αἱρετικοὶ ἐκεῖνοι, ὅσοι βλασφήμως πολλοὺς θεοὺς καὶ πολλὰς ἐναντίας καὶ συναϊδίους ἀρχὰς ἐδογμάτισαν, οἷον ὁ Μαρκίων, ὁ Μάνης, ὁ Μάρκος, ὁ Κολόρβασσος, καὶ οἱ λοιποὶ, οὓς ὁ ἱερὸς Ἐπιφάνιος καταλέγει ἐν τῷ ά. Τόμῳ (σελ. 229—231.). Πρὸς δὲ τούτοις καὶ ἐκεῖνοι, ὅσοι τὸν κόσμον τοῦτον εἶπον δημιουργηθέντα οὐχὶ ὑπὸ τοῦ Θεοῦ τοῦ παντοδυνάμου καὶ παντοκράτορος, ἀλλ' ὑπ' ἀγγέλων· οἷον οἱ Μενανδριανοὶ, οἱ Σατορνιλιανοὶ, καὶ λοιποὶ, περὶ ὧν ἀνάγνωθι τὸν μακάριον Ἐπιφάνιον (Τόμ. ά. σελ. 52.). Τῆς αὐτῆς ἀσεβείας ἔνοχοί εἰσι καὶ οἱ ληρήσαντες, ὅτι ὁ Θεὸς ἐποίησε τὸν κόσμον τοῦτον οὐχὶ ἐξ οὐκ ὄντων, ἀλλ' ἐκ προϋποκειμένης ὕλης· διότι κατὰ τὸν Θεόφιλον Ἀντιοχείας (πρὸς Αὐτόλ. βιβ. β'.), «Θεοῦ ἡ δύναμις ἐν τούτῳ φανεροῦται, ἵνα ἐξ οὐκ ὄντων ποιῇ ὅσα βούλεται». Φησὶ δὲ καὶ ὁ Μ. Ἀθανάσιος (Λόγ. περὶ τῆς ἐνανθρ. τοῦ Θεοῦ Λόγου)· «Οὐκ ἴσασι δὲ τοῦτο λέγοντες, ὅτι ἀσθένειαν περιτιθέασι τῷ Θεῷ· εἰ γὰρ οὐκ ἔστι τῆς ὕλης αὐτὸς αἴτιος, ἀλλ' ἐξ ὑποκειμένης ὕλης ποιεῖ τὰ ὄντα, ἀσθενὴς εὑρίσκεται, μὴ δυνάμενος ἄνευ τῆς ὕλης ἐργάσασθαί τι τῶν γενομένων, ὥσπερ ἀμέλει καὶ τοῦ τέκτονος ἀσθένειά ἐστι τὸ μὴ δύνασθαι χωρὶς τῶν ξύλων ἐργάσασθαί τι τῶν ἀναγκαίων».

[1]) Τὸ χωρίον τοῦτο ἀπὸ τοῦ

σώματος δὲ ἐξουσίαν μὴ ἔχων, πῶς παντοκράτωρ; καὶ ὁ δεσπόζων σωμάτων, μὴ ἐξουσιάζων δὲ πνευμάτων, πῶς παντοκράτωρ; ἀλλ' ἀπελέγχει τούτους ὁ Κύριος, ἀπεναντίας λέγων· «Φοβήθητε μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ». Εἰ γὰρ μὴ ἔχει ἑκατέρων τὴν ἐξουσίαν, πῶς ἀμφότερα ὑποβάλλει τῇ τιμωρίᾳ ὁ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ Πατήρ; Πῶς γὰρ δυνήσεται τὸ ἀλλότριον σῶμα λαβὼν βαλεῖν εἰς γέενναν, ἐὰν μὴ πρῶτον δήσῃ τὸν ἰσχυρὸν, καὶ τὰ σκεύη αὐτοῦ διαρπάσῃ;

§ Δ'. Ἀλλ' ἡ θεία Γραφὴ καὶ τὰ τῆς ἀληθείας δόγματα ἕνα Θεὸν οἶδε, πάντων μὲν κρατοῦντα τῇ δυνάμει, πολλῶν δὲ ἀνεχόμενον διὰ τὸ θέλειν· κρατεῖ γὰρ καὶ τῶν εἰδωλολατρῶν, ἀλλ' ἀνέχεται δι' ἀνεξικακίαν· κρατεῖ δὲ καὶ τῶν ἀθετούντων αὐτὸν αἱρετικῶν, ἀλλ' ἀνέχεται διὰ μακροθυμίαν· κρατεῖ καὶ τοῦ διαβόλου, ἀλλ' ἀνέχεται διὰ μακροθυμίαν· [1]) οὐ γὰρ ἀδυνατῶν ἀνέχεται, ὡς νικώμενος· ἀρχὴ γάρ ἐστι πλάσματος Κυρίου, πεποιημένον [2]) ἐγκαταπαίζεσθαι,

---

«οὐδέτερον αὐτῶν», μέχρι τοῦ, «θατέρῳ», λίαν παρηλλαγμένον ἦν καὶ διεφθαρμένον ἐν ταῖς πρὸ τοῦ Τουτέου ἐκδόσεσιν, ἐν αἷς κεῖται οὕτως· «οὐ τέλειον λέγουσι· πῶς γὰρ τέλειος ὁ λείπων ἕκαστον ἑκατέρῳ;» Ὁ Τουτέος διωρθώσατο τοῦτο ἐκ τριῶν Κωδήκων, Coisl. R C. ὡς κεῖται ἐν τῷ κειμένῳ. Ἀλλὰ καὶ οὕτω χωλαίνει πως τὸ νόημα καὶ στερεῖται σαφηνείας· ἦν γὰρ σαφέστερον καὶ ὀρθότερον εἰπεῖν, «τῷ λείπειν θάτερον ἑκατέρῳ», οὐχὶ, «τῷ λείπειν ἑκάτερον θατέρῳ»· οὐ γὰρ ἑκάτερον, οὐδὲ αἱ δύο ἐξουσίαι ἐλλείπουσι τῷ ἑτέρῳ, ἀλλ' ἡ ἑτέρα μόνον, τουτέστιν ἡ μία ἐκ τῶν δύο, ἐλλείπει ἑκατέρῳ· ἀλλὰ στερούμενοι αὐθεντίας Κωδήκων, οὐδὲν μετεκινήσαμεν ἐν τῷ κειμένῳ.

[1]) Ἐν ταῖς πρὸ τοῦ Τ. ἐκδόσεσιν ἐλλείπει τὸ, «διὰ μακροθυμίαν» μετὰ τὸ τελευταῖον, «ἀνέχεται» ἀλλ' ἔθηκεν αὐτὸ ὁ Τ. καλῶς ποιήσας, ἐξ αὐθεντίας τεσσάρων Κωδήκων· ἔχει τοῦτο καὶ ὁ Κώδ. Α.

[2]) Οὕτως ἐν οὐδετέρῳ γένει ἔκειτο ἡ λέξις ἐν ταῖς προτέραις ἐκδόσεσιν· ὁ Τουτέος μετέβαλεν αὐτὴν εἰς τὸ ἀρσενικὸν «πεποιημένος», φέρων εἰς μαρτυρίαν καὶ τὸ ἱερὸν τοῦ Ἰὼβ κείμενον (μ'. 14). Ἀλλ' ἡμεῖς καὶ ἐν τῷ Ἰὼβ οὐδετέρως κειμένην εὕρομεν τὴν λέξιν, ἐν ᾗ χρώμεθα βατικανῇ ἐκδόσει· οὐδετέρως κεῖται αὕτη καὶ ἐν τῷ Κώδ. Α.

οὐχ ὑπ' αὐτοῦ (ἀνάξιος γάρ ἐστιν), ἀλλ' ὑπὸ τῶν ἀγγέλων τῶν ὑπ' αὐτοῦ πεποιημένων· συνεχώρησε δὲ αὐτῷ καὶ τὸ ζῆν, [1]) ἵνα δύο γένηται πράγματα, αὐτός τε μειζόνως ἀσχημονῇ νικώμενος, καὶ οἱ ἄνθρωποι στεφανωθῶσιν [2]). Ὦ πανσόφου θείας [3]) προνοίας, ἥτις τὴν πονηρὰν προαίρεσιν εἰς ὑπόθεσιν σωτηρίας λαμβάνει τῶν πιστῶν· ὥσπερ γὰρ τὴν μισάδελφον τῶν ἀδελφῶν τοῦ Ἰωσὴφ προαίρεσιν ἔλαβεν εἰς ὑπόθεσιν τῆς ἰδίας οἰκονομίας, καὶ συγχωρήσας αὐτοῖς κατὰ μῖσος πωλῆσαι τὸν ἀδελφὸν, ὑπόθεσιν ἔλαβε τοῦ βασιλεῦσαι τοῦτον [4]) ὃν ἤθελεν· οὕτω συνεχώρησε παλαίειν τῷ διαβόλῳ, ἵνα οἱ νικῶντες στεφανωθῶσι· καὶ ἵνα νίκης γενομένης, ὁ μὲν μείζων ἀ-

---

[1]) Ἐν τῷ Κώδ. Α. κεῖται μόνον «ζῆν» ἄνευ συνδέσμου καὶ ἄρθρου. Ἐκ δὲ τῶν Κωδ. R. C. ἐλλείπει ὁ «καὶ» μόνον.

[2]) Θαυμάσιά εἰσι καὶ ὅσα ὁ Χρυσοῤῥήμων λέγει περὶ τῆς ὠφελείας τῆς προσγινομένης ἡμῖν ἐκ τῆς μετὰ τοῦ διαβόλου πάλης· «διὰ γὰρ τοῦτο καὶ τὸν διάβολον ἀφῆκεν ἐνταῦθα εἶναι, ἵνα σε ἰσχυρότερον ἐργάσηται, ἵνα λαμπρότερον ποιήσῃ τὸν ἀθλητὴν, ἵνα μείζονα ᾖ τὰ ἀγωνίσματα. Ὅταν οὖν λέγῃ τις, διατί τὸν διάβολον ἀφῆκεν ὁ Θεός; ταῦτα λέγε πρὸς ἐκεῖνον τὰ ῥήματα· ὅτι τοὺς νήφοντας καὶ προσέχοντας οὐ μόνον οὐδὲν παρέβλαψεν, ἀλλὰ καὶ ὠφέλησεν, οὐ παρὰ τὴν ἑαυτοῦ προαίρεσιν, πονηρὰ γάρ ἐστιν, ἀλλὰ παρὰ τὴν ἐκείνων ἀνδρείαν, τῶν τῇ πονηρίᾳ εἰς δέον χρησαμένων. Ἐπεὶ καὶ τῷ Ἰὼβ προσεπλάκη μὲν, οὐ διὰ τοῦτο δὲ, ἵνα αὐτὸν λαμπρότερον ποιήσῃ, ἀλλ' ἵνα ὑποσκελίσῃ· διὰ τοῦτο πονηρὸς, διὰ τὴν τοιαύτην γνώμην καὶ τὴν προαίρεσιν, ἀλλ' ὅμως οὐδὲν παρέβλαψε τὸν δίκαιον, ἀλλὰ καὶ ἀπώνατο μᾶλλον ἐκεῖνος ἀπὸ τῆς μάχης» (Τόμ. β'. σελ. 316.). Ὅμοια γράφει ὁ Πατὴρ καὶ ἐν τῷ πρώτῳ λόγῳ πρὸς Σταγείριον (Τόμ. ά. σελ. 200), καὶ ἐν τῇ κβ'. ὁμιλίᾳ εἰς τὴν Γένεσιν (Τόμ δ'. σελ. 252.). Ὅρα καὶ Μ. Βασίλειον (Ὁμιλ. ὅτι οὐκ ἔστιν αἴτιος τῶν κακῶν ὁ Θεὸς, Τόμ. β'. σελ. 114).

[3]) Ἐν τῷ Κώδ. Α. ἐλλείπει τὸ, «θείας».

[4]) Ὀρθῶς σεσημείωκεν ὁ Τουτέος ὅτι τὸ «βασιλεῦσαι» ἐνταῦθα εἴληπται ἐνεργητικῶς ἀντὶ τοῦ «βασιλέα καταστῆσαι», ὡς καὶ ἐν τοῖς Ο'. εὕρηται τοῦτο συχνάκις. Ἐν ὁμοίᾳ σημασίᾳ ἐξέλαβεν ὁ Κύριλλος καὶ τὸ ῥῆμα «στρατεύω» ἀντὶ τοῦ στρατολογῶ καὶ στρατιώτας ἐγγράφω. (Προκατ. § 17 Κατ. ά. 3.). Περὶ δὲ τῆς βασιλείας τοῦ Ἰωσὴφ ὅρα τὴν σημ. ιέ. § 23.

σχημονῇ [1]), ὑπὸ τῶν ἡττόνων νικώμενος, ἄνθρωποι δὲ μεγάλως εὐδοκιμῶσι, τὸν ποτὲ ἀρχάγγελον νικήσαντες.

§ Ε΄. Οὐδὲν οὖν ὑπεξήρηται τῆς τοῦ Θεοῦ δυνάμεως· περὶ αὐτοῦ γὰρ λέγει ἡ γραφή, « Ὅτι τὰ σύμπαντα δοῦλα σά ». Τὰ σύμπαντα μὲν δοῦλα αὐτοῦ, εἷς δὲ αὐτοῦ μόνος Υἱός, καὶ ἓν τὸ ἅγιον αὐτοῦ Πνεῦμα, ἐκτὸς τούτων πάντων, καὶ τὰ σύμπαντα δοῦλα, διὰ τοῦ ἑνὸς Υἱοῦ ἐν ἁγίῳ Πνεύματι, δουλεύει τῷ δεσπότῃ. Κρατεῖ τοίνυν τῶν πάντων ὁ Θεός, καὶ ἀνέχεται καὶ φονέων, καὶ λῃστῶν, καὶ πόρνων διὰ μακροθυμίαν, ὁρίσας καιρὸν τῆς προθεσμίας, καθ' ὃν ἀποδίδωσιν ἑκάστῳ, ἵνα οἱ [2]) πολυχρόνιον λαβόντες τὴν προθεσμίαν, ἀμετανόητον δὲ ἔχοντες τὴν καρδίαν, μειζόνως καταδικασθῶσι. Βασιλεῖς εἰσιν ἀνθρώπων οἱ ἐπὶ γῆς βασιλεύοντες, ἀλλ' οὐκ ἄνευ τῆς ἄνωθεν ἐξουσίας· καὶ ἔγνω ποτὲ τοῦτο τῇ πείρᾳ ὁ Ναβουχοδονόσορ, εἰπών, « Ὅτι ἡ βασιλεία αὐτοῦ βασιλεία αἰώνιος, καὶ ἡ ἐξουσία αὐτοῦ εἰς γενεὰν καὶ γενεάν ». [3])

§ ΣΤ΄. Οὐκ ἔστιν ὁ πλοῦτος καὶ τὸ χρυσίον καὶ τὸ ἀργύριον τοῦ διαβόλου, καθὼς νομίζουσί τινες [4]). « Τοῦ γὰρ πιστοῦ ὅλος ὁ κόσμος

---

[1]) Ἐγράψαμεν «ἀσχημονῇ» κατὰ τοὺς Κώδ. A., Roe, Casaub. ἀντὶ « ἀσχημονῆται », ὅπερ ἐσφαλμένως ἔχουσιν αἱ ἐκδόσεις.

[2]) Προσεθήκαμεν τὸ ἄρθρον «οἱ», κείμενον καὶ ἐν τοῖς Κώδηξιν A.. Roe, Casaub., Coisl., Ottob., ἐλλεῖπον δὲ ἐκ τῶν ἐκδόσεων.

[3]) Ἐν τῷ ἱερῷ κειμένῳ τοῦ Δανιὴλ κεῖται οὕτως ἡ ῥῆσις· « Ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, καὶ ἡ βασιλεία αὐτοῦ εἰς γενεὰν καὶ γενεάν ». Ἐν ταῖς ἐκδόσεσιν ἔκειτο « εἰς πᾶσαν γενεὰν καὶ γενεάν »· ἀλλὰ τὸ « πᾶσαν » οὐ μόνον ἐκ τοῦ ἱεροῦ τῆς Γραφῆς κειμένου ἐλλείπει, ἀλλὰ καὶ ἐκ τῶν Κωδ. A., R., C., Ottob. καὶ τοῦ Γροδεκίου· διὰ τοῦτο καὶ ἡμεῖς ἀπηλείψαμεν αὐτό.

[4]) Τῶν Μανιχαίων ἡ ἄνοια αὕτη καὶ ὁ λῆρος οὗτος, ὡς γίνεται φανερὸν ἐκ τῆς συνδιαλέξεως τοῦ Ἀρχελάου καὶ ἐκ τοῦ Αὐγουστίνου (de moribus Ecclesiae cap. 35.). Οἱ Μανιχαῖοι, ἐπειδὴ ἄλλου μὲν Θεοῦ ἔλεγον τὴν παλαιὰν Διαθήκην, ἄλλου δὲ τὴν Νέαν, ἵνα δείξωσι τὴν διαφορὰν ταύτην, παρῆγον εἰς μέσον τὴν ῥῆσιν τοῦ Ἀγγαίου, ἣν καὶ ὁ Κύριλλος ἀναφέρει κατωτέρω· « ἐμὸν τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον ». Ταύτην δὲ τὴν ῥῆσιν ἀντέταττον τοῖς

τῶν χρημάτων, τοῦ δὲ ἀπίστου οὐδὲ ὀβολός »· διαβόλου δὲ οὐδὲν ἀπιστότερον, καὶ φανερῶς διὰ τοῦ προφήτου λέγει ὁ Θεός· « Ἐμὸν τὸ χρυσίον καὶ ἐμὸν τὸ ἀργύριον » [1]). Σὺ μόνον χρῆσαι καλῶς, καὶ οὐκ ἔστι μεμπτὸν τὸ ἀργύριον· ὅταν δὲ σὺ τῷ καλῷ χρήσῃ κακῶς, τότε μὴ θέλων μέμψασθαι τὴν σὴν διοίκησιν, ἀνάγεις τὴν μέμψιν ἐπὶ τὸν δημιουργὸν ἀσεβῶς. Δύναταί τις καὶ διὰ χρημάτων δι-

ἐν Εὐαγγελίοις περὶ πτωχείας εἰρημένοις, οἷον « Μακάριοι οἱ πτωχοὶ » καὶ τὰ ὅμοια· Ἐπιφάνιος (Τόμ. ά. σελ. 701). Καὶ τὸ μὲν δόγμα τῶν Μανιχαίων ἦν τοῦτο, ὅτι φύσει κακὸν ὁ πλοῦτος καὶ τοῦ διαβόλου ἐφεύρημα· ὁ δὲ θεσπέσιος Κύριλλος ἐνταῦθα, καὶ ἄλλοι Πατέρες ἀλλαχοῦ, ἀναιροῦντες τὴν πλάνην ταύτην, διδάσκουσιν ὅτι οὐχ ὁ πλοῦτος κακὸν, ἀλλ' ἡ κακὴ τοῦ πλούτου χρῆσις. « Οὐχ ὁ πλοῦτος κακὸν, λέγει ὁ Χρυσόστομος, ἐὰν εἰς δέον βουλώμεθα αὐτῷ χρήσασθαι, ἀλλ' ἡ ἀπόνοια καὶ ἡ ἀλαζονεία. Εἰ κακὸν ἦν ὁ πλοῦτος, οὐκ ἂν πάντες ηὐξάμεθα εἰς κόλπους Ἀβραὰμ ἀπελθεῖν, τοῦ ἔχοντος τριακοσίους δέκα καὶ ὀκτὼ οἰκέτας οἰκογενεῖς. Οὐ τοίνυν ὁ πλοῦτος κακὸν, ἀλλ' ἡ παράνομος αὐτοῦ χρῆσις κακὸν» (Τόμ. γ'. σελ. 63.). Ἀφορμὴν πρὸς εὐποιΐαν λέγει τὸν πλοῦτον καὶ ὁ Μ. Βασίλειος· « Θεοσεβεῖ ψυχῇ ἀφορμὴ πρὸς εὐποιΐαν κατὰ τὴν μεταδοτικὴν κοινωνίαν ὁ πλοῦτος γίνεται » (εἰς τὸ ιά. κεφ. τοῦ Ἡσαΐου). Φησὶ δὲ καὶ ὁ Ἀλεξ. Κλήμης· « Καλῶς πλουτεῖν οὐ κεκώλυκεν ὁ Θεὸς, ἀλλὰ γὰρ τὸ ἀδίκως καὶ ἀπλήστως πλουτεῖν» (Στρωμ. γ'. 6, § 56). Τῆς κακῆς δὲ χρήσεως ἕνεκα ἀποβαίνει ὁ πλοῦτος ὀλέθριος· διὰ τοῦτο οἱ αὐτοὶ Πατέρες τοῖς κακίστοις ὀνόμασι πολλάκις αὐτὸν ὀνομάζουσι, καὶ πρὸς πᾶν φαῦλον πρᾶγμα παρομοιάζουσι. Κατὰ τὸν Μ. Βασίλειον ὁ χρυσὸς καὶ ὁ πλοῦτός ἐστι « τῶν ψυχῶν ἡ ἀγχόνη, τὸ τοῦ θανάτου ἄγκιστρον, τὸ τῆς ἁμαρτίας δέλεαρ, δι' ὃν χαλκεύεται ὅπλα, δι' ὃν ἀκονᾶται ξίφη» (Ὁμιλ. πρὸς τοὺς πλουτοῦντας, Τόμ. β'. σελ. 82). Τὸν πλοῦτον « ὑπηρέτην ἀνοσίου καὶ βδελυρᾶς ἡδονῆς, ἀλαζονείας πατέρα, καὶ ῥίζαν καὶ γέννησιν τύφου » ἀποκαλεῖ καὶ ὁ Ἀλεξανδρείας Κύριλλος (εἰς Σοφονίαν κεφ. ά.). Οὐ τιμιώτερα τούτων ὀνόματα ἀποδίδωσι τῷ πλούτῳ καὶ Ἰσίδωρος ὁ Πηλουσιώτης, καλῶν αὐτὸν « ὑπερηφανείας πατέρα, τῆς ὑπεροψίας γεννήτορα, τῶν ἡδονῶν χορηγὸν, πάσης κακίας δημιουργὸν, τῆς πρὸς Θεὸν φιλίας ἀποσυλῶντα τὸν ἄνθρωπον» (βιβλ. γ'. ἐπιστ. 322). « Ἀκρόπολιν κακίας » ὠνόμασε τὸν μὴ ὀρθῶς κυβερνώμενον πλοῦτον καὶ Κλήμης ὁ Ἀλεξ. (ἐν τῷ Παιδαγ. β'. 3. § 38).

[1]) Μετὰ τὴν προφητικὴν ταύτην ῥῆσιν τοῦ Ἀγγαίου ἐν ταῖς ἄλλαις

καιωθῆναι· « Ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν »· πάντως ὅτι ἀπὸ χρημάτων· « γυμνὸς ἤμην καὶ περιεβάλετέ με »· πάντως ὅτι διὰ χρημάτων [1]). Καὶ θέλεις γνῶναι ὅτι δύναται θύρα γενέσθαι βασιλείας οὐρανῶν τὰ χρήματα; « Πώλησόν σου, φησὶ, τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς ».

§ Ζ΄. Ταῦτα δέ μοι λέλεκται διὰ τοὺς αἱρετικοὺς, τοὺς ἀναθεματίζοντας τὰ κτήματα, καὶ τὰ χρήματα, καὶ τὰ σώματα [2])· οὔτε γὰρ δοῦλον βούλομαί σε χρημάτων εἶναι, οὔτε ὡς ἐχθροῖς [3]) προσέχειν τοῖς εἰς ὑπηρεσίαν ὑπὸ Θεοῦ σοι δοθεῖσι. Μὴ τοίνυν ποτὲ εἴπῃς τοῦ διαβόλου εἶναι τὰ χρήματα· κἂν γὰρ λέγῃ, « Ταῦτα πάντα σοι δώσω, ὅτι ἐμοὶ παραδέδοται », δύναται μέν τις αὐτοῦ καὶ ἀθετῆσαι τὸ ῥῆμα· [4]) τῷ ψεύστῃ γὰρ οὐ δεῖ πιστεύειν· [5]) τάχα δὲ καὶ ἀναγ-

---

ἐκδόσεσιν ἀκολουθεῖ εὐθὺς «καὶ ᾧ τινι θέλω, δίδωμι αὐτό». Ἡ φράσις ὅμως αὕτη «ᾧ τινι θέλω, δίδωμι αὐτό» οὐ κεῖται ἐν τῷ προφητικῷ κειμένῳ τοῦ θεοπτεύςου Ἀγγαίου· εὑρίσκεται ὅμως ἐν τῷ Λουκᾷ (δ΄. 6) ὑπὸ τοῦ διαβόλου ἀπαγγελθεῖσα. Εὕρηται δὲ συνημμένη μετὰ τῆς προφητικῆς ῥήσεως ἡ εὐαγγελικὴ καὶ ἔν τισι χειρογράφοις, καὶ παρά τισι Πατράσιν, οἷον Γρηγορίῳ Ναζιανζηνῷ (Λόγ. μϐ΄.) καὶ Χρυσοστόμῳ (Ὁμιλ. λδ΄. εἰς τὴν ά. Κορινθ.), μετὰ ταύτης ὅμως τῆς διαφορᾶς, ὅτι ὁ μὲν Γρηγόριος ἔχει « καὶ δώσω αὐτὸ ᾧ βούλομαι»· ὁ δὲ Χρυσόστομος « καὶ ᾧ ἐὰν βούλομαι δώσω αὐτά». Ἀλλ' ἡ φράσις αὕτη ἐλλείπει παντάπασιν ἐκ τοῦ ἀρχιεπισκοπικοῦ Κώδηκος, τοῦ Ottob. καὶ τοῦ Γροδεκίου, ἐλλείπει καὶ ἐκ τῶν Κωδήκων Roe, Casaub. Ἐπὶ τῆς αὐθεντίας δὲ τῶν πέντε Κωδήκων τούτων στηριχθέντες, παρελίπομεν αὐτήν.

[1]) Τὰ, «γυμνὸς ἤμην» κτλ. μέχρι τοῦ, « χρημάτων » ἐλλείπουσιν ἐκ τῶν Κωδ. Α., Roe., Casaub., Ottob. ἴσως διὰ τὴν ἐπανάληψιν τοῦ «χρημάτων».

[2]) Καὶ αἱ τρεῖς αὗται λέξεις κεῖνται ἄνευ ἄρθρου ἐν τῷ Κώδ. Α. «κτήματα, καὶ χρήματα, καὶ σώματα».

[3]) « Αἰσχροῖς » ἐν τῷ Κώδ. Α.

[4]) Ὡς ἠθέτησε τὸ ῥῆμα καὶ Εἰρηναῖος, γράψας (έ. 24)· «Sicut in principio mentitus est, ita et in fine mentiebatur dicens: Haec omnia mihi tradita sunt, et cui volo do ea. Non enim ipse determinavit seculi hujus regna, sed Deus »· καὶ κατωτέρω ἐν τῷ αὐτῷ κεφαλαίῳ· «Manifestum est quoniam mentitur diabolus dicens: Mihi tradita sunt, et cui volo do ea»·

[5]) Ἐν τῷ Κώδηκι Α. καὶ ἐν τῷ

κασθεὶς ὑπὸ τῆς τοῦ παρόντος δυνάμεως, εἶπε τὴν ἀλήθειαν· οὐ γὰρ εἶπε, ταῦτα πάντα σοι δώσω, ὅτι ἐμά ἐστιν· ἀλλ' ὅτι ἐμοὶ παραδέδοται· οὐ γὰρ τὴν δεσποτείαν ἥρπασεν, ἀλλὰ τὸ ἐγκεχειρῆσθαι καὶ οἰκονομεῖν τέως ὡμολόγησε· ζητείσθω δὲ κατὰ καιρὸν ὑπὸ τῶν ἐξηγουμένων, πότερον ψεύδεται ἢ ἀληθεύει [1]).

§ Η'. Εἷς τοίνυν ἐστὶν ὁ Θεὸς, ὁ πατὴρ, ὁ παντοκράτωρ, ὃν ἐτόλμησαν αἱρετικῶν παῖδες δυσφημεῖν· [2]) ἐτόλμησαν γὰρ δυσφημῆσαι τὸν Κύριον Σαβαὼθ [3]), τὸν καθήμενον ἐπάνω τῶν Χερουβίμ·

Κοισλιανικῷ Κώδηκι γέγραπται «οὐδεὶς πιστεύει».

[1]) Ψεύδεται, κατὰ τὸν Εἰρηναῖον (ἀνωτέρω). Καὶ ὁ Κύριλλος δὲ αὐτὸς οὐδόλως διστάζει ὅτι ἐκ Θεοῦ πρυτανεύονται καὶ πλούτη καὶ κτήματα καὶ βασίλεια (ὅρα ἄνωτ § 5)· ἀλλὰ διατί ἆρά γε παραπέμπει εἰς τοὺς ἑρμηνευτὰς τὸ ζήτημα, πότερον ψεύδεται, ἢ ἀληθεύει; Ταλαντευόμενος φαίνεται ὁ Κύριλλος ἐν τῷ ζητήματι τούτῳ· ἡ ἀμφιβολία δὲ καὶ ταλάντευσις αὕτη πηγάζει ἴσως ἐκ τῆς παρὰ πολλοῖς ἐπικρατούσης γνώμης, ὅτι ἐν τῇ πρώτῃ δημιουργίᾳ καὶ τῇ τοῦ παντὸς συστάσει ἀρχηγός τις τῶν ἀγγέλων ἔλαβε παρὰ Θεοῦ τὴν συνοχὴν καὶ διακυβέρνησιν τῆς γῆς καὶ τοῦ περιγείου τόπου. Τὴν γνώμην ταύτην ἔχουσι Μεθόδιος (παρὰ τῷ Ἐπιφανίῳ Αἱρεσ. 64 Τόμ. ά. σελ. 544), Γρηγόριος Νύσσης (ἐν τῷ Κατηχικῷ κεφ. 6), Δαμασκηνὸς (Ὀρθοδ. πιστ. 6΄, 4)· «Ἐκ τούτων τῶν ἀγγελικῶν δυνάμεων πρωτοστάτης τῆς περιγείου τάξεως, καὶ τῆς γῆς τὴν φυλακὴν ἐγχειρισθεὶς παρὰ Θεοῦ». Ὁ τοῦ κόσμου δὲ ἄρχων ἄγγελος οὗτος οὐκ ἐνέμεινεν ἐν τῇ χάριτι, ἀλλὰ τυφλωθεὶς καὶ εἰς ἀπόνοιαν ἀρθεὶς, ἐξέπεσε, κακὸς γενόμενος ἐκ καλοῦ. Οὐκ ἐξέπεσεν ὅμως καὶ τῆς ἀρχῆς, κατὰ τὸν Χρυσόστομον· «Ἐμοὶ δοκεῖ γενόμενος ἄρχων ὑπὸ τὸν οὐρανὸν μὴ μεταπεπτωκέναι τῆς ἀρχῆς καὶ μετὰ τὴν παράβασιν» (Ὁμιλ. δ΄. εἰς τὴν πρὸς Ἐφεσ.). Ἀλλ' ἐθραύσθη ἡ ἐξουσία καὶ τυραννὶς τοῦ κακοῦ τούτου ἄρχοντος διὰ τοῦ σωτηρίου πάθους καὶ ἐκαθάρθη ὁ περίγειος τόπος ἐκ τῆς δυναστείας ἐκείνης· Μ. Βασίλειος (ὅτι οὐκ ἔστιν αἴτιος τῶν κακῶν ὁ Θεὸς Τόμ. 6΄. σελ. 115.).

[2]) «Δυσφημῆσαι» κατὰ τὸν Κώδ. Α.

[3]) Οὐδ' αὐτὸ τὸ ὄνομα Σαβαὼθ ἀφῆκαν ἀνύβριστον οἱ αἱρετικοί. Καὶ οἱ μὲν Μανιχαῖοι ἐν τῷ ὀνόματι τούτῳ ἐδήλουν οὐχὶ τὸν Θεὸν, ἀλλὰ τὴν φύσιν τοῦ ἀνθρώπου· «Τὸ παρ' ἡμῖν τίμιον καὶ μέγα ὄνομα Σαβαὼθ, αὐτὸ εἶναι τὴν φύσιν τοῦ ἀνθρώπου, καὶ πατέρα τῆς ἐπιθυμίας»· Ἐπιφά-

ἐτόλμησαν βλασφημῆσαι [1]) τὸν Ἀδωναΐ Κύριον· ἐτόλμησαν βλασφημῆσαι τὸν ἐπὶ Προφήταις παντοκράτορα Θεόν. Σὺ δὲ ἕνα προσκύνει τὸν παντοκράτορα Θεόν, τὸν πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Φεῦγε [2]) τὴν πολύθεον πλάνην, καὶ φεῦγε πᾶσαν αἵρεσιν, καὶ λέγε κατὰ τὸν Ἰώβ· «Κύριον δὲ τὸν παντοκράτορα [3]) ἐπικαλέσομαι, τὸν ποιοῦντα μεγάλα καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός»· καὶ τὸ, «ἐπὶ τούτοις πᾶσι, τιμὴ παντοκράτορος», [4]) ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. [5]) Ἀμήν.

νιος (Τόμ. ά. σελ. 646). Οἱ δὲ ἄφρονες Γνωστικοὶ ἀπεδίδοσαν τῷ Σαβαὼθ νῦν μὲν ὄνου μορφὴν, νῦν δὲ χοίρου· «Φασὶ δὲ τὸν Σαβαὼθ οἱ μὲν ὄνου μορφὴν ἔχειν, οἱ δὲ χοίρου· διόπερ ἐνετείλατο, φασὶ, τοῖς Ἰουδαίοις χοῖρον μὴ ἐσθίειν»· Ἐπιφάνιος (Τόμ. ά. σελ. 91).


[1]) Καὶ ἐνταῦθα καὶ κατωτέρω κεῖται «δυσφημῆσαι», κατὰ τὸν Κώδ. Α. «Δυσφημῆσαι» ἔχουσι καὶ οἱ Κώδ. Roe, Casaub., Coisl., Ottob.

[2]). Ἀντὶ τοῦ, «φεῦγε» κτλ. οἱ Κώδ. Α. Roe, Casaub., Coisl., Ottob. ἔχουσι· «φυγὼν τὴν πολυθεΐαν, καὶ φυγὼν πᾶσαν αἵρεσιν».

[3]) Μόνον ἐν τῇ ἐκδόσει τῇ Ἀλεξανδρινῇ κεῖται τὸ, «παντοκράτορα»· ἐν δὲ ταῖς λοιπαῖς «πάντων δεσπότην».

[4]) Ἐν τῇ γραφικῇ ταύτῃ ῥήσει κατὰ μὲν τὴν Βατικανὴν καὶ Ἀλεξανδρινὴν ἔκδοσιν ἐλλείπει τὸ «πᾶσι», καὶ ἡ «παρὰ» πρὸ τοῦ «παντοκράτορος»· κεῖνται ὅμως κατὰ τὰς ἐκδόσεις Ἄλδου καὶ Κομπλούτου.

[5]) Ἀντὶ τοῦ, «εἰς τοὺς αἰῶνας τῶν αἰώνων», οἱ Κώδ. Α., R., C. ἔχουσι «νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας».



ΚΑΤΗΧΗΣΙΣ Θ΄.

ΦΩΤΙΖΟΜΕΝΩΝ,

Ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα, εἰς τὸ, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ ἀνάγνωσις ἐκ τοῦ Ἰώβ· « Τίς οὗτος ὁ κρύπτων με βουλὴν, συνέχων δὲ ῥήματα ἐν καρδίᾳ, ἐμὲ δὲ οἴεται κρύπτειν ;» καὶ τὰ ἑξῆς.

§ Α΄. Σαρκὸς μὲν ὀφθαλμοῖς θεωρῆσαι τὸν Θεὸν ἀδύνατον· τὸ γὰρ ἀσώματον σαρκὸς ὄμμασιν ὑποπίπτειν οὐ δύναται· καὶ μεμαρτύρηκεν αὐτὸς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, λέγων· « Θεὸν οὐδεὶς πώποτε τεθέαται ». Κἂν γὰρ κατὰ τὸ γεγραμμένον ἐν τῷ Ἰεζεχιὴλ ἐκλάβοι [1]) τις, ὅτι εἶδεν ὁ Ἰεζεχιὴλ, ἀλλὰ τί λέγει ἡ Γραφή; Εἶδεν «ὁμοίωμα δόξης Κυρίου», οὐκ αὐτὸν τὸν Κύριον, ἀλλὰ τὸ ὁμοίωμα τῆς δόξης, καὶ οὐκ αὐτὴν τὴν δόξαν, ὡς ἔστιν ἀληθῶς· καὶ ἰδὼν τὸ ὁμοίωμα τῆς δόξης μόνον, καὶ οὐκ αὐτὴν τὴν δόξαν, ἔπεσεν ἐπὶ τὴν γῆν ἀπὸ τοῦ φόβου. [2]) Εἰ δὲ τὸ τῆς δόξης ὁμοίωμα θεαθὲν φό-

---

[1]) Ὁ μὲν Μ. τέθεικεν ἐν τῇ ἑαυτοῦ ἐκδόσει « ἐκλαμβάνει », ὁ δὲ Τ. « ἐκλαμβάνοι ». Ἀλλ' οἱ Κώδ. Α. Roe, Casaub. Ottob. ἔχουσιν « ἐκλάβοι », καὶ ταύτην ὡς προσφυεστέραν προειλόμεθα καὶ ἡμεῖς.

[2]) Ἐξ αὐτοῦ τούτου τοῦ παραδείγματος τοῦ Ἰεζεκιὴλ, καὶ προσέτι ἐκ τοῦ παραδείγματος τῶν δύο ἄλλων προφητῶν Ἡσαΐου καὶ Δανιὴλ ἀποδείκνυσι καὶ ὁ ἱερὸς Χρυσοῤῥήμων τὸ ἀθέατον καὶ ἀκατάληπτον τῆς θείας οὐσίας ἐν τῷ τρίτῳ αὐτοῦ Λόγῳ περὶ ἀκαταλήπτου (Τόμ. ά. σελ. 572).

δον καὶ ἀγωνίαν περιεποίει τοῖς Προφήταις, αὐτὸν εἴ τις ἐπιχειρήσειε [1]) θεωρῆσαι τὸν Θεὸν, πάντως ἂν καὶ τοῦ ζῆν ἀπηλλάττετο, κατὰ τὸ εἰρημένον· «Οὐδεὶς ὄψεται τὸ πρόσωπόν μου καὶ ζήσεται». [2]) Διὰ τοῦτο κατὰ τὴν μεγίστην αὐτοῦ φιλανθρωπίαν ὁ Θεὸς παραπέτασμα τῆς οἰκείας θεότητος ἐξέτεινε τὸν οὐρανὸν, ἵνα μὴ ἀπολώμεθα· οὐχ ἐμὸς ὁ λόγος, ἀλλ' ὁ Προφήτης εἶπεν· «Ἐὰν ἀνοίξῃς τὸν οὐρανὸν, [3]) τρόμος λήψεται ἀπὸ σοῦ ὄρη, καὶ τακήσονται». Καὶ τί θαυμάζεις εἰ Ἰεζεχιὴλ τὸ ὁμοίωμα τῆς δόξης ἰδὼν, ἔπεσεν; ὅπου τῷ Δανιὴλ ὁ Γαβριὴλ, οἰκέτης ὢν τοῦ Κυρίου, ὤφθη, καὶ παραχρῆμα ἔπτηξε καὶ ἔπεσεν ἐπὶ πρόσωπον· καὶ ἄχρις ὅτου ἐξεβιάσατο ἑαυτὸν ὁ ἄγγελος εἰς ὁμοίωμα υἱοῦ ἀνθρώπου, οὐκ ἐτόλμησεν ἀποκριθῆναι ὁ Προφήτης. Εἰ δὲ Γαβριὴλ ὀπτανόμενος τρόμον ἐνεποίει προφήταις, αὐτὸς ὁ Θεὸς εἰ ὤφθη καθ' ὅ ἦν, οὐκ ἀπώλλυντο πάντες;

Κείσθωσαν ἐνταῦθα καὶ τὰ καλὰ καὶ διδακτικώτατα ἐκεῖνα τοῦ ἱεροῦ Μαξίμου (εἰς τὸ περὶ οὐρανίου ἱεραρχίας Διονυσ. τοῦ Ἀρεοπαγ. κεφ. δ'.)· «Ὅρα πῶς ἐξηγεῖται τὸ ῥητὸν τὸ λέγον, Θεὸν οὐδεὶς ἑώρακε πώποτε, ὅπερ ἀληθέστατον ἡγοῦμαι, καὶ εἰδὼς ὅτι εἰσὶ γραφικὰ ῥήματα λέγοντα, ὡς ὁ Θεὸς ὤφθη τοῖς ἀνθρώποις, ὡς ἐπὶ τοῦ Ἀδὰμ, ὡς ἐν τῷ παραδείσῳ· καὶ ἐπὶ τοῦ Ἀβραὰμ ἐν τῇ δρυῒ τῇ Μαμβρῇ, καὶ ὅτε εἰς Σόδομα ἐπορεύοντο· καὶ τῷ Μωσεῖ εἰς τὸ ὄρος, εἰ καὶ τὰ ὀπίσθια λέγεται ἑωρακέναι· καὶ λέγει ὅτι αὐτὸ μὲν τὸ κρύφιον τοῦ Θεοῦ οὐδεὶς ἑώρακε, οὐδὲ ὄψεται, ὅπερ ἐστὶν οὐσία αὐτοῦ· ἢ καὶ ὑψηλότερον, ὅτι οὐδεὶς κατανοῆσαι καὶ φράσαι δύναται ἢ δυνήσεται, τί ἐστιν ὁ Θεός· εἰ δὲ καὶ ἐγένοντό τισι θεοφάνειαι τῶν ἁγίων, νόησον ὅτι ἀναλόγως ἕκαστος τῆς ἰδίας πίστεως ἠξιοῦτό τινος ὁράσεως ἐμφαινούσης αὐτῷ τὸ θεῖον, δι' ἧς τὴν ἔλλαμψιν ἐδέχετο τῶν εἰς αὐτὸν ἐρχομένων θείων γνώσεων» (σελ. 20). Ὅμοια τούτοις πρὸ τοῦ Μαξίμου ἔγραψεν ὁ μακάριος Θεοδώρητος, ἑρμηνεύων τὰς ὁράσεις καὶ ὄψεις, δι' ὧν ὠπτάνετο ὁ ἀόρατος καὶ ἀπερίγραπτος Θεὸς τοῖς δικαίοις ἀνδράσιν (εἰς Δανιὴλ κεφ. Ζ'.).

[1]) Αἱ πρὸ τοῦ Τ. ἐκδόσεις καὶ ὁ Κώδ. Α. ἔχουσιν «ἐπεχείρησε».

[2]) Ἐν ταῖς ἐκδόσεσι τῆς ἁγίας Γραφῆς ἀναγινώσκεται ἡ ῥῆσις αὕτη οὕτως· «Οὐ γὰρ μὴ ἴδῃ ἄνθρωπος τὸ πρόσωπόν μου, καὶ ζήσεται».

[3]) Οὕτως ἑνικῶς ἡ λέξις ἐν τοῖς Κώδ. Α, R., C., Coisl., Ottob. καὶ ἐν τῷ ἱερῷ κειμένῳ· αἱ δὲ ἐκδόσεις ἔχουσι «τοὺς οὐρανούς».

§ Β'. Θείαν τοίνυν φύσιν ἰδεῖν σαρκὸς ὄμμασιν ἀδύνατον· ἐκ δὲ τῶν ἔργων τῶν θείων εἰς φαντασίαν τῆς δυνάμεως [1]) ἐλθεῖν δυνατὸν [2]), κατὰ τὸν Σολομῶντα τὸν λέγοντα· « Ἐκ γὰρ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται »· οὐ γὰρ εἶπεν, ὅτι ἐκ τῶν κτισμάτων ὁ γενεσιουργὸς θεωρεῖται, ἀλλὰ προσέθηκεν, ὅτι [3]) ἀναλόγως· τοσούτῳ γὰρ μείζων ἑκάστῳ φαίνεται ὁ Θεός, ὅσῳ ἂν μείζονος θεωρίας τῶν κτισμάτων ἐπιλάβηται ὁ ἄνθρωπος· καὶ ὅταν διὰ τῆς μείζονος θεωρίας ὑψωθῇ τῇ καρδίᾳ, μείζονα καὶ περὶ Θεοῦ λαμβάνει φαντασίαν [4]).

§ Γ'. Καὶ θέλεις γνῶναι, ὅτι Θεοῦ φύσιν καταλαβεῖν ἀδύνατον; Λέγουσιν οἱ τρεῖς παῖδες ἐν τῇ καμίνῳ τοῦ πυρὸς ὑμνολογοῦντες τὸν

---

[1]) Μετὰ τό, « δυνάμεως », ἐν τῷ Κώδ. Α. κεῖται « αὐτοῦ ».

[2]) Θαυμασίως συνᾴδουσι τοῖς ἐνταῦθα ὑπὸ τοῦ Κυρίλλου λεγομένοις καὶ ταῦτα πλατύτερον ἀναπτύσσουσι τὰ ἀξιάγαστα ἐκεῖνα τοῦ Θεοφίλου Ἀντιοχείας· « Καθάπερ ψυχὴ ἐν ἀνθρώπῳ οὐ βλέπεται, ἀόρατος οὖσα ἀνθρώποις, διὰ δὲ τῆς κινήσεως νοεῖται ἡ ψυχή· οὕτως ἔχοι ἂν καὶ τὸν Θεὸν μὴ δύνασθαι ὁραθῆναι ὑπὸ ὀφθαλμῶν ἀνθρωπίνων, διὰ δὲ τῆς προνοίας καὶ τῶν ἔργων αὐτοῦ βλέπεται καὶ νοεῖται. Ὃν τρόπον γὰρ καὶ πλοῖον θεασάμενός τις ἐν τῇ θαλάσσῃ κατηρτισμένον, καὶ τρέχον, καὶ κατερχόμενον εἰς λιμένα, δῆλον ὅτι ἡγήσεται εἶναι ἐν αὐτῷ κυβερνήτην τὸν κυβερνῶντα αὐτό, οὕτω δεῖ νοεῖν εἶναι τὸν Θεὸν κυβερνήτην τῶν ὅλων, εἰ καὶ οὐ θεωρεῖται ὀφθαλμοῖς σαρκίνοις, διὰ τὸ αὐτὸν ἀχώρητον εἶναι» (πρὸς Αὐτόλ. βιβλ. ά. σελ. 246)· καὶ ὁ Μ. Ἀθανάσιος (κατὰ Ἑλλήν. Τόμ. ά. σελ. 38)· « Οὕτω διεκόσμησε τὴν κτίσιν ὁ Θεός, ὥστε καὶ μὴ ὁρώμενον αὐτὸν τῇ φύσει, ὅμως ἐκ τῶν ἔργων γινώσκεσθαι ». Φησὶ δὲ καὶ ὁ Μ. Βασίλειος (κατὰ Εὐνομ. Λόγ. ά)· « Ἐκ τῶν ἐνεργειῶν τοῦ Θεοῦ ἀναγομένους ἡμᾶς, καὶ διὰ τῶν ποιημάτων τὸν ποιητὴν ἐννοοῦντας, τῆς ἀγαθότητος αὐτοῦ καὶ τῆς σοφίας λαμβάνομεν τὴν σύνεσιν».

[3]) Ἐν τῷ Κώδ. Α. ἀντὶ τοῦ «ὅτι» κεῖται «τὸ».

[4]) Πόσον ἡ θεωρία τῆς φύσεως, προσηκόντως τε καὶ ἐπιστημόνως γινομένη, ὑψοῖ, καθαίρει καὶ ἀναβιβάζει τὸν νοῦν τοῦ ἀνθρώπου πρὸς τὸν δημιουργὸν Θεόν, ἐδήλωσεν ἄριστα καὶ ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Θεόδωρος, ἐπίσκοπος Ἐδέσσης (ἐν τῇ Φιλοκαλίᾳ σελ. 283)· « Καθαρτικώτατον γὰρ τὸ τὰς φύσεις τῶν ὄντων περιεργάζεσθαι, τῆς ἐμπαθοῦς πρὸς αὐτὰ διαθέσεως καὶ τῆς περὶ ταῦτα ἀπάτης ἀπαλλακτικόν, καὶ πρὸς τὴν

Θεόν· «Εὐλογητὸς εἶ ὁ ἐπιβλέπων ἀβύσσους, καθήμενος ἐπὶ τῶν Χερουβίμ». Εἰπέ μοι, τίς ἐστιν ἡ φύσις τῶν Χερουβίμ, καὶ τότε τὸν ἐπικαθήμενον θεώρει [1]). Καί τοι γε Ἰεζεχιὴλ ὁ προφήτης καὶ τὴν ἔκφρασιν αὐτῶν ἐποιήσατο κατὰ τὸ δυνατὸν, λέγων, ὅτι [2]) τέσσαρα πρόσωπα τῷ ἑνὶ, τὸ μὲν ἀνθρώπου, τὸ δὲ λέοντος, τὸ δὲ ἀετοῦ, τὸ δὲ μόσχου· καὶ ὅτι ἓξ πτέρυγες [3]) τῷ ἑνὶ, καὶ ὀφθαλμοὶ αὐτοῖς πανταχόθεν· καὶ ὅτι ὑπὸ ἕκαστον [4]) τροχὸς τετραμερὴς ὑποκείμενος· καὶ ὅμως τοῦ προφήτου τὴν ἔκφρασιν ποιουμένου, οὔπω ἡμεῖς οὐδὲ ἀναγινώσκοντες καταλαβεῖν δυνάμεθα. Εἰ δὲ τὸν θρόνον, ὃν διηγήσατο, καταλαβεῖν οὐ δυνάμεθα, τὸν ἐπικαθήμενον ἀόρατον [5]) καὶ ἀνεκδιήγητον Θεὸν πῶς καταλαβεῖν δυνησόμεθα; [6]) Φύσιν μὲν οὖν [7])

πάντων ἀρχὴν ἀναγωγικώτατον, ἀπὸ τῶν καλῶν καὶ θαυμαστῶν καὶ μεγάλων τὸ κάλλιστον καὶ θαυμαστότατον καὶ μέγιστον, μᾶλλον δὲ τὸ ὑπὲρ τὸ κάλλος καὶ τὴν θαυμασιότητα καὶ τὸ μέγεθος δηλοῦν ἐνοπτρίζεσθαι».

[1]) Οἱ Κώδ. Α., Coisl., Colb. καὶ αἱ ἐκδόσεις τοῦ Μορελίου καὶ Πρεβοτίου ἔχουσι «θεωρεῖς».

[2]) Τὸ, «ὅτι», μὴ κείμενον ἐν ταῖς προτέραις ἐκδόσεσι, καλῶς ποιήσας ὁ Τ. προσέθηκεν ἐξ αὐθεντίας πέντε χειρογράφων· ἔχει τοῦτο καὶ ὁ Α.

[3]) Ἐν τῷ πρώτῳ κεφαλαίῳ τοῦ Ἰεζεκιὴλ τέσσαρες μόνον δηλοῦνται πτέρυγες (στίχ. 6 καὶ 10), οὐχὶ ἕξ· οἱ δὲ Κώδ. R., C. ἔχουσιν «ὀκτώ». Ἐν δὲ τῷ δεκάτῳ κεφαλαίῳ (στιχ. 21) τοῦ αὐτοῦ Προφήτου, κατὰ μὲν τὴν τοῦ Βατικανοῦ ἔκδοσιν ὀκτὼ κεῖνται πτέρυγες, κατὰ δὲ τὰς τοῦ Ἄλδου καὶ Κομπλούτου πάλιν τέσσαρες· τέσσαρας ἔχει καὶ τὸ Ἑβραϊκὸν καὶ ἡ Βουλγάτα· τέσσαρας ἀνέγνω καὶ Θεοδώρητος· ὁ δὲ ἱερὸς Κύριλλος ἔγραψεν ἕξ, (ἂν ἡ γραφὴ τυγχάνῃ γνησία) συγχέας, ὡς φαίνεται, κατὰ μνήμης παραδρομὴν τὰ τοῦ Ἰεζεκιὴλ Χερουβὶμ πρὸς τὰ τοῦ Ἡσαΐου (5, 2). Ἴσως δὲ συνετέλεσεν εἰς τοῦτο καὶ τὸ χωρίον τῆς Ἀποκαλύψεως (δ'. 8), ἔνθα ἀναφέρονται τέσσαρα ζῶα, ἔχοντα ἀνὰ πτέρυγας ἕξ.

[4]) Ἐν τῷ Κώδ. Α. κεῖται «ἑκάστῳ».

[5]) Ὁ Τ. ἔκ τινων Κωδήκων προσέθηκε τὸ μετοχικὸν «ὄντα» πρὸ τοῦ «ἀόρατον»· ἀλλὰ λείπει τοῦτο ἐν ταῖς προτέραις ἐκδόσεσιν· ἐλλείπει καὶ ἐκ τοῦ ἡμετέρου Κώδηκος· οὐδ' ἔστιν ἀναγκαῖον, πολλῷ δὲ μᾶλλον ἐμφαντικώτερος πρόεισιν ὁ λόγος ἄνευ τοῦ μετοχικοῦ ἐκείνου.

[6]) Οἱ Κώδ. Α., R., C. ἔχουσι τὸν ἐνεστῶτα «δυνάμεθα».

[7]) Ἐθήκαμεν τὸν «οὖν» ἐνταῦθα,

Θεοῦ πολυπραγμονεῖν ἀδύνατον, δοξολογίας δὲ ἀναπέμπειν αὐτῷ ἐπὶ τοῖς δρωμένοις αὐτοῦ δημιουργήμασι δυνατόν [1]).

§ Δ΄. Ταῦτα δὲ ὑμῖν λέγεται διὰ τὴν τῆς πίστεως ἀκολουθίαν, καὶ διὰ τὸ λέγειν ἡμᾶς· «Πιστεύομεν εἰς ἕνα Θεόν, Πατέρα, Παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων»· ἵνα μνημονεύωμεν, ὅτι αὐτός ἐστι Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ αὐτός ἐστιν ὁ πεποιηκὼς τὸν οὐρανὸν καὶ τὴν γην· [2]) καὶ ἵνα ἀσφαλιζώμεθα ἑαυτοὺς διὰ τὰς ἐκτροπὰς τῶν ἀθέων αἱρετι-

---

λίαν προσφυῶς κείμενον ἐν τοῖς Κώδ. Α., R. Ὁ γὰρ Πατὴρ, οἷον ἀνακεφαλαιῶν καὶ περαίνων τὰ εἰρημένα, συλλογιστικῶς ἐξενήνοχε τὴν φράσιν. Ἔλλειπεν ὁ «οὖν» ἐκ πασῶν τῶν ἐκδόσεων.

[1]) Ἀντὶ τοῦ «δυνατὸν» τέσσαρες Κώδ. R., C., Coisl., Ottob. ἔχουσιν «εὐσεβέστατον».

[2]) Ταῦτα λέγει ὁ Πατὴρ κατὰ τῶν αἱρετικῶν ἐκείνων, οἵτινες ἄλλον ἔλεγον τὸν δημιουργὸν τοῦ κόσμου, καὶ ἄλλον τὸν Πατέρα τοῦ Ἰησοῦ Χριστοῦ. Ἔνοχοι τῆς ἀσεβείας ταύτης ἦσαν ὁ Σίμων, ὁ Μένανδρος, ὁ Σατουρνῖνος, ὁ Βασιλείδης, ὁ Καρποκράτης, οἵτινες ὑπ' ἀγγέλων ἔλεγον τὸν κόσμον δεδημιουργημένον· Εἰρηναῖος (βιβλ. ά. κεφ. 23—26). Τοὺς κακόφρονας τούτους ἀνωνύμως ἀναφέρει καὶ ὁ Κύριλλος (Κατηχ. ιά. § 21.)· «Φιμούσθωσαν οἱ λέγοντες ἀγγέλων δημιούργημα τὸν κόσμον». Τοῖς αἱρετικοῖς τούτοις, τοῖς περὶ τὴν δημιουργίαν τοῦ κόσμου νοσοῦσιν, ἐγκαταλέγονται καὶ Κήρινθος καὶ Μαρκίων καὶ Οὐαλεντῖνος, περὶ ὧν ὁ Κύριλλος (Κατηχ. ς΄. § 16, 17.)· ἔτι δὲ καὶ Τατιανὸς καὶ Πτολεμαῖος καὶ Μάρκος· Εἰρηναῖος (ά. 28.)· πρὸς δὲ τούτοις καὶ οἱ Μανιχαῖοι, οἱ ἐκ τῆς κακῆς ἀρχῆς τὸν κόσμον παραχθέντα ληρήσαντες· ὅρα Κύριλλον (Κατήχ. ς΄. § 13, 27, 32.). Διὰ τὴν δύσθεον δὲ ταύτην γλωσσαλγίαν τῶν πολυπληθῶν τούτων αἱρετικῶν οἱ θεομακάριστοι Ἀπόστολοι καὶ Πατέρες ἔθηκαν ἐν τῷ ἱερῷ συμβόλῳ τὸν οὐσιώδη ἐκεῖνον περὶ τῆς αἱρέσεως ταύτης ὅρον· «ποιητὴν οὐρανοῦ καὶ γῆς». Ὅθεν εἶπε καὶ ὁ μακάριος Εἰρηναῖος (ά, 10)· «Ἡ μὲν Ἐκκλησία, καίπερ καθ' ὅλης τῆς οἰκουμένης ἕως περάτων τῆς γῆς διεσπαρμένη, παρὰ δὲ τῶν Ἀποστόλων καὶ τῶν ἐκείνων μαθητῶν παραλαβοῦσα τὴν εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, τὸν πεποιηκότα τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὰς θαλάσσας καὶ πάντα τὰ ἐν αὐτοῖς πίστιν» κτλ. Κανόνα τῆς πίστεως (**Regulam fidei**) ὀνομάζει καὶ ὁ Τερτυλλιανὸς τὸ ἕνα Θεὸν καὶ

κῶν, τῶν τετολμηκότων κακῶς ἀναγορεύειν [1]) τὸν πάνσοφον τεχνίτην παντὸς τοῦδε τοῦ κόσμου, τῶν βλεπόντων μὲν σαρκὸς ὀφθαλμοῖς, τὰ δὲ ὄμματα τῆς διανοίας πεπωρωμένων [2]).

§. Ε΄. Τί γὰρ ἔχουσι μέμψασθαι τῷ μεγίστῳ δημιουργήματι τοῦ Θεοῦ; [3]) οὓς ἔδει ἐκπλαγῆναι θεωρήσαντας τῶν οὐρανῶν τὰ κύτη· οὓς ἔδει προσκυνῆσαι τὸν στήσαντα ὡς καμάραν τὸν οὐρανόν· τῶν ἐκ ῥευστῆς φύσεως τῶν ὑδάτων ἄπτωτον ὑπόστασιν οὐρανοῦ ποιήσαντα [4]). Εἶπε γὰρ ὁ Θεός· « Γεννηθήτω τὸ στερέωμα ἐν μέσῳ

μὴ ἄλλον ὁμολογεῖν τὸν τοῦ κόσμου τούτου δημιουργὸν (de praescript. haeret. cap. 13.)· ἀλλὰ καὶ Ὠριγένης ἱστορεῖ περὶ τῶν ἀρχαίων χριστιανῶν, ὅτι τὸν Θεὸν ὁμολογοῦντες προσετίθουν καὶ « ὁ δημιουργὸς τῶν ὅλων, ὁ ποιητὴς οὐρανοῦ καὶ γῆς » (Ὠριγ. κατὰ Κέλσου βιβ. ά.). Τοσοῦτον προσεῖχον καὶ ἠσφαλίζοντο οἱ εὐσεβεῖς χριστιανοὶ ἀπὸ τῆς δυσσεβείας τῶν αἱρετικῶν ἐκείνων.

[1]) Οἱ Κώδ. R., C. ἔχουσιν « ἀπαγορεύειν »· ἀλλ' ἦν πολλῷ κάλλιον τὸ ἁπλοῦν « ἀγορεύειν ».

[2]) Ἀντὶ « πεπωρωμένων », ὁ Κώδ. A. ἔχει « πεπωρωμένα ἐχόντων ».

[3]) Πρὸς ὁμοίους ἀσεβεῖς ἀποτείνων τὸν λόγον καὶ ὁ μακάριος Θεοδώρητος, κράζει· « Πόθεν ἐπὶ ταύτην ὡρμήθητε τὴν ἀσέβειαν; τί τῶν ὁρωμένων ὑμῖν ἄκοσμον διαφαίνεται; τί τῶν γινομένων ἄκοσμον καθορᾶται; ποῖον τῆς κτίσεως μέρος ἐνδεὲς ἁρμονίας; ποῖον κάλλους ἢ μεγέθους προσδεῖται; ποῖον οὐκ εὐαρμόστως κινούμενον ταύτην ἐν ὑμῖν ἐγέννησε τὴν ἀσέβειαν; » (περὶ προνοίας Λόγ. ά.). Ἡ ἀσέβεια αὕτη ἐστὶν ἀντίθετος τῇ ὑπὸ ἐθνικῶν τινων φιλοσόφων πάλαι πρεσβευομένῃ· ἐκεῖνοι μὲν γὰρ ὑπὲρ ὃ δεῖ τὸν κόσμον τιμήσαντες, Θεὸν αὐτὸν ἀνεκήρυξαν (βλ. Ὠριγ. κατὰ Κέλσ. βιβλ. έ. Εὐσέβ. εὐαγγελ. Προπαρασκ. βιβλ. ιέ. Σενέκαν Epist. 97.)· οὗτοι δὲ οὐδ' ὡς κτίσμα καὶ δημιούργημα Θεοῦ θαυμάσαι τοῦτον ἠθέλησαν, πρὸς τὰ μεγαλεῖα τοῦ παντοκράτορος ἄγαν ἀμβλυωποῦντες.

[4]) Ἐξ ὑδάτων συνεστῶτα εἶπε τὸν οὐρανὸν ὁ Κύριλλος καὶ Κατηχ. γ΄. § 5. Περὶ τῆς φύσεως καὶ οὐσίας τοῦ οὐρανοῦ ὁ μὲν Χρυσόστομος ἀπέσχεν ὅλως εἰπεῖν τι, οὐδ' ἐνόμισε δυνατὸν εἰδέναι, τί τὴν οὐσίαν ἐστὶν ὁ οὐρανός, σιωπώσης τῆς Γραφῆς περὶ τούτου· « Οὐχ ὁρᾷς τουτονὶ τὸν οὐρανόν; ὅτι μὲν καμάρας εἰκόνα διασώζει, ἴσμεν, καὶ τοῦτο αὐτὸ οὐκ ἀπὸ λογισμῶν, ἀλλ' ἀπὸ τῆς θείας Γραφῆς μαθόντες· καὶ ὅτι πᾶσαν περιλαμβάνει τὴν γῆν, καὶ τοῦτο ἴσμεν, ὁμοίως παρ' ἐκείνης ἀκούσαντες· τίς

τοῦ ὕδατος»· εἶπεν ὁ Θεὸς ἅπαξ· καὶ ἔστηκε [1]), καὶ οὐ πίπτει. Ὕδωρ ὁ οὐρανὸς, καὶ πύρινοι οἱ ἐν αὐτῷ, ἥλιος καὶ σελήνη καὶ τὰ ἄστρα· καὶ πῶς τὰ πύρινα ἐν τῷ ὕδατι τρέχει; Εἰ δέ τις διὰ τὰς ἐναντίας φύσεις πυρὸς καὶ ὕδατος ἀμφιβάλλει, μνημονευέτω τοῦ πυρὸς, τοῦ ἐπὶ Μωϋσέως ἐν Αἰγύπτῳ φλογίζοντος ἐν τῇ χαλάζῃ, καὶ βλεπέτω τοῦ Θεοῦ τὴν πάνσοφον δημιουργίαν· ἐπειδὴ γὰρ ἦν ὑδάτων χρεία, μελλούσης τῆς γῆς γεηπονεῖσθαι, ὑδατώδη κατεσκεύασεν ὑπεράνω τὸν οὐρανὸν, ἵνα, ὅταν δι' ὑετῶν ἀρδείας γένηται χρεία τῷ τῆς γῆς χωρίῳ, ἕτοιμος ᾖ ἐκ φύσεως πρὸς τοῦτο ὁ οὐρανός.

§ ϛ'. Τί δὲ καὶ θαυμάσαι οὐκ ἔστιν ἀποβλέποντα καὶ εἰς ἡλίου

δὲ τὴν οὐσίαν ἐστὶν, ἀγνοοῦμεν. Εἰ δέ τις διϊσχυρίζοιτο καὶ φιλονεικοίη, λεγέτω τί τὴν οὐσίαν ἐστὶν ὁ οὐρανός· ἆρα κρύσταλλος πεπηγώς; ἆρα νέφος πεπυκνωμένον; ἆρα ἀὴρ παχύτερος; ἀλλ' οὐδεὶς ἂν ἔχοι σαφῶς εἰπεῖν»· Χρυσόστομος (περὶ ἀκαταλήπτου Λόγ. Β'. Τόμ. ά. σελ. 564). Ἄγνωστον καὶ ἄδηλον τὴν οὐσίαν τοῦ οὐρανοῦ ὑπέλαβε καὶ ὁ Θεολόγος Γρηγόριος (Λόγ. 28)· καὶ ὁ θεῖος δὲ Δαμασκηνὸς ἀπαγορεύει ζητεῖν τοῦ οὐρανοῦ τὴν οὐσίαν· «Τὴν μέν τοι οὐσίαν τοῦ οὐρανοῦ οὐ δεῖ ζητεῖν, ἄγνωστον ἡμῖν οὖσαν» (Β'. 6.). Ὁ δὲ Μ. Βασίλειος ἄγαν συνεσταλμένως λαλεῖ περὶ τούτου (ἐν τῇ τρίτῃ αὐτοῦ εἰς τὴν Ἑξαήμερον Ὁμιλίᾳ) καὶ παραγγέλλει «μηδὲν ἐπιτρέπειν ἡμῶν τῷ νῷ πέρα τῶν συγκεχωρημένων φαντασιοῦσθαι,» οὐδ' ἀποδέχεται τοὺς ὕδατι πεπηγότι καὶ κρυστάλλῳ ἐμφερεῖ τὸν οὐρανὸν λέγοντας· αὐτὸς δὲ ὑπολαμβάνει τὴν τοῦ οὐρανοῦ φύσιν λεπτήν τινα ὡσεὶ καπνὸν (Ὁμιλ. ά. εἰς τὴν Ἑξαήμ.). Ἀλλ' οἱ πλεῖστοι, συνῳδὰ τῷ ἡμετέρῳ Κυρίλλῳ, ἐξ ὑδάτων πεπηγέναι τε καὶ συνεστηκέναι τὸν οὐρανὸν λέγουσιν. «Ἐπειδὴ γὰρ, λέγει ὁ Θεοδώρητος, ἐκ τῆς ῥοώδους τῶν ὑδάτων οὐσίας συνέστη, καὶ ἡ ῥυτὴ φύσις στεγανωτάτη γέγονε καὶ στερέμνιος, προσηγορεύθη στερέωμα» (Ἐρώτ. ιά. εἰς Γέν.). «Πῆγμα κρυσταλλοειδὲς καὶ ἀπὸ ὑδάτων παγέντα» θέλει τὸν οὐρανὸν καὶ ὁ Σεβηριανὸς Γαβάλων (ἐν τῇ δευτέρᾳ αὐτοῦ Ὁμιλίᾳ). «Κρύσταλλον θείῳ προστάγματι παγὲν» εἶπε τοῦτον καὶ ὁ Καισάριος (ἐν τῷ ά. Διαλόγῳ, πεύσει 66)· «ὑδατώδη» ἐκάλεσαν τοῦτον ἄλλοι· Δαμασκηνὸς (Β'. 6.).

[1]) Καλῶς ἐποίησεν ὁ Τ. θεὶς τὸ «ἔστηκεν» ἀντὶ τοῦ ἐν ταῖς ἐκδόσεσιν «ἔστη»· «ἔστηκεν» ἔχει καὶ ὁ Κώδ. Α.

κατασκεύασμα; ὡς μικρὸν γὰρ ὁρώμενον σκεῦος, μεγάλην δύναμιν περιέχει, ἐξ ἀνατολῆς φαινόμενος, καὶ μέχρι δύσεως [1]) ἀποστέλλων τὸ φῶς· οὗ τὰς πρωϊνὰς ἀνατολὰς διαγράφων ὁ Ψαλμῳδός, ἔλεγε· « Καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ »· τὸ γὰρ φαιδρὸν καὶ σύμμετρον τῆς πρώτης αὐτοῦ καταστάσεως φαινομένης εἰς οὐρανοὺς [2]) διέγραφε· μεσημβρινὸν μέν [3]) γὰρ διϊππεύοντα πολλάκις καὶ φεύγομεν διὰ τὸ φλογῶδες· ἅμα δὲ ταῖς ἀνατολαῖς τερπνός ἐστι τοῖς πᾶσιν, ὡς νυμφίος ὁρώμενος [4]). Καὶ βλέπε τὴν διοίκησιν αὐτοῦ (μᾶλλον δὲ οὐκ αὐτοῦ, ἀλλὰ τοῦ τὸν δρόμον αὐτῷ διὰ

---

[1]) Οἱ Κώδ. A., R., C. « δυσμῶν ».

[2]) Ἀντὶ « οὐρανοὺς », αἱ ἐκδόσεις ἔχουσιν « ἀνθρώπους », ἀλλὰ προσφυεστέρα ἡ γραφὴ « οὐρανούς »· τὸν ἐν τῷ οὐρανῷ γὰρ δρόμον τοῦ ἡλίου περιγράφει ὁ Κύριλλος. « Οὐρανοὺς » ἔχει καὶ ὁ Ἀρχιεπισκ. Κώδηξ καὶ ἄλλοι Κώδηκες, οὓς ἀναφέρει ὁ Μ. καὶ Τ.

[3]) Ἐλλείπει ὁ « μὲν » ἐκ τῶν Κωδ. A., R., C.

[4]) Ἐκ ταύτης τῆς περιγραφῆς τοῦ ἡλίου φαίνονται εἰλημμένα καὶ ὅσα ἐκτίθησιν ὁ Καισάριος, τὸν ἥλιον καὶ αὐτὸς περιγράφων (Διάλογ. ά. Ἀπόκρ. 70.). Ὁμοίας περιγραφὰς τοῦ ἡλίου ἔχουσι πολλοὶ καὶ ἄλλοι Πατέρες, οἷον Γρηγόρ. Ναζ. (Λόγ. κή.), Θεοδώρητος (περὶ Προνοίας Λόγ. ά.) κ. ἄλ. Ἅπασα ἡ εἰς τὴν Ἑξαήμερον ἕκτη ὁμιλία τοῦ Μ. Βασιλείου ταύτην ἔχει τὴν ὑπόθεσιν, τὰ τῶν δύο μεγάλων φωστήρων ἀξίως ὑψηγοροῦσα. Ἡμεῖς παρατίθεμεν ἐνταῦθα μόνην τὴν γλαφυρὰν ὑπὸ τοῦ Χρυσοστόμου περιγραφήν· « Εἶδες σοφίαν τοῦ δημιουργοῦ; Εἶπε μόνον, καὶ παρήχθη τὸ στοιχεῖον τοῦτο τὸ θαυμαστὸν, ὁ ἥλιος λέγω. Τοῦτον γὰρ καλεῖ φωστῆρα μέγαν, καί φησιν αὐτὸν εἰς ἀρχὰς τῆς ἡμέρας γεγενῆσθαι. Οὗτος γὰρ φαιδροτέραν τὴν ἡμέραν ἀπεργάζεται, καθάπερ μαρμαρυγάς τινας τὰς οἰκείας ἀκτῖνας ἀφιείς, καὶ καθ' ἑκάστην ἡμέραν ἀκμαῖον τὸ οἰκεῖον κάλλος ἐπιδεικνύμενος, καὶ ἅμα τῷ ὄρθρῳ φαινόμενος, καὶ πᾶσαν τὴν τῶν ἀνθρώπων φύσιν διεγείρων πρὸς τὴν τῶν οἰκείων ἔργων ἐπιτήδευσιν. Τούτου τὸ κάλλος ἐμφαίνων ὁ μακάριος Προφήτης φησί· « Καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ, ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδὸν αὐτοῦ· ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ, καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ ». Ὁρᾷς ὅπως καὶ τὸ κάλλος ἡμῖν παρεδήλωσε, καὶ τὸ τάχος τῆς ἐνεργείας; Εἰπὼν γὰρ, ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ

προστάγματος ὁρίσαντος)· πῶς θέρους μὲν, ὑψηλότερος γινόμενος, μακροτέρας ἀπεργάζεται τὰς ἡμέρας, διδοὺς εὐκαιρίαν εἰς ἔργα τοῖς ἀνθρώποις· χειμῶνος δὲ, συστέλλει τὸν δρόμον, ἵνα μὴ τοῦ ψύχους πλείων γένηται ὁ χρόνος, ἀλλ' ἵνα αἱ νύκτες μείζονες γινόμεναι, πρὸς ἄνεσιν μὲν συνεργῶσι τοῖς ἀνθρώποις, συνεργῶσι δὲ καὶ πρὸς καρποφορίαν τῶν γεννημάτων τῆς γῆς [1]). Ὅρα δὲ καὶ πῶς ἀντιπαραδιδόασιν ἀλλήλαις εὐτάκτως αἱ ἡμέραι, θέρους μὲν αὐξανόμεναι, χειμῶνος δὲ συστελλόμεναι, ἐν ἔαρι δὲ καὶ φθινοπώρῳ τὴν ἰσότητα τῶν διαστημάτων ἀλλήλαις χαριζόμεναι· καὶ αἱ νύκτες πάλιν ἐπιτελοῦσι τὰ παραπλήσια, ὡς καὶ τὸν Ψαλμῳδὸν λέγειν περὶ αὐτῶν· « Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν » [2])· τοῖς γὰρ οὐκ ἔχουσιν ὦτα αἱρετικοῖς μονονουχὶ βοῶσι, καὶ

ἔξοδος αὐτοῦ, καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ, ἐσήμανεν ἡμῖν, ὅπως ἐν μιᾷ καιροῦ ῥοπῇ πᾶσαν διατρέχει τὴν οἰκουμένην, καὶ ἀπὸ περάτων εἰς πέρατα τὰς οἰκείας ἀκτῖνας ἀφίησι, πολλὴν τὴν ἑαυτοῦ χρείαν παρεχόμενος. Οὔτε γὰρ θερμαίνει μόνον, ἀλλὰ καὶ ξηραίνει· καὶ οὐ ξηραίνει μόνον, ἀλλὰ καὶ καίει, καὶ πολλὰς καὶ διαφόρους ἡμῖν τὰς χρείας παρέχεται, καὶ πολὺ τοῦ στοιχείου τούτου τὸ θαῦμα, καὶ οὐκ ἄν τις κατ' ἀξίαν ἅπαντα εἰπεῖν δυνηθείη » (Τόμ. δ'. σελ. 53.).

[1]) Οὐκ ἐκρίναμεν δέον ἵνα μετακινήσωμεν τὴν ἐν ταῖς ἐκδόσεσι καλῶς ἔχουσαν γραφὴν «τῆς γῆς», ἣν ἔχει καὶ ὁ Κώδ. Α. Ὁ Τουτέος ἐκ τῶν δύο Κωδ. R., C. ἔθηκε «τῇ γῇ».

[2]) Τὴν ἐν τάξει ταύτην διαδοχὴν τῆς νυκτὸς καὶ ἡμέρας ὑπογράφει καὶ ὁ μακάριος Θεοδώρητος (ἐν τῇ ἑρμηνείᾳ τοῦ ιη'. ψαλμοῦ, ἐν πλείονι δὲ ἐκτάσει ἐν τῷ α'. Λόγῳ περὶ προνοίας). Θαυμάσια εἰσὶ καὶ τῷ χρυσοστομικῷ ἐκείνῳ καλάμῳ πρέποντα ὅσα καὶ ὁ χρυσοῦς Διδάσκαλος γράφει περὶ τῆς νυκτὸς καὶ ἡμέρας· « Ὅταν γὰρ ἴδῃς τὴν εὐταξίαν τῶν καιρῶν τούτων, καὶ πῶς τὸ οἰκεῖον ἀπαρτίσασα μέτρον ἡ ἡμέρα, οὐ φιλονεικεῖ τὴν νύκτα ἐξῶσαι τῶν οἰκείων ὅρων, οὐδὲ πλεονεξίαν τινὰ ἐπιδείκνυται, οὐδὲ, ἐπειδὴ φαιδροτέρα ἐστὶν αὐτῆς, τὸν ἅπαντα βιάζεται κατασχεῖν χρόνον, ἀλλ' ἀναχωρεῖ· καὶ ἡ νὺξ τὸ αὐτὸ πάλιν, ἀπαρτίσασα τὸν αὐτῆς δρόμον, παραχωρεῖ τῇ ἡμέρᾳ, καὶ τοῦτο ἐπὶ τοσούτοις ἔτεσι γέγονε, καὶ οὐδεμία σύγχυσις οὐδὲ ταραχὴ, καὶ οὔτε αὕτη ἐξώθησεν ἐκείνην, οὔτε ἐκείνη ἐπλεονέκτησε ταύτην, καί τοι

διὰ τῆς εὐταξίας λέγουσι [1]), μὴ ἄλλον τινὰ εἶναι Θεὸν, ἢ τὸν δημιουργὸν καὶ ὁροθέτην, τὸν ἐκτάξαντα τὰ ὅλα.

§ Ζ΄. Μηδεὶς δὲ ἀνεχέσθω [2]) λεγόντων τινῶν, ἄλλον μὲν εἶναι τὸν φωτὸς ποιητὴν, ἄλλον δὲ σκότους [3])· μνημονευέτω γὰρ [4]) Ἡσαΐου λέγοντος· « Ἐγὼ ὁ Θεὸς ὁ ποιήσας φῶς, καὶ κατασκευάσας σκότος [5]) ». Τί ἀσχάλλεις ἐπ' αὐτῷ, ὦ ἄνθρωπε; τί βαρέως φέρεις τὸν καιρὸν, τὸν εἰς ἀνάπαυσιν σοὶ δοθέντα; οὐκ ἂν οἰκέτης παρὰ δεσποτῶν ἔλα-

---

ἡ μὲν φαιδροτέρα, ἡ δὲ ζοφωδεστέρα· πάλιν τὴν εὐταξίαν θαυμάσας, οὐ δόξαν ἀναπέμψεις Θεῷ; Καὶ καθάπερ ἀδελφαὶ δύο οἰκείως πρὸς ἀλλήλας διακείμεναι, πατρῷον διανειμάμεναι κλῆρον ἐν σταθμοῖς καὶ ζυγοῖς, οὐδὲ τὸ τυχὸν ἑτέρα τὴν ἑτέραν πλεονεκτεῖ· οὕτω δὴ καὶ νὺξ καὶ ἡμέρα τὸν χρόνον ἅπαντα διελόμεναι, τοσαύτην διατηροῦσιν ἰσότητα, οὐδὲ τὸ τυχὸν ἀλλήλας πλεονεκτοῦσαι, ὅσην ἴστε διὰ τῆς πείρας αὐτῆς μαθόντες » (Τόμ. ϛ΄. σελ. 170).

[1]) Κομψοτέρα ἡ φράσις ἐν τῷ Κώδ. Α. « βοῶσι διὰ τῆς εὐταξίας καὶ λέγουσι ».

[2]) Ἐθήκαμεν τὸν ἐνεστῶτα « ἀνεχέσθω » ἐκ τῶν Κωδ. Α., R., C., Coisl, Ottob. ἀντὶ « ἀνασχέσθω », ὅπερ ἔκειτο ἐν ταῖς ἐκδόσεσιν. Ὁ ἐνεστὼς καὶ νόημα δίδωσι κρεῖττον, καὶ μᾶλλον συνᾴδει πρὸς τὸν κατωτέρω ἐνεστῶτα.

[3]) Τοὺς Μανιχαίους μάλιστα ἐννοεῖ ὁ Πατὴρ καὶ ἐνταῦθα, τοὺς ἄλλον μὲν τὸν τοῦ φωτὸς, καὶ ἄλλον τὸν τοῦ σκότους Θεὸν ληροῦντας· « Ὁ Μάνης δύο ἀρχὰς εἰσηγεῖται ἀνάρχους ἀεὶ οὔσας, καὶ μηδέποτε διαλιπούσας τὸ εἶναι, ἀντικειμένας πρὸς ἀλλήλας· καὶ τῇ μὲν μιᾷ ὄνομα τίθησι τὸ φῶς καὶ ἀγαθὸν, τῇ δὲ ἑτέρᾳ σκότος καὶ κακίαν »· Ἐπιφάν. (Τόμ. ά. σελ. 625). Τὸ δὲ καθ' ἡμᾶς τοῦτο σκότος τῆς νυκτὸς ἔλεγον οἱ Μανιχαῖοι « δεῖγμα τοῦ πρώτου ἐκείνου καὶ ἀγεννήτου σκότους »· Τίτος Βόστρων (κατὰ Μανιχ. βιβλ. β΄.). Τοὺς αἱρετικοὺς τούτους, τοὺς ἀρχικὸν καὶ ἀγέννητον τὸ σκότος τιθέντας, καὶ τὴν νύκτα ἀποσχίζοντας τῆς τοῦ Θεοῦ δημιουργίας, ἐξελέγχει καὶ ὁ Μ. Βασίλειος (ἐν τῇ δευτέρᾳ αὐτοῦ εἰς τὴν Ἑξαήμερον Ὁμιλίᾳ σελ. 20), καὶ ὁ Χρυσόστ. (εἰς ψαλμ. ή. Τόμ. έ. σελ. 104).

[4]) Ἀντὶ τοῦ « γὰρ » οὐκ ἀπροσφυῶς κεῖται « δὲ » ἐν τῷ Κώδ. Α.

[5]) Ἐθήκαμεν « κατασκευάσας » ἐκ τοῦ Κώδ. Α. ἀντὶ « κτίσας »· ἐν τῇ προφητικῇ δὲ ταύτῃ ῥήσει ὁ Κύριλλος ἐναλλαγὴν ἐποιήσατο τῶν μετο-

βεν ἀνάπαυσιν, εἰ μὴ τὸ σκότος ἐπάναγκες ἐπῆγε τὴν προθεσμίαν [1])· πῶς δὲ πολλάκις καμόντες ἐν ἡμέρᾳ, ἐν νυξὶν ἀνανεούμεθα, καὶ ὁ τῇ χθὲς ἡμέρᾳ γενόμενος [2]) ἐν καμάτοις, ἕωθεν γίνεται ῥωμαλέος διὰ τὴν τῆς νυκτὸς ἀνάπαυσιν [3]); Τί δὲ νυκτὸς πρὸς σοφίαν χρησιμώτερον; ἐν ταύτῃ μὲν γὰρ πολλάκις τὰ περὶ Θεοῦ φανταζόμεθα· ἐν αὐτῇ δὲ ἀνάγνωσιν καὶ θεωρίαν τῶν θείων λογίων ποιούμεθα. Πότε δὲ μᾶλλον εἰς ψαλμῳδίαν καὶ προσευχὴν συντέταται ἡ διάνοια ἡμῶν; ἆρα οὐκ ἐν νυκτί; Πότε δὲ πολλάκις τῶν οἰκείων ἁμαρτιῶν ἤλθομεν εἰς ὑπόμνησιν; οὐκ ἐν νυκτί; [4]) Μὴ τοίνυν παραδεξώμεθα

χῶν· οὕτω γὰρ ἔχει τὸ ἱερὸν κείμενον· « ἐγὼ ὁ κατασκευάσας φῶς, καὶ ποιήσας σκότος ».

[1]) Προειλόμεθα τὸν παρατατικὸν χρόνον καὶ τὸ ἄρθρον «τὴν» ἐκ τῶν Κωδ. Α., R., C. Αἱ ἐκδόσεις ἔχουσιν «ἐπήγαγε προθεσμίαν».

[2]) Ἐγράψαμεν « γενόμενος » ἐκ τῶν Κωδ. Α., R., C. Ἐν ταῖς ἐκδόσεσι κεῖται «γεγονώς»· ἀλλ' ὁ ἀόριστος συνᾴδει καὶ πρὸς τὸ ἀνωτέρω « καμόντες ».

[3]) Γλαφυρώτατα διαγράφει καὶ ὁ Χρυσοῤῥήμων τὴν ἐκ τῆς νυκτὸς ὠφέλειαν καὶ ἀνάπαυσιν τῶν ἀνθρώπων· « Ὥσπερ γὰρ ἡ ἡμέρα εἰς ἐργασίαν ἐξάγει τὸν ἄνθρωπον, οὕτως ἡ νὺξ διαδεχομένη, ἀπὸ τῶν μυρίων ἀναπαύει μόχθων, καὶ τῶν φροντίδων ἀφίησι, καὶ κάμνουσαν τὴν κόρην κοιμίζουσα, καὶ τὰ βλέφαρα καταστέλλουσα, ἀκμαζούσῃ τῇ δυνάμει παρασκευάζει τὴν ἀκτῖνα δέχεσθαι πάλιν. Ὥστε καὶ ταύτης οὐκ ὀλίγον τὸ χρήσιμον, ἀλλὰ καὶ σφόδρα πολύ. Εἰ γὰρ μὴ διανέπαυε τὸν ἄνθρωπον ἀπὸ τῶν μυρίων μόχθων ὑποδεχομένη, οὐδὲν ὄφελος ἦν τῆς ἡμέρας εἰς ἐργασίαν αὐτὸν εἰσαγαγούσης· τῆς γὰρ φύσεως ἀπαγορευούσης τῷ διηνεκεῖ πόνῳ, διεφθάρη ἂν καὶ ἀπώλετο τὸ ζῶον, καὶ οὐδὲν αὐτῷ πλέον ἐκ τῆς ἀκτῖνος ἐγένετο» (Τόμ. ς'. σελ. 171). Ὅμοιον τῆς νυκτὸς ἔπαινον ποιεῖ ὁ Χρυσόστομος καὶ Τόμ. β'. σελ. 107. καὶ Τόμ. ά. σελ. 182. Κείσθωσαν ἐνταῦθα καὶ τὰ καλὰ ἐκεῖνα τοῦ Θεοδωρήτου· « Τῶν πόνων κορεννύμενοι μεθ' ἡμέραν, καὶ κοπούμενον τὸ σῶμα νύκτωρ διαναπαύομεν· καὶ κλίνῃ, καὶ ὕπνῳ, καὶ ἡσυχίᾳ τοῦτο καλῶς θεραπεύσαντες, αὖθις αὐτὸ νέον τοῖς ἔργοις ὑπὸ τὴν ἕω προσφέρομεν » (περὶ Προν. Λόγ. ά. σελ. 327).

[4]) Τοῦτ' αὐτὸ λέγει καὶ ὁ Μ. Βασίλειος· « Μάλιστα σχολὴν τῇ ψυχῇ τῆς νυκτερινῆς ἡσυχίας χαριζομένης» κτλ. (Τόμ. γ'. σελ. 105)· Βλέπε καὶ Ὁμιλίαν εἰς τὴν μάρτυρα

κακῶς ἄλλον σκότους εἶναι ποιητήν· ἀγαθὸν γὰρ καὶ τοῦτο δείκνυσιν ἡ πεῖρα καὶ χρησιμώτατον.

§ Η΄. Ἐχρῆν δὲ αὐτοὺς οὐ μόνον ἡλίου καὶ σελήνης τὴν κατασκευὴν ἐκπλαγῆναι καὶ θαυμάσαι, ἀλλὰ γὰρ καὶ τῶν ἀστέρων τὰς εὐτάκτους χορείας, καὶ τοὺς ἀνεμποδίστους δρόμους, καὶ τὰς ἀνατολὰς τὰς εὐκαίρους ἑκάστου· καὶ πῶς οἱ μὲν σημεῖά εἰσι θέρους, οἱ δὲ χειμῶνος· καὶ πῶς οἱ μὲν τοῦ σπόρου τὸν καιρὸν δηλοῦσιν, οἱ δὲ τοῦ πλέειν τὴν ἀρχὴν σημαίνουσι· καὶ ἄνθρωπος ἐν πλοίῳ καθήμενος, καὶ ἐν ἀπεριορίστοις κύμασι πλέων, εἰς ἀστέρας βλέπων εὐθύνει τὴν ναῦν [1])· περὶ τούτων γὰρ τῶν πραγμάτων λέγει ἡ Γραφὴ καλῶς τό, «Καὶ ἔστωσαν εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ εἰς ἐνιαυτούς»· οὐκ εἰς ἀστρολογίας καὶ γενέσεως μυθολογίας. Ὅρα δέ, πῶς καὶ τὸ τῆς ἡμέρας φῶς καλῶς ἡμῖν ἐχαρίσατο ἐκ προσαγωγῆς· οὐ γὰρ

Ἰουλίτταν (Τόμ. 6΄. σελ. 50·). Οὐ παροπτέα δ' ἐνταῦθα καὶ τὰ τοῦ Κλήμεντος Ἀλεξανδρέως· «Ἢ μοι δοκοῦσιν εὐφρόνην κεκληκέναι τὴν νύκτα, ἐπειδὴ τηνικάδε ἡ ψυχὴ πεπαυμένη τῶν αἰσθήσεων συννεύει πρὸς αὐτὴν καὶ μᾶλλον μετέχει τῆς φρονήσεως· διὰ ταῦτ' οὖν καὶ αἱ τελεταὶ γίνονται νυκτὸς μάλιστα, σημαίνουσαι τὴν ἐν νυκτὶ τῆς ψυχῆς συστολὴν ἀπὸ τοῦ σώματος» (Στρωμ. δ΄. κεφ. 22· § 142.).

[1]) Ἀξιάγαστα καὶ τοῖς τοῦ Κυρίλλου προσεοικότα εἰσὶ καὶ τὰ τοῦ μακαρίου Θεοδωρήτου· «Βλέπε καὶ τῶν ἀστέρων τὴν φύσιν, τὴν θέσιν, τὴν τάξιν, τῶν σχημάτων τὴν ποικιλίαν, τὴν τέρψιν, τὴν χρείαν, τὴν χορείαν, τὰς ἐπιτολάς, τὰς δύσεις· τούτους ὁ τῶν ὅλων Δημιουργὸς πεποίηκεν, οὐχ ἵνα μόνον τὸ ζοφῶδες τῆς νυκτὸς φωτίζωσι, καὶ ἐν ἀσελήνῳ νυκτὶ τοῦ φωτὸς τοῖς ἀνθρώποις τὴν χρείαν παρέχωσιν, ἀλλ' ἵνα καὶ ὁδίτην παραπέμπωσι, καὶ τοὺς πλέοντας ξεναγῶσιν» (Περὶ Προν. λόγ· ά. σελ. 331). Χαριέστατα καὶ ὅσα ὁ Χρυσόστομος περὶ τῶν ἀστέρων διέλαβε. «Τίς ἂν εἴποι τὰ ἄλλα πάντα, ὅσα συντελεῖ πρὸς τὴν τῶν ἀνθρώπων φύσιν ἡ τῶν φωστήρων τούτων καὶ τῶν ἀστέρων χρεία; . . . . . Καὶ γὰρ ὁ κυβερνήτης πρὸς τὸν τούτων δρόμον ὁρῶν, καὶ ἀτενίζων εἰς τὸν οὐρανόν, καὶ μετὰ ἀκριβείας ἅπαντα καταμανθάνων, τότε τῆς ναυτιλίας ἅπτεται, καὶ πελάγη διαπερᾷ, καὶ πολλάκις, ζοφερωτάτης οὔσης τῆς νυκτός, ἀπὸ τῆς τῶν ἄστρων θεωρίας ἠδυνήθη τὸ σκάφος ἰθῦναι, καὶ διὰ τῆς αἰ-

ἅμα τὸν ἥλιον ἀνατέλλοντα [1]) θεωροῦμεν, ἀλλὰ προτρέχει μικρόν τι φῶς, ἵνα προμελετήσασα κόρη δύνηται βλέπειν τῆς ἀκτῖνος τὰ μείζονα· ὅπως δὲ τὸ τῆς νυκτὸς σκότος παρεμυθήσατο τοῖς σεληνιαίοις αὐγάσμασι.

§ Θ΄. Τίς ἐστιν ὁ ὑετοῦ πατήρ; τίς δέ ἐστιν ὁ τετοκὼς βώλους δρόσου; [2]) τίς ὁ τὸν ἀέρα παχύνας εἰς νέφη [3]), καὶ κελεύσας τῶν ὄμβρων βαστάζειν τὰ ὕδατα; καὶ ποτὲ μὲν ἄγων ἀπὸ βοῤῥᾶ νέφη χρυσαυγοῦντα, ποτὲ δὲ εἰς ἓν εἶδος μεταποιῶν ταῦτα, καὶ πάλιν μεταφέρων εἰς ποικίλα κύκλων καὶ ἄλλα σχήματα; τίς ὁ δυνατὸς ἀριθμεῖν νέφη σοφίᾳ; περὶ οὗ φησιν ἐν τῷ Ἰώβ· « Ἐπίσταται δὲ διακρίσεις νεφῶν, οὐρανὸν δὲ εἰς γῆν ἔκλινε »· [4]) καὶ τὸ, « ὁ ἀριθμῶν νέφη σοφίᾳ »· καὶ τὸ, « οὐκ ἐῤῥάγη νέφος ὑποκάτω αὐτοῦ ». Τοσαῦτα γὰρ μέτρα ἐπὶ τὰ νέφη ὑδάτων ἐστὶ, καὶ οὐ ῥήγνυται [5]), ἀλ-

---

κείας τέχνης τὴν σωτηρίαν τοῖς ἐμπλέουσι χαρίσασθαι. Καὶ ὁ γηπόνος δὲ ἐντεῦθεν καταμαθὼν οἶδε, πότε μὲν προσήκει τὰ σπέρματα καταβαλεῖν, πότε δὲ τὴν γῆν ἀναμοχλεῦσαι, καὶ ἄροτρον ἑλκύσαι, καὶ πότε τὴν δρεπάνην ἀκονῆσαι, καὶ τὸν ἄμητον τῶν σπερμάτων ἐργάσασθαι » (Τόμ. δ΄. σελ. 56).

[1]) Ἐθήκαμεν τὴν μετοχὴν « ἀνατέλλοντα », ἣν ἔχουσιν οἱ Κώδ. Α., R., G., Coisl., Ottob. Ἐν ταῖς ἐκδόσεσιν « ἀνατέλλειν ».

[2]) Παραπλησίως τῷ Κυρίλλῳ ἀναβοᾷ καὶ ὁ Θεολόγος Γρηγόριος· « Τίς δὲ ὁ τετοκὼς βώλους δρόσου κατὰ τὸ γεγραμμένον; ἐκ γαστρὸς δὲ τίνος ἐκπορεύεται κρύσταλλος; τίς ὁ δεσμεύων ὕδωρ ἐν νεφέλαις, καὶ τὸ μὲν ἱστὰς ἐπὶ τῶν νεφελῶν, . . . τὸ δὲ ἐκχέων ἐπὶ προσώπου πάσης τῆς γῆς, καὶ σπείρων καιρίως, καὶ ὁμοτίμως, καὶ οὐδὲ ἀφιεὶς ἅπασαν τὴν ὑγρὰν οὐσίαν ἐλευθέραν καὶ ἄσχετον, ... οὔτε ἀνέχων παντάπασιν, ἵνα μὴ ἡλίου τινὸς δεηθῶμεν, τὴν ξηρότητα λύοντος; (Λόγ. 28).

[3]) Κοινὴ αὕτη δόξα τῶν ἀρχαίων, ὅτι τὰ νέφη ἐκ τῆς συμπυκνώσεως τοῦ ἀέρος συνιστάμενα, καὶ οἱονεὶ στεγανούμενα, βαστάζουσι τὰ τῶν ὄμβρων ὕδατα.

[4]) Τῆς γραφικῆς ταύτης φράσεως τὸ μὲν πρῶτον κῶλον κεῖται ἐν Ἰὼβ (λζ΄. 16.), τὸ δὲ, « οὐρανὸν δὲ κ. τ. λ. », καθὼς καὶ τὸ κατωτέρω, « ὁ ἀριθμῶν νέφη σοφίᾳ », ἐν Ἰὼβ (λη΄. § 37.) οὕτως· « ὁ ἀριθμῶν νέφη σοφίᾳ, οὐρανὸν δὲ εἰς γῆν ἔκλινε ».

[5]) Ὁ Κώδ. Α. « ῥήγνυνται ».

λὰ μετὰ πάσης εὐταξίας ἐπὶ τὴν γῆν κατέρχεται. Τίς ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτῶν; Τίς δέ ἐστιν, ὡς προειρήκαμεν, ὁ τετοκὼς βώλους δρόσου; ἐκ γαστρὸς δὲ τίνος ἐκπορεύεται ὁ κρύσταλλος; ὑδατώδης γὰρ ἡ ὑπόστασις καὶ λιθώδης ἡ ἐνέργεια· καὶ ποτὲ μὲν τὸ ὕδωρ γίνεται χιὼν ὡσεὶ ἔριον, ποτὲ δὲ ὑπουργεῖ τῷ πάσσοντι τὴν ὁμίχλην ὡς σποδὸν, ποτὲ δὲ εἰς λιθώδη ὑπόστασιν μεταβάλλεται, ἐπειδὴ οἰακίζει τὸ ὕδωρ, ὡς ἂν βούληται· μονοειδὴς ἡ φύσις καὶ πολυδύναμος ἡ ἐνέργεια. Τὸ ὕδωρ οἶνος μὲν ἐν ἀμπέλοις, εὐφραίνων καρδίαν ἀνθρώπου, καὶ ἔλαιον ἐν ἐλαίαις, λαμπρύνον πρόσωπον ἀνθρώπου· καὶ εἰς ἄρτον δὲ μεταβάλλεται, στηρίζοντα καρδίαν ἀνθρώπου, καὶ εἰς παντοῖα καρπῶν δημιουργήματα [1]).

§ Ι'. Ἐπὶ τούτοις τί ἔδει; βλασφημεῖσθαι τὸν δημιουργὸν ἢ προσκυνεῖσθαι μᾶλλον; καὶ τέως οὔπω λέγω τῆς σοφίας αὐτοῦ τὰ μὴ φαινόμενα. Θεώρησόν μοι τὸ ἔαρ, καὶ τὰ ἄνθη τὰ παντοῖα ἐν ὁμοιότητι διακεκριμένα· ῥόδου μὲν τὸ ἐρυθρότατον, κρίνου δὲ τὸ λευ-

---

[1]) Ὅμοια περὶ τοῦ ὕδατος φιλοσοφεῖ καὶ ὁ Μ. Βασίλειος (ἐν τῇ ἑ. Ὁμιλίᾳ εἰς τὴν Ἑξαήμερον)· « Ἓν ὕδωρ διὰ τῆς ῥίζης ἑλκόμενον, ἄλλως μὲν τρέφει τὴν ῥίζαν, ἄλλως δὲ τὸν φλοιὸν τοῦ στελέχους, καὶ ἄλλως τὸ ξύλον, καὶ τὴν ἐντεριώνην ἑτέρως. Τὸ αὐτὸ καὶ φύλλον γίνεται, καὶ εἰς ἀκρέμονας καὶ κλάδους κατασχίζεται, καὶ τοῖς καρποῖς παρέχει τὴν αὔξησιν, καὶ δάκρυον τοῦ φυτοῦ καὶ ὀπὸς ἐκ τῆς αὐτῆς αἰτίας προέρχεται.—Πῶς πάλιν ἀπὸ τῆς αὐτῆς νοτίδος ἐν μὲν τῇ ἀμπέλῳ οἶνος συνίσταται, ἐν δὲ τῇ ἐλαίᾳ τὸ ἔλαιον; » κτλ. Φησὶ δὲ καὶ ὁ Χρυσόστομος· « Μία μὲν ἡ τῶν ὄμβρων φύσις, διάφορα δὲ τὰ ἐξ αὐτῶν γινόμενα· καὶ γὰρ ἐν ἀμπέλῳ γίνεται οἶνος ὁ ὑετὸς, καὶ ἔλαιον ἐν ἐλαίᾳ, καὶ ἐν τοῖς ἄλλοις δὲ φυτοῖς πρὸς τοὺς αὐτῶν μεθίσταται χυμούς. Καὶ μία δὲ τῆς γῆς ἡ γαστὴρ, καὶ διαφόρους φέρει καρπούς· καὶ μία μὲν ἡ τῆς ἡλιακῆς ἀκτῖνος θέρμη, καὶ διαφόρως ἅπαντα πεπαίνει, τὰ μὲν βραδύτερον, τὰ δὲ ταχύτερον πρὸς ἀκμὴν ἄγουσα. Τίς οὐκ ἂν ταῦτα ἐκπλαγείη καὶ θαυμάσειε; » (εἰς τοὺς ἀνδριάντ. Ὁμιλ. ιϐ'.). Παραπλήσια περὶ τοῦ ὑετοῦ λέγει καὶ ὁ μακάριος Ἐπιφάνιος (ἐν τῷ Ἀγκυρωτῷ Τόμ. Ϭ'. σελ. 69.) καὶ ὁ Γρηγόρ. Νύσσης (Λόγ. περὶ ψυχῆς καὶ ἀναστάσεως). Πρόσθες τούτοις καὶ τὰ τοῦ Μ. Ἀθανασίου (Ὁμιλ. εἰς τὸν σπόρον)· « Μονοειδὴς

κότατον· ἐξ ἑνὸς γὰρ ὑετοῦ ταῦτα καὶ μιᾶς τῆς γῆς, τίς ὁ διακρίνων, τίς ὁ δημιουργῶν; Θεώρησόν μοι τὴν ἀκρίβειαν· ἐκ μιᾶς ὑποστάσεως τοῦ δένδρου, τὸ μὲν εἰς σκέπην, τὸ δὲ εἰς καρποὺς διαφόρους, καὶ εἷς ὁ τεχνίτης·[1]) μιᾶς ἀμπέλου τὸ μέν τι εἰς καῦσιν, τὸ δὲ εἰς βλαστήματα, τὸ δὲ εἰς φυλλάδας, τὸ δὲ εἰς ἕλικας, τὸ δὲ εἰς βότρυν.[2]) Ἐκπλάγηθι καὶ τοῦ καλάμου τὴν πυκνοτάτην τῶν κόμβων περιβολήν, ἣν ἐποίησεν ὁ τεχνίτης. Ἐκ τῆς μιᾶς γῆς ἑρπετὰ προέρχεται καὶ θηρία καὶ κτήνη, καὶ ξύλα καὶ βρώματα, καὶ χρυσὸς, καὶ ἄργυρος, καὶ χαλκὸς, καὶ σίδηρος καὶ λίθος. Μία τῶν ὑδάτων ἡ φύσις, καὶ ἐξ αὐτῶν νηκτῶν καὶ ὀρνέων ὑπόστασις· ἵνα, ὥσπερ ἐκεῖνα νήχεται ἐν τοῖς ὕδασιν, οὕτω καὶ τὰ ὄρνεα ἵπτανται ἐν τῷ ἀέρι.

§ ΙΑ΄. « Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετὰ, ὧν οὐκ ἔστιν ἀριθμός ». Τίς δύναται διηγήσασθαι τῶν ἰχθύων τῶν ἐν αὐτῇ τὸ κάλλος; Τίς δύναται διηγήσασθαι κητῶν τὰ μεγέθη,

---

ὑετὸς καταβὰς, πολυειδεῖς ἐργάζεται σπόρους· καὶ σῖτον μὲν ἐργάζεται, κύαμον δὲ καὶ κέγχρον καὶ ὄλυραν· ἓν μὲν τὸ καταβὰν, πολλὰ δὲ τὰ βλαστήματα, καὶ τὸ μονοειδὲς τοῦ ὑετοῦ εἰς πολύχουν καρποφορίαν διασπείρεται ». Ἀλλὰ καὶ αὐτὸς ὁ Κύριλλος ἐν πλείονι ἐκτάσει ἐλάλησε περὶ τῆς παντοδυνάμου ταύτης ἐνεργείας τοῦ ὕδατος ἐν Κατ. ις΄. § 12.

[1]) Ἐν τῷ Κώδ. Α. « ὁ δημιουργός ».

[2]) Θαυμαστὴ καὶ τῆς μεγάλης τοῦ δημιουργοῦ σοφίας ἐνδεικτική ἐστι καὶ ἡ ὑπὸ τοῦ Μ. Βασιλείου θεωρία τῶν καρπῶν καὶ τῶν δένδρων· « Αὐτῶν δὲ τῶν καρπῶν τίς ἂν ἐπέλθοι τὴν ποικιλίαν, τὰ σχήματα, τὰς χρόας, τῶν χυμῶν τὴν ἰδιότητα, τὸ ἀφ' ἑκάστου χρήσιμον; Πῶς τινὰ μὲν γυμνὰ πέπτεται τῷ ἡλίῳ, τινὰ δὲ ἐν ἐλύτροις κεκαλυμμένα πληροῦται; καὶ ὧν μὲν ἁπαλὸς ὁ καρπὸς, παχὺ τοῦ φύλλου τὸ σκεπαστήριον, ὡς ἐπὶ τῆς συκῆς; ὧν δὲ οἱ καρποὶ στεγανώτεροι, ἐλαφρὰ τῶν φύλλων ἡ προβολὴ, ὡς ἐπὶ τῆς καρύας; ὅτι ἐκεῖνα μὲν διὰ τὸ ἀσθενὲς πλείονος ἐδεῖτο τῆς βοηθείας, τούτοις δ' ἂν προσβλαβὴς ἐγένετο ἡ παχυτέρα περιβολὴ ἐκ τῆς ἀπ' αὐτῶν σκιᾶς. Πῶς κατέσχισται τῆς ἀμπέλου τὸ φύλλον, ἵνα καὶ πρὸς τὰς ἐκ τοῦ ἀέρος βλάβας ὁ βότρυς ἀντέχῃ, καὶ τὴν ἀκτῖνα τοῦ ἡλίου διὰ τῆς ἀραιότητος δαψιλῶς ὑποδέχηται; » (εἰς τὴν Ἑξαήμ. Ὁμιλ. ε΄. σελ. 66).

καὶ τῶν ἀμφιβίων ζώων τὴν ὑπόστασιν, ὅπως καὶ ἐν χέρσῳ γῇ καὶ ἐν ὕδασι διαιτᾶται; Τίς δύναται διηγήσασθαι τῆς θαλάσσης τὸν βυθὸν καὶ τὸ πλάτος, ἢ τῶν ὑπερμέτρων κυμάτων τὰς ὁρμάς; ἀλλ' εἰς τοὺς ὅρους αὐτῆς ἕστηκε διὰ τὸν εἰπόντα· «ἄχρι τούτου ἐλεύσῃ, καὶ οὐχ ὑπερβήσῃ, ἀλλ' ἐν σεαυτῇ συντριβήσονταί σου τὰ κύματα», ἥτις καὶ δηλοῦσα τὸν ἐπηρτημένον αὐτῇ τοῦ προστάγματος λόγον, ἐπεκδραμοῦσα διὰ τῶν κυμάτων, γραμμήν τινα φανερὰν ἐναφίησι τοῖς αἰγιαλοῖς, δηλοῦσα τοῖς ὁρῶσιν ὥσπερ, ὅτι τοὺς προστεταγμένους οὐ παραβέβηκεν ὅρους [1]).

§ ΙΒ'. Τίς δύναται διασκέψασθαι [2]) τῶν ἀερίων ὀρνέων τὴν φύσιν; πῶς τὰ μὲν γλῶσσαν περιφέρει μουσικήν, τὰ δὲ παντοίᾳ τῇ ζωγραφίᾳ πεποίκιλται [3]) διὰ τῶν πτερῶν [4]), τὰ δὲ ὑπερπτάντα εἰς

---

[1]) Πολλὰ καὶ καλὰ καὶ πρὸς δοξολογίαν τοῦ δημιουργοῦ ἀνάγοντα ἐφιλοσόφησαν περὶ τῆς θαλάσσης καὶ Βασίλειος (ἐν τῇ δ'. εἰς τὴν Ἑξαήμερον Ὁμιλ.) καὶ Γρηγόριος ὁ Ναζιανζηνὸς (ἐν τῷ κή. Λόγῳ) καὶ ἄλλοι. Ἡμεῖς παρατίθεμεν ἐνταῦθα τὴν γλαφυρὰν ἔκθεσιν τοῦ Θεοδωρήτου, ἣν ὁ ἱερὸς οὗτος Πατὴρ μετὰ χάριτος καὶ εὐγλωττίας ἐξύφανεν εἰς ἔνδειξιν τῆς δεσποτικῆς προνοίας τε καὶ μεγαλουργίας· «Μετάβηθι πάλιν ἐπὶ τὴν θάλασσαν καὶ βλέπε ταύτης τὰ κύτη, τὰ μεγέθη, τὴν εἰς πελάγη διαίρεσιν, τὰς ἀκτάς, τοὺς ὅρμους, τὰς ἐν μέσῳ νήσους, τῶν ἰχθύων τὰ γένη, τὰ εἴδη, τὰ σχήματα, τὴν ποικιλίαν, τὴν πρὸς τὴν χέρσον φιλίαν, τὰ τῶν κυμάτων σκιρτήματα, τὸν ἐπικείμενον αὐτοῖς τῆς προνοίας χαλινόν, δι' ὃν τὴν ἤπειρον ἐπικλύζειν οὐ δύναται, ἀλλ' ὁρμῶντα κατὰ τῆς ψάμμου φοβεῖται τοὺς ὅρους, καὶ τὸν θεῖον ἐκεῖ νόμον γεγραμμένον ὁρῶντα, οἷόν τις γαῦρος ἵππος ἀγχόμενος ὑπὸ πωλοδάμνου, ἀνακλᾷ τὸν αὐχένα, καὶ εἰς τοὐπίσω χωρεῖ, ὥσπερ μεταμελόμενον ὅτι καὶ τῇ ψάμμῳ προσέψαυσε» κτλ. (Περὶ προνοίας Λόγ. Β'.).

[2]) Ἐκ τῶν Κωδ. A., R., C. ἐγράψαμεν τὸ σύνθετον «διασκέψασθαι», ἀντὶ τοῦ φερομένου «σκέψασθαι»· «διασκέψασθαι» ἔχει ὁ Κύριλλος καὶ κατωτέρω (§ 13.).

[3]) Εὖ ἔχειν ἔδοξεν ἡμῖν ἡ γραφὴ «πεποίκιλται», ἣν ἔχουσι καὶ αἱ πρὸ τοῦ T. ἐκδόσεις, καὶ ὁ Κώδ. A. C., ὁ δὲ Τουτέος ἔγραψε «περιπεποίκιλται».

[4]) Τῶν ἀερίων ὀρνέων τὰ κάλλη καὶ τὰς θαυμαστὰς ἰδιότητας διαζω-

μέσον ἀέρα ἕστηκεν ἀκίνητα, ὡς ἱέραξ· ἀπὸ γὰρ τοῦ θείου προςάγματος ἱέραξ ἐκπετάσας τὰς πτέρυγας ἕστηκεν ἀκίνητος, καθορῶν τὰ πρὸς νότον. Τίς δύναται ἀνθρώπων ὑψωθέντα θεωρῆσαι ἀετόν; Εἰ δὲ τὸ ὄρνεον [1]) τὸ ἀλογώτατον ὑψωθὲν οὐ δύνασαι κατανοῆσαι, πῶς τὸν πάντων ποιητὴν θέλεις κατανοῆσαι;

§ ΙΓ'. Τίς ἐν ἀνθρώποις θηρίων πάντων οἶδε κἂν τὰ ὀνόματα; ἢ τίς ἑκάστου δύναται διασκέψασθαι τὴν φυσιολογίαν; [2]) εἰ δὲ τῶν

γραφῶν καὶ ὁ Θεολόγος Γρηγόριος, λέγει· «Σκέψαι μοι καὶ ὀρνέων ἀγέλας καὶ ποικιλίας, ἔν τε σχήμασι καὶ χρώμασι, τῶν τε ἀλάλων, καὶ τῶν ᾠδικῶν· καὶ τίς τῆς τούτων μελῳδίας ὁ λόγος, καὶ παρὰ τίνος; τίς ὁ δοὺς τέττιγι τὴν ἐπὶ στήθους μαγάδα, καὶ τὰ ἐπὶ τῶν κλάδων ᾄσματά τε καὶ τερετίσματα, ὅταν ἡλίῳ κινῶνται τὰ μεσημβρινὰ μουσουργοῦντες, καὶ καταφωνῶσι τὰ ἄλση, καὶ ὁδοιπόρον ταῖς φωναῖς παραπέμπωσι; τίς ὁ κύκνῳ συνυφαίνων τὴν ᾠδὴν, ὅταν ἐκπετάσῃ τὸ πτερὸν ταῖς αὔραις, καὶ ποιῇ μέλος τὸ σύριγμα; ἐῶ γὰρ λέγειν τὰς βιαίους φωνὰς, καὶ ὅσα τέχναι σοφίζονται κατὰ τῆς ἀληθείας, πόθεν ταὼς, ὁ ἀλαζὼν ὄρνις καὶ Μηδικὸς, οὕτω φιλόκαλος καὶ φιλότιμος, ὥςε, καὶ γὰρ αἰσθάνεται τοῦ οἰκείου κάλλους, ὅταν ἴδῃ τινὰ πλησιάζοντα, ἢ ταῖς θηλείαις, ὥς φασι, καλλωπίζεται, τὸν αὐχένα διάρας, καὶ τὸ πτερὸν κυκλοτερῶς περιστήσας τὸ χρυσαυγὲς καὶ κατάστερον, θεατρίζει τὸ κάλλος τοῖς ἐρασταῖς, μετὰ σοβαροῦ τοῦ βαδίσματος;» (Τόμ. Α'. σελ. 514.). Ὅρα καὶ Μ. Βασίλειον (Ὁμιλ. Ζ'. εἰς τὴν Ἑξαήμ.).

[1]) Ἐθήκαμεν «τὸ ὄρνεον» ἑνικῶς ἐκ τοῦ Κώδ. Α. Αἱ ἐκδόσεις ἔχουσι «τῶν ὀρνέων»· ἀλλ' οὐδεμίαν νομίζομεν σύγκρισιν ὀρνέων ἐποιήσατο ὁ Πατὴρ ἐνταῦθα· ἠθέλησε δὲ μόνον δεῖξαι ὅτι οὐδὲ τὸ ἀλογώτατον ὄρνεον ὑψωθὲν δυνάμεθα κατανοῆσαι· πόσην ἄρα φρενοβλάβειαν νοσοῦσιν οἱ τὸν τῶν ὅλων ὕψιστον ποιητὴν κατανοεῖν θέλοντες;

[2]) Τὰ ἤθη καὶ τὰς ἕξεις τῶν ζώων, καὶ τὰς ἀπ' ἀλλήλων διακρίσεις τε καὶ διαφορὰς εὐγλώττως καὶ εὐφυῶς ἐξέθηκε καὶ ὁ ἀπαράμιλλος τοῦ ὑψηλοῦ Γρηγορίου κάλαμος· «Βούλει σοι καὶ τὰς τῶν ἄλλων ζώων διαφορὰς πρός τε ἡμᾶς καὶ πρὸς ἄλληλα, φύσεις τε καὶ γενέσεις, καὶ ἀνατροφὰς, καὶ χώρας, καὶ ἤθη, καὶ οἷον πολιτείας καταριθμήσωμεν; πῶς τὰ μὲν ἀγελαῖα, τὰ δὲ μοναδικά; τὰ μὲν ποηφάγα, τὰ δὲ σαρκοβόρα; τὰ μὲν θυμοειδῆ, τὰ δὲ ἥμερα; τὰ μὲν φιλάνθρωπα καὶ σύντροφα, τὰ δὲ

θηρίων μόνον οὐδὲ τὰ ὀνόματα γινώσκομεν, πῶς τὸν ποιητὴν αὐτῶν καταληψόμεθα; Ἓν τὸ τοῦ Θεοῦ πρόσταγμα τὸ λέγον· «Ἐξαγαγέτω ἡ γῆ θηρία καὶ κτήνη καὶ ἑρπετὰ κατὰ γένος», καὶ διάφοροι φύσεις ἐκ μιᾶς τῆς γῆς [1]) γεγόνασιν ἑνὶ προστάγματι· πρόβατον ἡμερώτατον καὶ λέων σαρκοβόρος, καὶ διάφοροι ζώων ἀλόγων κινήσεις, μιμήσεις ἔχουσαι διαφόρων προαιρέσεων ἀνθρωπίνων· ἵνα ἀλώπηξ μὲν δηλώσῃ τὸ ἐν ἀνθρώποις δολερὸν, ὄφις δὲ τῶν φίλων τοὺς ἰοβόλους, ἵππος δὲ χρεμετιστὴς τῶν νέων τοὺς ἀκολάστους· μύρμηξ δὲ ὁ γεωργότατος [2]), ἵνα διεγείρῃ τὸν ὀκνηρὸν, τὸν νωθρόν· ὅταν γάρ τις ἀρχὴν ἔχῃ τὴν νεότητα, τότε ὑπὸ τῶν ἀλόγων ζώων διδάσκεται, διελεγχόμενος ὑπὸ τῆς θείας Γραφῆς, λεγούσης»· «Ἴθι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρὲ, καὶ ζήλωσον ἰδὼν τὰς ὁδοὺς αὐτοῦ, καὶ γενοῦ ἐκείνου σοφώτερος»· βλέπων γὰρ ἐκεῖνον ἑαυτῷ εὐκαίρως

ἀτίθασσα καὶ ἐλεύθερα; καὶ τὰ μὲν οἷον ἐγγύτερα λόγου τε καὶ μαθήσεως, τὰ δὲ παντελῶς ἄλογα καὶ ἀμαθέστατα; τὰ μὲν πλειόνων αἰσθήσεων, τὰ δὲ ἐλαττόνων; τὰ μὲν ἀκίνητα, τὰ δὲ μεταβατικά; τὰ μὲν ταχύτατα, τὰ δὲ παχύτατα; τὰ μὲν ὑπερβάλλοντα μεγέθει καὶ κάλλει, ἢ τῷ ἑτέρῳ τούτων, τὰ δὲ βραχύτατα, ἢ δυσειδέστατα, ἢ καὶ ἀμφότερα; τὰ μὲν ἄλκιμα, τὰ δὲ ἀσθενῆ; τὰ μὲν ἀμυντικὰ, τὰ δὲ ὕποπτα καὶ ἐπίβουλα; τὰ μὲν φυλακτικὰ, τὰ δὲ ἀφύλακτα; τὰ μὲν φίλεργα καὶ οἰκονομικὰ, τὰ δὲ παντάπασιν ἀργὰ καὶ ἀπρονόητα; καὶ ἔτι πρὸ τούτων, τὰ μὲν ἑρπυστικὰ, τὰ δὲ ὄρθια; τὰ μὲν φιλόχωρα, τὰ δὲ ἀμφίβια; τὰ μὲν φιλόκαλα, τὰ δὲ ἀκαλλώπιστα; συζυγῆ τε καὶ ἄζυγῆ; σώφρονά τε καὶ ἀκόλαστα; πολύγονά τε καὶ οὐ πολύγονα; μακρόβιά τε καὶ ὀλιγόβια; κάμνοι ἂν ἡμῖν ὁ λόγος τοῖς κατὰ μέρος ἐπεξιών» (Τόμ. Α. σελ. 513.).

[1]) Ἐθήκαμεν τὴν γνησίαν πάντως γραφὴν «τῆς γῆς» ἐκ τοῦ Κώδ. Α. ἀντὶ τοῦ «φωνῆς», ἣν ἔχει ὁ Μιλέσιος· ἢ «πηγῆς», ἣν ἔχει ὁ Τουτέος.

[2]) Ἐάσθω κατὰ χώραν ἡ γραφὴ «γεωργότατος», ἣν ἔχουσιν ἅπασαι αἱ ἄχρι τοῦ Τ. ἐκδόσεις καὶ ὁ Κώδ. Α. Ὁ Τουτέος ἔκ τινων Κωδήκων μετέβαλλεν εἰς τὸ «γοργώτατος»· ὑποστηρίζων δὲ τὴν γραφὴν ταύτην, λέγει, ὅτι ὁ μύρμηξ συνάζει μόνον, οὐ σπείρει, οὐδ' ἀροτριᾷ· ἀλλὰ διὰ ταύτην δὴ τὴν συλλογὴν τῶν καρπῶν, γεωργικωτάτην οὖσαν, ὠνόμασται καὶ ὁ μύρμηξ «γεωργικώτατος».

θησαυρίζοντα τὴν τροφὴν, μιμοῦ, καὶ θησαύρισον σεαυτῷ καρποὺς ἔργων ἀγαθῶν εἰς τοὺς μέλλοντας αἰῶνας· [1]) καὶ πάλιν· «Πορεύθητι πρὸς τὴν μέλισσαν, καὶ μάθε ὡς ἐργάτης ἐστί»· [2]) πῶς ἄνθη παντοῖα περιτρέχουσα συντίθησί σοι πρὸς ὠφέλειαν τὸ μέλι· [1]) ἵνα καὶ

---

[1]) Τὸ παράδειγμα τοῦ φιλοπόνου καὶ προμηθευτικοῦ μύρμηκος προτείνουσι μετὰ τὴν Γραφὴν καὶ πολλοὶ Πατέρες, εἰς μίμησιν τῆς φιλοπονίας ἐκείνου διανιστῶντες, καὶ εἰς τὴν ἐργασίαν τοῦ καλοῦ καὶ ἀποθησαύρισιν τῶν ἀγαθῶν ἔργων προτρέποντες. «Οὐ φιλοπονήσεις περὶ σεαυτοῦ ἄνθρωπε; λέγει ὁ Μ. Βασίλειος· οὐκ ἐν τῷ παρόντι αἰῶνι προαποθήσεις τὰς τοῦ μέλλοντος ἀναπαύσεις, πρὸς τὸ ὑπόδειγμα τοῦ μύρμηκος ἀποβλέψας; ὃς ἐν θέρει τὴν χειμέριον τροφὴν ἑαυτῷ θησαυρίζει, καὶ οὐχ ὅτι μήπω πάρεστι τὰ τοῦ χειμῶνος λυπηρὰ διὰ ῥαθυμίας παραπέμπει τὸν χρόνον, ἀλλὰ σπουδῇ τινι ἀπαραιτήτῳ πρὸς τὴν ἐργασίαν ἑαυτὸν κατατείνει, ἕως ἂν τὴν ἀρκοῦσαν τροφὴν ἀναπόθηται τοῖς ταμείοις· καὶ οὐδὲ τοῦτο ῥαθύμως, ἀλλὰ σοφῇ τινι ἐπινοίᾳ τὴν τροφὴν ἐπιπλεῖστον διαρκεῖν μηχανώμενος. Διακόπτει γὰρ ταῖς ἑαυτοῦ χηλαῖς τῶν καρπῶν τὸ μεσαίτατον, ὡς ἂν μὴ ἐκφυέντες ἄχρηστοι πρὸς τροφὴν αὐτῷ γένοιντο. Καὶ διαψύχει τούτους, ὅταν αἴσθηται αὐτῶν διαβρόχων· καὶ οὐκ ἐν παντὶ προβάλλει καιρῷ, ἀλλ' ὅταν προαίσθηται τοῦ ἀέρος ἐν εὐδινῇ καταστάσει φυλαττομένου. Ἀμέλει οὐκ ἂν ἴδοις ὄμβρον ἐκ νεφῶν ἐπιῤῥυέντα παρ' ὅσον χρόνον ἐκ τῶν μυρμήκων ὁ σῖτος προβέβληται» (εἰς τὴν Ἑξαήμ. σελ. 116.). Κείσθωσαν καὶ τὰ καλὰ ἐκεῖνα τοῦ Χρυσοςόμου· «Καὶ σὺ τοίνυν παρὰ τοῦ ζώου τούτου μεγίστην λάβε φιλοπονίας παραίνεσιν, καὶ θαύμασόν σου τὸν δεσπότην, μὴ ἐπειδὴ ἥλιον ἐποίησε μόνον καὶ οὐρανὸν, ἀλλ' ἐπειδὴ καὶ μύρμηκα ἐποίησεν· εἰ γὰρ καὶ βραχὺ τὸ ζῶον, ἀλλὰ τοῦ μεγέθους τῆς σοφίας τοῦ Θεοῦ πολλὴν ἔχει τὴν ἀπόδειξιν. Ἐννόησον γοῦν πῶς ἐστι συνετὸν, καὶ θαύμασον, πῶς ἴσχυσεν ὁ Θεὸς ἐν οὕτω βραχεῖ σώματι τοσαύτην ἐγκαταθεῖναι ἐργασίας ἐπιθυμίαν ἀδιάπτωτον» (Τόμ. β'. σελ. 147).

[2]) Τὸ περὶ τῆς μελίσσης τοῦτο χωρίον τῆς Γραφῆς ἐλλείπει ἐκ τοῦ Ἑβραϊκοῦ Κώδηκος, καθὰ δὴ καὶ ἐκ τῆς Βουλγάτας, καὶ τῆς Κομπλουτείου ἐκδόσεως τῶν Ο'. ἀλλὰ κεῖται τοῦτο ἐν ταῖς ἄλλαις ἐκδόσεσι, καὶ μνημονεύεται ὑπὸ πλείστων ὅσων Πατέρων.

[3]) Μεγάλην ὄντως ἔκπληξιν προξενεῖ ἡ θεωρία τῆς μελίσσης καὶ τῆς ἐργασίας αὐτῆς. Θαυμάζει ὁ ἄνθρωπος, βλέπων τοσαύτην σοφίαν ὑπὸ

αὐτὸς περιερχόμενος τὰς θείας Γραφὰς, τῆς ἑαυτοῦ σωτηρίας περιδράξῃ, καὶ τούτων ἐμφορούμενος εἴπῃς· « Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγια σου· ὑπὲρ μέλι καὶ κηρίον [1]) τῷ στόματί μου».

§ ΙΔ΄. Ἆρα οὐχὶ δοξάζεσθαι μᾶλλον ὁ τεχνίτης ἄξιος; τί γὰρ, εἰ καὶ σὺ μὴ πάντων γινώσκεις τὴν ὑπόστασιν, ἤδη κακὰ καὶ τὰ γενόμενα; [2]) μὴ γὰρ πασῶν βοτανῶν δύνασαι γνῶναι τὴν ἐνέργειαν; ἢ τὴν ὠφέλειαν δύνασαι μαθεῖν πᾶσαν, τὴν ἐκ παντὸς ζώου προχωροῦσαν; ἤδη καὶ ἐξ ἰοβόλων ἐχιδνῶν ἀντίδοτοι προεχώρησαν εἰς σωτηρίαν ἀνθρώποις. Ἀλλ' ἐρεῖς μοι· δεινὸς ὁ ὄφις· φοβοῦ τὸν Κύριον, καὶ οὐ δυνήσεταί σε βλάψαι· σκορπίος πληκτικός· φοβοῦ τὸν

τοῦ δημιουργοῦ ἐν τῷ μικρῷ ἐκείνῳ ζωϋφίῳ ἐντεθειμένην. Διὰ τοῦτο καὶ πολλοὶ τῶν ἱερῶν Πατέρων τῆς Ἐκκλησίας ἀρίστας ἐξέθηκαν περιγραφὰς τῆς μελίσσης, καὶ ἐν τῇ θεωρίᾳ ταύτης, ὁσάκις ἐνεχώρει, ἀγαπητῶς ἐνδιέτριβον, εἰς θάμβος καὶ ἔκπληξιν διεγείροντες, καὶ πρὸς δοξολογίαν τοῦ δημιουργοῦ Θεοῦ τοὺς ἀνθρώπους διανιστῶντες. Γλαφυρὰς καὶ εὐγλώττους περιγραφὰς τῆς μελίσσης ἔχουσιν ὁ Μ. Βασίλειος (ἐν τῇ ὀγδόῃ εἰς τὴν Ἑξαήμερον Ὁμιλίᾳ), ὁ Θεολόγος Γρηγόριος (Λόγ. κδ΄. καὶ μδ΄.), ὁ θεῖος Χρυσόστομος (εἰς τοὺς Ἀνδριάντας Ὁμιλ. ιβ΄. Τόμ. β΄. σελ. 147), ὁ Γρηγόριος Νύσσης (Ὁμιλ. θ΄. εἰς τὸ Ἆσμ. τῶν Ἀσμ.), ὁ Θεοδώρητος (Λόγ. έ. περὶ προνοίας).

[1]) Ἡ λέξις «κηρίον» ἐλλείπει ἐκ τῶν Κωδ. R., C., Ottob., ἐλλείπει πρὸς τούτοις καὶ ἐκ τῶν καθ' ἡμᾶς ἐκδόσεων τοῦ ψαλτῆρος, τοῦ τε Ἑλληνικοῦ καὶ Λατινικοῦ. Ἀλλ' ἐάσθω ἡ λέξις ἐν τῷ κειμένῳ τοῦ Κυρίλλου ἀμετακίνητος, οὐ μόνον ὅτι πολλοὶ Κώδηκες, ἐν οἷς καὶ ὁ Α., ἔχουσι ταύτην, ἀλλ' ὅτι καὶ πλεῖσοι ἀρχαῖοι Πατέρες, ἀνατολικοί τε καὶ δυτικοὶ, ἀνέγνωσαν τὴν λέξιν, καὶ σώζεται εἰσέτι, κατὰ τὸν Τουτέον, ἐν τοῖς ἀρχαίοις Λατινικοῖς ψαλτηρίοις.

[2]) Οὕτως ἐγράψαμεν τὴν φράσιν ταύτην ἐκ τῶν Κωδ. R., C. Αἱ ἐκδόσεις ἔχουσιν· «ἤδη ἀργὰ καὶ τὰ γενόμενα». Ἀλλὰ δῆλον ὅτι ὁ ἱερὸς ἡμῶν συγγραφεὺς κατὰ τῆς παραπληξίας τῶν Μανιχαίων φέρεται πολλαχοῦ τῆς Κατηχήσεως ταύτης, οἵτινες ἐμέμφοντο καὶ κατηγόρουν τὴν δημιουργίαν ταύτην οὐχὶ ὡς ἀργὴν, ἀλλ' ὡς κακήν. Ὅθεν εἴρηκε καὶ ἐν τῇ ἀρχῇ τοῦ § 5. «Τί γὰρ ἔχουσι μέμψασθαι τῷ μεγίστῳ δημιουργήματι τοῦ Θεοῦ;» τοῦτ' αὐτὸ γίνεται σαφὲς καὶ ἐκ τῶν ἐφεξῆς· «δεινὸς ὁ ὄφις, αἱμοβόρος ὁ λέων» κτλ. Διὰ ταῦτα προειλόμεθα τὴν γραφὴν

Κύριον, καὶ οὐ πλήξει σε· [1]) λέων αἰμοβόρος· φοβοῦ τὸν Κύριον, καὶ παρακαθήσεταί σοι, ὡς τῷ Δανιήλ. Ἔστι δὲ θαυμάσαι ἀληθῶς καὶ τῶν ζώων τὴν ἐνέργειαν· πῶς τὰ μὲν ἐν κέντροις, ὥσπερ ὁ σκορπίος, ἔχει τὸ ὀξύ· ἑτέροις δὲ ἐν τοῖς ὀδοῦσιν ἡ δύναμις· καὶ ἄλλα δι' ὀνύχων καταγωνίζεται· βασιλίσκῳ δὲ τὸ βλέμμα ἡ δύναμις. Ἐκ τῆς ποικίλης οὖν δημιουργίας νόησον τοῦ δημιουργοῦ τὴν ἐνέργειαν.

§ ΙΕ΄. Ἀλλ' ἴσως ταῦτα οὐ γινώσκεις· μηδέν σοι καὶ τοῖς ἔξωθέν σου [2]) ζώοις. Εἴσελθε λοιπὸν εἰς σεαυτὸν, καὶ ἐκ τῆς σῆς ὑποστάσεως νόησον τὸν τεχνίτην. Τί μεμπτὸν ἐν τῷ σώματί σου πέπλασται; [3]) κράτει σεαυτοῦ, καὶ οὐδὲν φαῦλον ἐκ πάντων τῶν μελῶν. Ἐξ ἀρχῆς ὁ Ἀδὰμ ἐν τῷ παραδείσῳ γυμνὸς ἦν μετὰ τῆς Εὔας, ἀλλ' οὐ διὰ τὰ μέλη ἦν ἀπόβλητος· οὐκ ἄρα τὰ μέλη τῆς ἁμαρτίας αἴτια, ἀλλ' οἱ χρώμενοι τοῖς μέλεσι κακῶς· σοφὸς δὲ ὁ τῶν μελῶν ποιητής. Τίς ὁ παρασκευάσας εἰς τεκνογονίαν μήτρας

τῶν δύο Κωδήκων. Ἁπλούστερον κεῖται τὸ χωρίον τοῦτο ἐν τῷ Κώδ. Α. οὕτω· « Τί γὰρ εἰ καὶ σὺ μὴ πάντων γινώσκεις τὴν ὑπόστασιν ἤδη καὶ τὰ γένη; »

[1]) Ὅμοια καὶ τὰ τοῦ Μ. Βασιλείου· « Μηδεὶς ἐγκαλείτω τούτου ἕνεκεν τῷ ποιητῇ, ὅτι ἰοβόλα ζῶα καὶ φθαρτικὰ καὶ πολέμια τῇ ζωῇ ἡμῶν ἐπεισήγαγε. Πίστεώς ἐστιν ἀπόδειξις τὰ θηρία. Πέποιθας ἐπὶ Κύριον; ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα κτλ. (εἰς Ἑξαήμ. σελ. 122). Τὴν ἄνοιαν καὶ δυσσέβειαν τῶν Μανιχαίων, τῶν ἕνεκα τῆς ἀγρίας φύσεως τινῶν ὄντων τὸν τῶν ὅλων δημιουργὸν δυσφημούντων, ἄριστα ἀπελέγχει καὶ ὁ ἱερὸς Τίτος Βόστρων ἐν τῷ δευτέρῳ αὐτοῦ Λόγῳ κατὰ Μανιχαίων.

[2]) Ἐλλείπει ἡ ἀντωνυμία « σοῦ » ἐκ τῶν Κωδ. Α., R., C.

[3]) Τοῦ ἀνθρωπίνου σώματος τὴν ἐξουσίαν, κατασκευὴν καὶ φύσιν ὑπογράφει ἐν ὀλίγοις ἐνταῦθα ὁ Κύριλλος, ἵνα δείξῃ τὴν ἄνοιαν τῶν αἱρετικῶν ἐκείνων, οἵτινες ἐν ὕβρει πολλῇ κατεδίκαζον τὸ τοῦ ἀνθρώπου σῶμα, ὡς πονηροῦ τινος Θεοῦ δημιούργημα. Τὴν ἐν τῷ ἀνθρωπίνῳ σώματι ἐμφαινομένην ὑψηλὴν σοφίαν τοῦ ἀριστοτέχνου Θεοῦ ἄριστα ἐξέθηκαν καὶ ἄλλοι Πατέρες, οἷον Μ. Βασίλειος (εἰς τὸ Πρόσεχε σεαυτῷ, Τόμ. Β΄. σελ. 33), Γρηγ. Ναζ. (Λόγ. κή.), Χρυσόστ. (εἰς τοὺς Ἀνδριάντας Ὁμιλ. θ΄.), Θεοδώρητος (περὶ Προνοίας Λόγ. γ΄.).

ὄγκους; τίς ὁ τὸ ἄψυχον ἐν αὐτῷ ψυχώσας; τίς ὁ νεύροις καὶ ὀστέοις ἡμᾶς ἐνείρας, δέρμα δὲ καὶ κρέας περιβαλὼν, καὶ ἅμα τῷ γεννηθῆναι τὸ βρέφος ἐκ μαστῶν πηγὰς γάλακτος ἐκφέρων; Πῶς τὸ μὲν βρέφος εἰς παιδίον αὔξει, καὶ τοῦτο εἰς νεανίαν, εἶτα εἰς ἄνδρα, καὶ πάλιν ὁ αὐτὸς εἰς πρεσβύτην μεταβάλλεται, μηδενὸς καταλαμβάνοντος τῆς μεταβολῆς τὴν καθ᾽ ἡμέραν ἀκρίβειαν; πῶς τῆς τροφῆς τὸ μὲν ἐξαιματοῦται, τὸ δὲ εἰς προχώρησιν διακρίνεται, τὸ δὲ εἰς σάρκα μεταβάλλεται; Τίς ὁ τὴν καρδίαν ἀεικινήτως κινῶν; τίς ὁ τὴν ἁπαλότητα τῶν ὀφθαλμῶν τῇ τῶν βλεφάρων περιβολῇ σοφῶς ἀσφαλισάμενος; [1]) περὶ γὰρ τῆς ποικίλης καὶ θαυμασίας τῶν ὀφθαλμῶν κατασκευῆς αἱ πολύστιχοι τῶν ἰατρῶν μόγις ἐξηγοῦνται βίβλοι [2]). Τίς ὁ τὴν μίαν ἀναπνοὴν εἰς ὅλον τὸ σῶμα διαδούς; Βλέπεις, ἄνθρωπε, τὸν τεχνίτην; βλέπεις τὸν σοφὸν δημιουργόν;

§ ΙΣΤ΄. Ταῦτά σοι νῦν ἐπλάτυνεν ὁ λόγος, πολλῶν καὶ ἄλλων μυρίων καταλελειμμένων, καὶ μάλιστα τῶν ἀσωμάτων καὶ ἀορά-

---

[1]) Τὴν ἐκ τῶν βλεφάρων προσγινομένην τοῖς ὀφθαλμοῖς ἀσφάλειαν ταύτην ἐξηγῶν καὶ ὁ Νύσσης Γρηγόριος, λέγει· « Ταῖς τῶν βλεφάρων προβολαῖς τὸ τῶν ἀκτίνων ἄκρατον ἡ φύσις ἐπισκιάζουσα, κεκραμένον προσάγει τὸ φέγγος τοῖς ὄμμασιν, ὡς ἂν προσηνὴς ὁ ἥλιος γένοιτο, πρὸς τὴν ἐκ τῶν βλεφάρων σκιὰν συμμέτρως τῇ χρείᾳ καταχιρνάμενος κτλ. ». (Τόμ. γ΄. σελ. 161 ἔκδ. Ν.) ».

[2]) Περὶ τῆς τῶν ὀφθαλμῶν κατασκευῆς ὄντος ἐνταῦθα τοῦ λόγου, λυπηρὸν ἡγούμεθα μὴ παραθεῖναι τὰ ἀμίμητα ἐκεῖνα καὶ χάριν καὶ ἡδύτητα πολλὴν ἀποστάζοντα κελαδήματα τοῦ ἱεροῦ Χρυσοῤῥήμονος· » Σὺ δὲ εἰ βούλει μαθεῖν, πόση τοῦ δημιουργήσαντος ἡμᾶς ἐστιν ἡ σοφία, ἐννόησον τί γίνεται ἀπὸ πηλοῦ; τί δὲ ἕτερον, ἀλλ᾽ ἢ πλίνθος καὶ κέραμος; Ἀλλ᾽ ὅμως ἴσχυσεν ὁ ἀριστοτέχνης Θεὸς ἀπὸ τῆς ὕλης, ἐξ ἧς γίνεται κέραμος καὶ πλίνθος μόνον, ὀφθαλμὸν οὕτω ποιῆσαι καλὸν, ὡς ἅπαντας ἐκπλήττειν τοὺς ὁρῶντας, καὶ τοσαύτην ἐνθεῖναι τούτῳ δύναμιν, ὡς ἀέρος τοσοῦτον ὕψος καθορᾷν, καὶ μικρᾶς κόρης ἀντιλήψει τοσαῦτα περιλαμβάνειν σώματα, καὶ ὄρη, καὶ νάπας, καὶ βουνοὺς, καὶ πελάγη, καὶ οὐρανὸν δι᾽ ἐκείνης τῆς μικρᾶς κτλ. (Τόμ. ϐ΄. σελ. 138.).

των· ἵνα μισήσῃς μὲν τοὺς βλασφημοῦντας τὸν σοφὸν καὶ ἀγαθὸν τεχνίτην, ἐκ δὲ τῶν εἰρημένων καὶ ἀναγινωσκομένων, καὶ ὧν ἂν αὐτὸς εὑρεῖν ἢ νοῆσαι δυνηθείης, ἐκ μεγέθους κτισμάτων καὶ καλλονῆς ἀναλόγως τὸν γενεσιουργὸν θεωρήσας, γόνυ κάμπτων εὐσεβῶς τῷ τῶν ὅλων ποιητῇ· τῶν αἰσθητῶν λέγω καὶ νοητῶν, ὁρατῶν τε καὶ ἀοράτων, μετ' εὐγνώμονος καὶ εὐφήμου γλώττης, ἀδιαλείπτοις τε χείλεσιν ἀνυμνῇς καὶ καρδίᾳ [1]) τὸν Θεὸν, λέγων· «Ὡς θαυμαστὰ τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας»· σοὶ γὰρ πρέπει τιμὴ, δόξα καὶ μεγαλωσύνη, νῦν τε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων [2]). Ἀμήν.

---

[1]) Αἱ λέξεις «ἀδιαλείπτοις τε χείλεσιν καὶ καρδίᾳ» ἐλλείπουσιν ἐκ τοῦ Κώδ. Α.

[2]) Ἡ δοξολογία αὕτη οὕτω κεῖται ἐν τῷ Κώδ. Α. «ᾧ τιμὴ καὶ δόξα, μεγαλωσύνη καὶ κράτος, πρὸ παντὸς αἰῶνος, καὶ εἰς πάντας τοὺς ἀτελευτήτους καὶ ἀπεράντους αἰῶνας τῶν αἰώνων». Ὁμοίαν δοξολογίαν ἔχουσι καὶ οἱ Κώδ. R., C., Coisl, Ottob.



ΚΑΤΗΧΗΣΙΣ Ι'.

ΦΩΤΙΖΟΜΕΝΩΝ,

Ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα, εἰς τὸ, Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν. Καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Κορινθίους Α'. ἐπιστολῆς· « Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοὶ, εἴτε ἐν οὐρανῷ εἴτε ἐπὶ γῆς, ἀλλ' ἡμῖν εἷς Θεὸς, ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα καὶ ἡμεῖς εἰς αὐτόν· καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα καὶ ἡμεῖς δι' αὐτοῦ», καὶ τὰ ἑξῆς.

§ Α'. Οἱ πιστεύειν εἰς ἕνα Θεὸν Πατέρα Παντοκράτορα δεδιδαγμένοι, καὶ εἰς Υἱὸν μονογενῆ πιστεύειν ὀφείλουσιν· ὁ γὰρ ἀρνούμενος τὸν Υἱὸν, οὐδὲ τὸν Πατέρα ἔχει· « Ἐγώ εἰμι ἡ θύρα », φησὶν ὁ Ἰησοῦς, « οὐδεὶς ἔρχεται [1]) πρὸς τὸν Πατέρα, εἰ μὴ δι' ἐμοῦ »· ἐὰν γὰρ [2]) ἀρνήσῃ τὴν θύραν, ἀποκέκλεισταί σοι ἡ πρὸς τὸν Πατέρα γνῶσις [3])· « Οὐδεὶς ἐπιγινώσκει τὸν Πατέρα, εἰ μὴ ὁ Υἱὸς, καὶ

[1]) Ἐθήκαμεν « ἔρχεται » ἐκ τῶν Κωδ. A., R., C. Οὕτω κεῖται καὶ ἐν τῷ ἱερῷ τῆς Γραφῆς κειμένῳ· αἱ ἐκδόσεις ἔχουσιν « εἰσέρχεται ».

[2]) Ὁ «γὰρ» ἐλλείπει ἐκ τῶν Κωδ. A., R., C.

[3]) « Ἡ γὰρ τοῦ Υἱοῦ ἔννοια καὶ κατάληψις, γνῶσίς ἐστι περὶ τοῦ Πατρὸς », λέγει καὶ ὁ Μ. Ἀθανάσιος (Λόγ. β'. κατὰ Ἀρειαν. Τόμ. ά. σελ. 147). Ὅρα Κατήχ. Ζ'. § 2. καὶ τὰς ἐκεῖ σημειώσεις. Ἀντὶ τῆς λέξεως «γνῶσις» ὁ μὲν Κασωβὼν ὑπέλαβεν ἀναγνωστέον «εἰσέλευσις», ὁ δὲ Τουτέος «ἕνωσις». Ἀλλ' ἐάσθω ἡ λέξις κατὰ χώραν, βεβαιουμένη ὑπὸ πάντων τῶν Κωδήκων καὶ ὑπὸ πασῶν τῶν ἐκδόσεων· οὐδ' ἀπεμφαῖνόν τι

ᾧ ἂν ὁ Υἱὸς [1]) ἀποκαλύψῃ»· ἐὰν γὰρ ἀρνήσῃ τὸν ἀποκαλύπτοντα, μένεις ἐν ἀγνωσίᾳ. Ἀπόφασίς ἐστιν ἐν Εὐαγγελίοις λέγουσα· «Ὁ μὴ πιστεύων εἰς τὸν Υἱὸν [2]), οὐκ ὄψεται ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μένει ἐπ' αὐτόν»· ἀγανακτεῖ γὰρ Πατὴρ, Υἱοῦ τοῦ μονογενοῦς ἀθετουμένου. Δεινὸν μὲν γὰρ βασιλεῖ καὶ τὸν στρατιώτην ἁπλῶς ἀτιμασθῆναι· ὅταν δὲ τῶν ἐνδοξοτέρων τις ὑπασπιστῶν ἢ φίλων ἀτιμασθῇ, τότε προστίθεται μείζων ἡ ὀργή· ἐὰν δὲ καὶ [3]) αὐτόν τις τὸν μονογενῆ υἱὸν τοῦ βασιλέως ὑβρίσῃ, τίς παρακαλέσει πατέρα, ὑπὲρ υἱοῦ μονογενοῦς ἀγανακτοῦντα;

§ Β'. Εἴ τις οὖν εὐσεβεῖν εἰς Θεὸν βούλεται, προσκυνείτω τὸν Υἱὸν, ἐπεὶ οὐ παραδέχεται τὴν λατρείαν ὁ Πατὴρ [4]). Πατὴρ γὰρ [5])

καὶ ἀσυνάρμοστον ἔχει, ὡς εἴκασαν οἱ σοφοὶ ἐκεῖνοι· γνῶσις γὰρ σημαίνει ἐν τῇ Γραφῇ οὐ μόνον τὴν εἴδησιν, ἀλλὰ καὶ τὴν οἰκείωσιν· οὕτως ὁ Κύριλλος Ἀλεξανδρείας (εἰς Ἰωάννην ί. 14.)· «Οἶμαι ὅτι τὴν γνῶσιν ἐν τούτοις οὐχ ἁπλῶς τὴν εἴδησιν λέγει, δέχεται δὲ μᾶλλον ἀντὶ τῆς οἰκειότητος»· καὶ κατωτέρω· «Τὸ γινώσκεσθαι δηλοῖ τὸ οἰκειοῦσθαι· ὅταν οὖν λέγῃ, Γινώσκω τὰ ἐμὰ, τοῦτό φησιν, ὅτι προσδέξομαι καὶ οἰκειώσομαι αὐτὰ μυστικῶς τε καὶ σχετικῶς». Φησὶ δὲ καὶ ὁ Οἰκουμένιος (εἰς 1. Ἰωάνν. 2.)· «Παντελὴς πρός τινα ἀνάκρασις γνῶσις λέγεται».

[1]) Προσεθήκαμεν τὸ ἄρθρον «ὁ» ἐκ τῶν προτέρων ἐκδόσεων καὶ τοῦ Κώδ. Α., ἐν δὲ τῷ Τουτέῳ οὐκ οἶδ' ὅπως παρέπεσεν· ὁ Κώδ. Α. ἔχει πλήρη τὴν φράσιν οὕτω· «καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι», ὅπως δηλαδὴ καὶ τὸ ἱερὸν κείμενον τοῦ Ματθαίου ἐν τῇ αὐτῇ εὐαγγελικῇ ῥήσει. Παρὰ τῷ Τουτέῳ ἐξέπεσε καὶ τὸ ἄρθρον «τὸν» ἐν τῷ, «οὐδεὶς ἐπιγινώσκει τὸν Πατέρα».

[2]) Ἀντὶ τοῦ «ὁ μὴ πιστεύων εἰς τὸν Υἱὸν» ἐν τῷ Εὐαγγελίῳ τοῦ Ἰωάννου κεῖται· «ὁ δὲ ἀπειθῶν τῷ Υἱῷ»· κεῖται ὅμως πρὸ τούτου ἐν τῷ αὐτῷ στίχῳ· «ὁ πιστεύων εἰς τὸν Υἱόν».

[3]) Ἐλλείπει ὁ «καὶ» ἐκ τῶν Κωδ. Α., R., C., οὐδ' ἔστιν ἀναγκαῖος.

[4]) Πρβλ. Κατήχ. ς'. § 1. Ἔφη δὲ καὶ ὁ ἱερὸς Χρυσορρήμων (Τόμ. ιϐ'. σελ. 576.)· «Οὐδὲν ὄφελος τῶν τὸν Πατέρα ὁμολογούντων, καὶ Υἱὸν ἀθετούντων· ὁ παρορῶν τοῦ Υἱοῦ τὴν δόξαν, οὐ δεκτέος παρὰ τῷ Πατρί». Βλ. καὶ Μ. Βασίλειον (περὶ τοῦ ἁγ. Πνεύμ. κεφ. 11. σελ. 31).

[5]) Προσεθήκαμεν τὸν χρησιμώτατον ἐνταῦθα «γὰρ» ἐκ τοῦ Κώδ. Α.

οὐρανόθεν ἐπεφώνησε λέγων· «Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, εἰς ὃν ἐγὼ ηὐδόκησα». Εὐδόκησεν ὁ Πατὴρ ἐν τῷ Υἱῷ· ἐὰν μὴ καὶ σὺ εὐδοκήσῃς, ζωὴν οὐκ ἔχεις. Μὴ συμπαραφέρου τοῖς Ἰουδαίοις πανούργως λέγουσι τὸ, εἷς Θεὸς μόνος [1]), ἀλλὰ μετὰ τοῦ εἰδέναι ὅτι εἷς Θεὸς, γίνωσκε ὅτι καὶ Υἱός ἐστι Θεοῦ μονογενής. Ἐγὼ τοῦτο πρῶτος οὐκ εἶπον, ἀλλ' ὁ Ψαλμῳδὸς ἐκ προσώπου τοῦ Υἱοῦ λέγει· «Κύριος εἶπε πρός με, υἱός μου εἶ σύ». Μὴ οὖν τί λέγουσιν οἱ Ἰουδαῖοι πρόσεχε, ἀλλὰ τί λέγουσιν οἱ Προφῆται. Θαυμάζεις, εἰ ἀθετοῦσι τῶν Προφητῶν τὰ ῥήματα οἱ τοὺς Προφήτας λιθάσαντες καὶ ἀποκτείναντες; [2])

§ Γ'. Σὺ πίστευε εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν [3])· ἕνα δὲ λέγομεν Κύριον Ἰησοῦν Χριστὸν, ἵνα μονογενὴς ᾖ ἡ υἱότης· ἕνα λέγο-

---

Ἐν δὲ τῇ κατωτέρω εὐαγγελικῇ ῥήσει τὸ ἱερὸν κείμενον ἔχει «ἐν ᾧ», ὁ δὲ Πατὴρ ἔγραψεν «εἰς ὃν», ἴσως ἐκ τοῦ Ματθ. ιϛ'. 18. Τὸ δὲ «ἐγὼ» ἐλλείπει ἐκ τῶν Κωδ. R., C.

[1]) Κατὰ Ἰουδαίων γράφων καὶ ὁ Χρυσόστομος λέγει· «Ἀλλὰ πάντες ἐροῦσιν, ὅτι καὶ αὐτοὶ (οἱ Ἰουδαῖοι) τὸν Θεὸν προσκυνοῦσιν· ἀλλὰ μὴ γένοιτο τοῦτο εἰπεῖν· οὐδεὶς Ἰουδαῖος προσκυνεῖ τὸν Θεόν· τίς ταῦτα φησίν; ὁ Υἱὸς τοῦ Θεοῦ· «Εἰ τὸν Πατέρα γάρ μου ᾔδειτε, φησὶ, καμὲ ᾔδειτε ἄν· οὔτε δὲ ἐμὲ οἴδατε, οὔτε τὸν Πατέρα μου οἴδατε» (Ἰωάνν. η'. 19). Ποίαν ταύτης ἀξιοπιστοτέραν μαρτυρίαν παραγάγω;» (Κατὰ Ἰουδ. Λόγ. ά. Τόμ. ά. σελ. 720.). Τούτοις παραπλήσια λέγει καὶ ὁ Μ. Βασίλειος· «Καὶ Ἰουδαῖοι δοξάζειν τὸν Θεὸν οἴονται, καὶ Ἑλλήνων τις ἀκούσεται βουλομένων τι μέγα περὶ Θεοῦ λέγειν· ἀλλ' ὅμως οὐκ ἄν τις εἴποι μεγαλύνειν αὐτοὺς τὸν Θεὸν ἄνευ τῆς εἰς Χριστὸν πίστεως, δι' οὗ ἡ προσαγωγὴ τῆς γνώσεώς ἐστι» (κατὰ Εὐνομ. Λόγ. ά. Τόμ. ά. σελ. 335.). Φησὶ δὲ καὶ ὁ Μ. Ἀθανάσιος (Τόμ. ά. σελ. 219)· «Ἰουδαῖοι, ἀρνούμενοι τὸν Υἱὸν, οὐκ ἔχουσιν οὐδὲ τὸν Πατέρα». Ὅθεν ψάλλει καὶ ἡ Ἐκκλησία· «Συναγωγὴ πονηρὰ καὶ μοιχαλὶς, τί καυχᾶσαι ἐν Πατρὶ, τὸν Υἱὸν ἀθετήσασα;» (Τριῴδ. εἰς τὸν Ἑσπεριν. τῆς Κυριακῆς τῶν Βαΐων).

[2]) Ἡ λέξις «ἀποκτείναντες» ἐλλείπει ἐκ τῶν Κωδ. A., R., C.

[3]) Ὁ Τουτέος, ἐκ δύο Κωδήκων λαβὼν, προσέθηκε μετὰ τὸ «Χριστὸν», «τὸν Υἱὸν τοῦ Θεοῦ τὸν Μονογενῆ»· ἀλλ' αἱ λέξεις αὗται ἐλλείπουσιν ἐν ἁπάσαις ταῖς προτέραις ἐκδόσεσι, καὶ ἐξ ἁπάντων τῶν Κω-

μεν, ἵνα μὴ ὑπονοήσῃς [1]) ἄλλον· ἕνα λέγομεν, ἵνα μὴ τὸ πολυώνυμον τῆς ἐνεργείας εἰς πολλοὺς υἱοὺς ἐκχέῃς δυσσεβῶς. Λέγεται γὰρ θύρα [2]), ἀλλὰ μὴ ξυλίνην εἶναι [3]) νόμιζε τὴν προσηγορίαν, ἀλλὰ θύραν λογικήν, ζῶσαν, διακριτικὴν τῶν εἰσερχομένων. Ὁδὸς καλεῖται, οὐ ποσὶ πατουμένη, ἀλλ' ὁδηγοῦσα πρὸς τὸν ἐν οὐρανοῖς

δήκων, πλὴν τῶν δύο ἐκείνων καὶ τοῦ Γροδεκίου· ἀλλ' οὔτε ἡ σειρὰ τοῦ λόγου ἐνταῦθα ἀπαιτεῖ τὴν προσθήκην ταύτην. Περὶ τοῦ Μονογενοῦς Υἱοῦ διέλαβεν εἰς πλάτος ὁ Κύριλλος ἐν τῇ ἑπομένῃ Κατηχήσει. Τὰς δὲ ἑπομένας λέξεις «ἕνα δὲ λέγομεν Κύριον Ἰησοῦν Χριστὸν», ἐλλειπούσας ἐκ τῶν προτέρων ἐκδόσεων, προσέθηκεν ὁ Τουτέος ἐκ τῶν δύο Κωδήκων Ottob., Coisl., ἢ μᾶλλον εἰπεῖν ἐξ ἑνός, τοῦ Ottob. Καί τοι δὲ οὐ μεγάλη ἡ αὐθεντία ἀπέναντι τῆς γενικῆς ἐλλείψεως, παρεδεξάμεθα τὰς λέξεις, ὡς σαφηνιζούσας τὸν λόγον.

[1]) «Ἐπινοήσῃς» ἔχουσιν οἱ Κώδ. A., R.

[2]) Πολλὰ παραδείγματα καὶ πολλὰς προσηγορίας ἐκτίθησιν ἐνταῦθα ὁ Κύριλλος, καὶ συνάμα διαστέλλει κατὰ ποίαν τοῦ παραδείγματος ἰδιότητα ὁ Χριστὸς καλεῖται οὕτως. Οὐ κατὰ πάσας ἄρα τὰς ἰδιότητας ἐφαρμοστέον ἐπὶ τοῦ Χριστοῦ τὰ παραδείγματα. Ἄριστα καὶ διδακτικώτατά εἰσιν ὅσα λέγει Ἰσίδωρος ὁ Πηλουσιώτης περὶ τῆς ὑποθέσεως ταύτης· «Τὰ παραδείγματα οὐ κατὰ πάντα λαμβάνεται, καὶ τοῖς προκειμένοις ἁρμόζεται, ἐπεὶ οὐκ ἂν εἴη παραδείγματα, ἀλλὰ ταυτότης· ἀλλὰ χρὴ τὸ χρήσιμον ἡμᾶς, καὶ εἰς ὃ παρείληπται ἐκλεξαμένους, τὸ λοιπὸν ἅπαν χαίρειν ἐᾷν· καὶ ἵνα ἓν ἢ δύο προβαλλόμενος, καὶ τοῖς λοιποῖς ἀνατέμω ἑρμηνείας ὁδόν, ἄκουσον τί φησιν ὁ Πατριάρχης περὶ τοῦ Σωτῆρος· «ἀναπεσὼν ἐκοιμήθη ὡς λέων»· ἆρ' οὖν πάντα τὰ τῷ θηρίῳ προσόντα προσαρμόσωμεν τῷ Χριστῷ; ἄπαγε· ἀλλὰ τὸ ἄμαχον καὶ φοβερὸν καὶ βασιλικὸν ἐκλαμβάνοντες, τὸ θηριῶδες, καὶ εἴτι ἄλλο πρόσεστι τῷ λέοντι, εὖ ποιοῦντες παριππεύσομεν» (Ἐπις. 267. βιβλ. γ'.) Τὰς προσηγορίας τοῦ Υἱοῦ τοῦ Θεοῦ, τὰς ἐν ταῖς Γραφαῖς κειμένας, εἰς πλάτος ἐξέθηκε καὶ θεηγόρως ἀνέπτυξεν ὁ Θεολόγος Γρηγόριος, (Τόμ. ά. σελ. 552.). Φησὶ δὲ καὶ ὁ θεσπέσιος Νύσσης (Κατηχητ. κεφ. 10)· «Ὅσον εὐπρεπές ἐστι μόνον ἐν τῇ εἰκόνι δεξάμενος, τὸ ἀνοίκειον καὶ ἀπεμφαῖνον ἀποποιείσθω».

[3]) Τό, «εἶναι», ἐλλεῖπον ἐκ πασῶν τῶν ἐκδόσεων καὶ πάντων τῶν Κωδήκων, προσέθηκεν ὁ Τουτέος ἐκ τοῦ Κώδ. Coisl., καί τοι οὐδεμία ἦν ἀνάγκη τοιαύτης προσθήκης.

Πατέρα [1]). Πρόβατον καλεῖται, οὐκ ἄλογον, ἀλλὰ τὸ διὰ τοῦ τιμίου αἵματος αὐτοῦ καθαρίζον τὴν οἰκουμένην τῶν ἁμαρτιῶν, τὸ ἀγόμενον ἐνώπιον τοῦ κείροντος, καὶ γινῶσκον πότε δεῖ σιωπᾷν. Τοῦτο τὸ πρόβατον πάλιν καλεῖται ποιμὴν, ὁ λέγων· « Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός »· πρόβατον διὰ τὴν ἀνθρωπότητα, ποιμὴν διὰ τὴν φιλανθρωπίαν τῆς Θεότητος. Καὶ θέλεις γνῶναι ὅτι καὶ [2]) πρόβατά ἐστι λογικά; Λέγει τοῖς ἀποστόλοις ὁ Σωτήρ· « Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων ». Λέων πάλιν καλεῖται, οὐκ ἀνθρωποβόρος, ἀλλὰ τὸ βασιλικὸν καὶ στεῤῥὸν καὶ πεποιθὸς τῆς ὑποστάσεως διὰ τῆς προσηγορίας ὥσπερ ἐνδεικνύμενος. Λέων δὲ καλεῖται ἀπ' ἐναντίας τῷ λέοντι τῷ ἀντιδίκῳ, τῷ ὠρυομένῳ καὶ τοὺς ἠπατημένους καταπίνοντι· ἦλθε γὰρ ὁ Σωτὴρ, οὐ μεταβαλὼν τὸ πρᾶον τῆς φύσεως τῆς ἑαυτοῦ, ἀλλ' ὡς λέων δυνατὸς ἐκ φυλῆς Ἰούδα, σώζων μὲν τοὺς πιστεύοντας, καταπατῶν δὲ τὸν ἀντίδικον [3]). Λίθος καλεῖται, οὐκ ἄψυχος ὑπὸ χειρῶν ἀνθρώπων λατομούμενος, ἀλλὰ λίθος ἀκρογωνιαῖος, εἰς ὃν ὁ πιστεύσας οὐ καταισχυνθήσεται.

---

[1]) Κατὰ ποίαν ἔννοιαν καλοῦμεν ὁδὸν τὸν Χριστὸν ἄριστα ἐξηγεῖ καὶ ὁ Μ. Βασίλειος· « Ὥσπερ οὖν καὶ ὅταν ὁδὸς ὁ Κύριος λέγηται, πρὸς ὑψηλοτέραν ἔννοιαν, ἀλλ' οὐχὶ πρὸς τὴν ἐκ τοῦ προχείρου λαμβανομένην ὑποφερόμεθα· τὴν γὰρ εἱρμῷ καὶ τάξει διὰ τῶν ἔργων τῆς δικαιοσύνης καὶ τοῦ φωτισμοῦ τῆς γνώσεως ἐπὶ τὸ τέλειον προκοπὴν ὁδὸν ἐξακούομεν, ἀεὶ τοῦ πρόσω ἐπορεγόμενοι, καὶ τοῖς λειπομένοις ἑαυτοὺς ἐπεκτείνοντες, ἕως ἂν φθάσωμεν ἐπὶ τὸ μακάριον τέλος, τὴν Θεοῦ κατανόησιν, ἣν ὁ Κύριος δι' ἑαυτοῦ τοῖς εἰς αὐτὸν πεπιστευκόσι χαρίζεται. Ἀγαθὴ γὰρ ὄντως ὁδὸς, ἀπαρεξόδευτος καὶ ἀπλανὴς, ὁ Κύριος ἡμῶν, πρὸς τὸ ὄντως ἀγαθὸν, τὸν Πατέρα, φέρων. Οὐδεὶς γὰρ ἔρχεται, φησὶ, πρὸς τὸν Πατέρα, εἰ μὴ δι' ἐμοῦ. Τοιαύτη μὲν οὖν ἡ ἡμετέρα πρὸς Θεὸν ἄνοδος δι' Υἱοῦ » (Τόμ. 3 σελ. 21).

[2]) Τὸν « καὶ » προσεθήκαμεν ἐκ τοῦ Κώδ. Α.

[3]) Περὶ τῆς τοῦ λέοντος ταύτης προσηγορίας, ἀποδιδομένης τῷ Δεσπότῃ Χριστῷ, λέγει Ἰσίδωρος ὁ Πηλουσιώτης· « Λέων κέκληται οὐ μόνον ὁ Χριστὸς, ἀλλὰ καὶ ὁ δίκαιος καὶ ὁ διάβολος, ἀλλ' οὐ κατὰ ταὐτόν· ὡς γὰρ ἔφθην εἰπὼν, οὐ κατὰ πάντα λαμβάνεται τὸ ὑπόδειγμα, ἀλλὰ κατ'

§. Δ΄. Χριστὸς καλεῖται, οὐ χερσὶν ἀνθρωπίναις κεχρισμένος, ἀλλ' ὑπὸ τοῦ Πατρὸς ἀϊδίως εἰς τὴν ὑπὲρ ἄνθρωπον ἀρχιερωσύνην χρισθείς [1]). Νεκρὸς καλεῖται, οὐκ ἀπομείνας ἐν νεκροῖς, ὡς πάντες ἐν ᾅδη, ἀλλὰ μόνος ἐν νεκροῖς ἐλεύθερος. Υἱὸς ἀνθρώπου καλεῖται, οὐχ ὡς ἕκαστος ἡμῶν ἐκ γῆς τὴν γέννησιν ἐσχηκώς, ἀλλ' ἐρχόμενος ἐπὶ τῶν νεφελῶν κρῖναι ζῶντας καὶ νεκρούς [2]). Κύριος καλεῖται, οὐ καταχρηστικῶς, ὡς οἱ ἐν ἀνθρώποις, ἀλλὰ ὡς φυσικὴν καὶ ἀΐδιον

ἐκεῖνο μόνον τὸ μέρος, τὸ χρησιμεῦον τοῖς λεγομένοις, καὶ τὸ λοιπὸν χαίρειν ἐᾶται. Ὁ μὲν Χριστὸς κατὰ τὸ βασιλικὸν καὶ ἄμαχον· ἀναπεσὼν γὰρ ἐκοιμήθη ὡς λέων· ὁ δὲ δίκαιος κατὰ τὸ ἀδεὲς καὶ ἄφοβον· δίκαιος γὰρ ὡς λέων πέποιθεν· ὁ δὲ διάβολος κατὰ τὸ θηριῶδες καὶ αἱμοβόρον· ὡς λέων γὰρ περιπατεῖ ζητῶν τίνα καταπίῃ» (βιβλ. II, ἐπις. 175).

[1]) Σημείωσαι ἐνταῦθα τὴν διδασκαλίαν τοῦ Κυρίλλου περὶ τῆς χρίσεως καὶ ἀρχιερωσύνης τοῦ Χριστοῦ. Οἱ πλεῖστοι καὶ σχεδὸν ἅπαντες οἱ Πατέρες, τοῦ τετάρτου μάλιστα καὶ πέμπτου αἰῶνος, τήν τε χρῖσιν καὶ ἀρχιερωσύνην τοῦ Χριστοῦ ἐκλαμβάνουσι κατὰ τὸ ἀνθρώπινον. Ἐχρίσθη δηλονότι ὁ Σωτὴρ ἡμῶν ὑπὸ τοῦ ἁγίου Πνεύματος ἁγιάσας τὴν ἀνθρωπίνην φύσιν ἐν τῷ προσλήμματι, καὶ ἀρχιερεὺς ὑπὲρ ἡμῶν γέγονε κατὰ τὸ ἀνθρώπινον, θυσίαν ὑπὲρ ἡμῶν ἑαυτὸν τῷ Πατρὶ προσενέγκας· ἀλλ' ὁ Κύριλλος ἐνταῦθά τε καὶ κατωτέρω (§. 14. καὶ Κατηχ. ί. § 14) ἀΐδιον καὶ προαιώνιον θέλει τήν τε χρῖσιν τοῦ Χριστοῦ καὶ τὴν ἀρχιερωσύνην. Ὅρα περὶ τούτου καὶ τὴν σημ. τοῦ Τουτέου εἰς Κατήχ. ί. § 13.

[2]) Τὰ ὧδε περὶ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου εἰρημένα σαφέστερα γίνονται καὶ διαλευκαίνονται, ἐὰν συγκριθῶσι πρὸς τὰ ἐν Κατηχ. δ΄. § 15. καὶ Κατηχ. ιέ. 10. Ναὶ μὲν υἱὸς ἀνθρώπου καλεῖται ὁ Σωτὴρ ἡμῶν «διὰ τὸ ἡνῶσθαι σαρκί, καὶ καθ' ἡμᾶς ὑπομεῖναι γέννησιν ἐκ γυναικὸς», κατὰ τὸν Ἀλεξ. Κύριλλον (ὅρα ἐν τοῖς πρακτικοῖς τῆς ἐν Ἐφέσῳ Συνόδου)· ἀλλ' ἐπειδὴ ἡ ἐκ Παρθένου καὶ Πνεύματος ἁγίου γέννησις αὕτη διαφέρει ἀπὸ πάσης ἄλλης ἀνθρωπίνης γεννήσεως, διὰ τοῦτο εἶπε καὶ ὁ ἡμέτερος Κύριλλος· «οὐχ ὡς ἕκαστος ἡμῶν ἐκ γῆς τὴν γέννησιν ἐσχηκώς». Ἡ ἐκ τῆς Παρθένου ἐνανθρώπησις τοῦ Υἱοῦ καὶ λόγου ἐγένετο, κατὰ τὸν Θεολόγον Γρηγόριον, «νόμῳ καὶ οὐ νόμῳ γεννήσεως» (Λογ. λς΄.)· νόμῳ μὲν γεννήσεως, διότι καθ' ἡμᾶς ὑπέμεινε γέννησιν ἐκ γυναικός, ὡς εἶπεν ὁ Ἀλεξ. Κύριλλος· οὐ νόμῳ δὲ γεννήσεως, διότι οὐχ ὡς ἕκαστος ἡμῶν ἐκ γῆς τὴν γέννησιν ἔσχηκεν, ὡς εἶπεν ὁ Ἱεροσολύμων Κύριλλος. Ὅπερ δὲ ὁ

ἔχων κυριείαν [1]). Ἰησοῦς καλεῖται φερωνύμως, ἐκ τῆς σωτηριώδους ἰάσεως ἔχων τὴν προσηγορίαν [2]). Υἱὸς καλεῖται, οὐ θετικῶς προαχθεὶς, ἀλλὰ φυσικῶς γεννηθείς· [3]) καὶ πολλαὶ τοῦ Σωτῆρος ἡμῶν εἰσὶν αἱ προσηγορίαι. Ἵνα τοίνυν μὴ τὸ πολυώνυμον τῆς προσηγο-

---

Γρηγόριος εἴρηκε «νόμῳ καὶ οὐ νόμῳ γεννήσεως», τοῦτο ὁ Δαμασκηνὸς ἐξέφρασε «καθ' ἡμᾶς καὶ ὑπὲρ ἡμᾶς»· «καθ' ἡμᾶς, ὅτι γέγονεν ἄνθρωπος ἐκ γυναικὸς καὶ χρόνῳ κυήσεως· ὑπὲρ ἡμᾶς, ὅτι οὐκ ἐκ σπορᾶς, ἀλλ' ἐξ ἁγίου Πνεύματος καὶ τῆς ἁγίας Παρθένου ὑπὲρ νόμον κυήσεως» (γ'. 7.).

[1]) Φυσικὴν τὴν κυριότητα τοῦ Χριστοῦ, οὐχὶ ἐπίκτητον, ἀνακηρύττει ὁ Κύριλλος πολλαχοῦ. «Οὐκ ἐκ προκοπῆς τὸ κυριεύειν λαβὼν, ἀλλ' ἐκ φύσεως τὸ τῆς κυριότητος ἔχων ἀξίωμα» λέγει καὶ ἐν τῷ ἑπομένῳ παραγράφῳ· ὁμοίως καὶ § 9. Φύσει Κύριον λέγει τὸν Χριστὸν καὶ ὁ Μ. Ἀθανάσιος· «Δοῦλος κατὰ τὴν μορφὴν ὁ τῇ φύσει Κύριος» (Τόμ. ά. σελ. 521.)· «Κατὰ φύσιν Κύριον» εἶπεν αὐτὸν καὶ ὁ Ἀλεξανδρ. Κύριλλος (Ἐπιστολ. πρὸς τοὺς ἐν Αἰγύπτῳ μοναχοὺς § 11). Κατὰ ταύτην τὴν ἔννοιαν τὸ «Κύριος» ἰσοδυναμεῖ τῷ Θεός. Ὅθεν εἶπε καὶ ὁ Χρυσόστομος, κατὰ τῶν Ἀρειανῶν ἀγωνιζόμενος· «Οὔτε τὸ Θεὸς ὄνομα μεῖζον τοῦ Κύριος, οὔτε τὸ Κύριος ἔλαττον τοῦ Θεὸς» (περὶ ἀκαταλήπτου Ὁμιλ. έ. Τόμ. ά. σελ. 590.).

[2]) Ὁ ἱερὸς Κύριλλος ἐκλαμβάνει μὲν ἐνταῦθα καὶ ἑρμηνεύει ὡς Ἑλληνικὴν τὴν λέξιν Ἰησοῦς, παράγων αὐτὴν ἐκ τοῦ ἰάομαι· ἀλλ' οὐκ ἀγνοεῖ, ὅτι ἐστὶν ἑβραϊκὴ, καὶ ὅτι ἄλλως ἑρμηνεύεται καθ' Ἑβραίους· φησὶ γὰρ κατωτέρω (§ 13)· «Ἰησοῦς τοίνυν ἐστὶ κατὰ μὲν Ἑβραίους Σωτὴρ, κατὰ δὲ τὴν ἑλλάδα γλῶσσαν, ὁ ἰώμενος», καὶ § 11. «Καλεῖται Ἰησοῦς διὰ τὸ σώζειν». Περὶ τοῦ ὀνόματος τούτου φησὶ καὶ ὁ Χρυσόστομος· «Τὸ Ἰησοῦς ὄνομα οὐκ ἔστιν ἑλληνικὸν, ἀλλὰ τῇ Ἑβραίων φωνῇ οὕτω λέγεται Ἰησοῦς· ὅ ἐστιν, εἰς τὴν ἑλλάδα γλῶσσαν ἑρμηνευόμενον, Σωτήρ· Σωτὴρ δὲ ἀπὸ τοῦ σῶσαι τὸν λαὸν αὐτοῦ» (Ὁμιλ. β'. εἰς Ματθ.)· ὅρα καὶ Ἐπιφάνιον (Τόμ. ά. σελ. 20), Ἰουστῖνον (Ἀπολογ. ά. § 33). Ἀλλ' οὐ μόνος ὁ Κύριλλος ἡρμήνευσε τὴν λέξιν ἑλληνικῶς, καὶ Κλήμης δὲ πρὸ αὐτοῦ (Παιδαγ. βιβλ. γ'.) καὶ Εὐσέβιος (Εὐαγγελ. Προπαρ. βιβλ. δ'.) τὴν αὐτὴν ἐκ τοῦ ἰάομαι ἐποίησαν ἐτυμολογίαν.

[3]) Περὶ ταύτης τῆς μὴ υἱοθετικῆς, ἀλλὰ φυσικῆς προσηγορίας τοῦ Υἱοῦ πλεῖστα διέλαβεν ὁ Κύριλλος ἐν Κατηχ. ιά. § 2—9. καὶ ὅρα ἐκεῖ.

ρίας πολλοὺς υἱοὺς ποιήσῃ σε [1]) νομίζειν, καὶ διὰ τὰς πλάνας τῶν αἱρετικῶν, τῶν λεγόντων ἄλλον μὲν εἶναι τὸν Χριστὸν, ἄλλον δὲ τὸν Ἰησοῦν, ἄλλον δὲ τὴν θύραν καὶ τὰ λοιπὰ, [2]) προασφαλίζεταί σε ἡ πίστις, λέγουσα καλῶς· «Εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν»· εἰ γὰρ καὶ πολλαὶ αἱ προσηγορίαι, ἀλλ' ἓν τὸ ὑποκείμενον.

---

[1]) Τὸ «σὲ» ἐλλείπει ἐκ τῶν Κωδ. A., R.

[2]) Τὰς πλάνας τῶν αἱρετικῶν ἐκείνων λέγει ὁ Κύριλλος, οἵτινες ἄλλον μὲν εἶναι ἔλεγον τὸν Χριστὸν, ἄλλον δὲ τὸν Ἰησοῦν. Τοιοῦτοι δὲ αἱρετικοὶ, χωρίζοντες τὸν Χριστὸν ἀπὸ τοῦ Ἰησοῦ, ἦσαν ά.) οἱ Κηρινθιανοὶ (Εἰρην. ά. 26. Θεοδώρητ. αἱρετ. κακομ. β΄. 3. Ἐπιφάν. Τόμ. ά. σελ. 110)· β΄.) οἱ Ὀφῖται (Εἰρην. ά. 30)· γ΄.) οἱ Οὐαλεντινιανοὶ (Εἰρην. ἐν τῷ Προοιμ. τοῦ δ΄. βιβλίου). Τούτοις ἐγκαταλεγέσθω, εἰ δοκεῖ, καὶ Παῦλος ὁ Σαμοσατεὺς, ἄλλον εἶναι λέγων τὸν Χριστὸν καὶ ἄλλον τὸν Θεὸν Λόγον (Ἀθανάσιος Τόμ. ά. σελ. 337 καὶ 455.). Καὶ ταῦτα μὲν γνωστὰ καὶ πασίδηλα ἐκ τῆς ἱστορίας· ἀλλ' ὁ Κύριλλος προστίθησιν· «ἄλλον δὲ τὴν θύραν καὶ τὰ λοιπά». Ταῦτα δὲ δυσνόητα ἀποβαίνουσιν, ὡς μὴ ἐχόντων ἡμῶν μαρτυρίαν τινά ποθεν, ὅτι ἄλλον ἐνόμιζον θύραν. Ὅθεν ὁ Μιλέσιος εἰκάζει, ὅτι ἀντὶ «θύραν» γραπτέον «σωτῆρα»· εὔκολος, λέγει, ἡ παραφθορὰ καὶ μετάπτωσις τῆς λέξεως ἐκ τοῦ «σωτῆρα» εἰς τὸ «θύρα»· διότι ἀπολειφθείσης τυχὸν ἢ ἀποκοπείσης τῆς πρώτης συλλαβῆς σω, ἔμεινε τῆρα· τοῦτο δὲ ἐπειδὴ οὐδὲν ἐδίδου νόημα, ὁ ἀντιγραφεὺς μετέβαλεν εἰς τὸ «θύραν». Πιθανὰ ταῦτα καὶ ὡραῖα καὶ εὐφυῆ, ἀλλ' ὅμως ἐν ἅπασι τοῖς μέχρι τοῦδε Κώδηξιν εὑρέθη «θύρα», ἐν οὐδενὶ δὲ «σωτῆρα»· ἡ δὲ σταθερὰ καὶ σύμπνους αὕτη τῶν χειρογράφων αὐθεντία οὐ περιτρέπεται ῥᾳδίως ἐξ εἰκασίας· εἶτα δὲ, ὡς παρατηρεῖ καὶ ὁ Τουτέος, καὶ ἀπ' αὐτῆς τῆς σειρᾶς τοῦ λόγου ἡ γνησία γραφὴ φαίνεται «θύρα»· κατηρίθμησε γὰρ ἀνωτέρω ἐν τάξει ὁ Κύριλλος πολλὰς τοῦ Σωτῆρος προσηγορίας· εἶπεν ὅτι καλεῖται καὶ θύρα καὶ ὁδὸς καὶ πρόβατον καὶ ποιμὴν κτλ. Ταῦτα δὲ οἷον ἀνακεφαλαιῶν, προσέθηκε «καὶ τὰ λοιπά». Ἡ μὲν οὖν γραφὴ «θύραν» φαίνεται γνησία· τί δὲ ἄρα σημαίνει αὕτη; Ὁ μακάριος Εἰρηναῖος ἱστορεῖ, ὅτι οἱ Οὐαλεντινιανοὶ οὐ μόνον ἄλλον ἔλεγον τὸν Χριστὸν, καὶ ἄλλον τὸν Ἰησοῦν, ἀλλὰ καὶ ἄλλα τοῦ Χριστοῦ ὀνόματα τῇ αὐτῇ ἀφροσύνῃ χωρίζοντες, ἐθεώρουν ὡς αὐθυπόστατα· ὅθεν ἄλλον ἔλεγον τὸν Σωτῆρα καὶ ἄλλον τὸν Λόγον, καὶ ἄλλον τὸν Μονογενῆ· «Blasphemant autem

§ Ε΄. Ἑκάστῳ δὲ ποικίλος ὁ Σωτὴρ γίνεται πρὸς τὸ συμφέρον· τοῖς μὲν γὰρ εὐφροσύνης χρείαν ἔχουσιν, ἄμπελος γίνεται· τοῖς δὲ χρείαν ἔχουσιν εἰσελθεῖν ἕστηκε θύρα· καὶ τοῖς χρείαν ἔχουσι προσενέγκαι τὰς εὐχὰς, ἕστηκε μεσίτης ἀρχιερεύς. Πάλιν τοῖς ἔχουσιν ἁμαρτίας γίνεται πρόβατον, ἵνα ὑπὲρ αὐτῶν σφαγιασθῇ· τοῖς πᾶσι γίνεται τὰ πάντα [1]), μένων αὐτὸς κατὰ φύσιν ὅπερ ἐστί. Μένων γὰρ καὶ ἔχων τὸ τῆς υἱότητος ἀληθῶς ἀπαράτρεπτον ἀξίωμα, οἷά τις κάλλιςος [2]) ἰατρὸς καὶ διδάσκαλος συμπαθὴς, συμπεριφέρεται ταῖς ἡμετέραις ἀσθενείαις· Κύριος ὢν κατὰ ἀλήθειαν, οὐκ ἐκ προκοπῆς τὸ κυριεύειν λαβὼν, ἀλλ᾽ἐκ φύσεως τὸ τῆς κυριότητος ἔχων ἀξίωμα, καὶ οὐ καταχρηστικῶς, ὡς ἡμεῖς, κύριος καλούμενος, ἀλλὰ τῇ ἀληθείᾳ κύριος ὤν· ἐπειδὴ νεύματι Πατρὸς κυριεύει τῶν οἰκείων δημιουργημάτων· ἡμεῖς μὲν γὰρ ἔχομεν τὸ κυριεύειν ἀνθρώπων ἰσοτίμων καὶ ὁμοιοπαθῶν, πολλάκις δὲ καὶ προγενεστέρων· καὶ νέος πολλάκις δεσπότης οἰκετῶν ἄρχει πρεσβυτέρων· ἐπὶ δὲ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριςοῦ τὸ κυριεύειν οὐχ οὕτως, ἀλλὰ πρῶτον ποιητὴς, εἶτα Κύριος· [3])

---

et in Dominum nostrum, abscindentes et dividentes Jesum a Christo, et Christum a Salvatore, et Salvatorem rursum a Verbo, et Verbum ab Unigenito (ἐν τῷ προοιμ. τοῦ δ΄. βιβλίου)· οὐδὲν δὲ παράδοξον, εἴπερ οἱ αἱρετικοὶ οὗτοι καὶ ἄλλα τοῦ Σωτῆρος μεταφορικὰ ὀνόματα ἀποσπῶντες, ἀπεδίδουν εἰς τοὺς παρ᾽ αὐτῶν ἀναπλαττομένους Αἰῶνας. Ὁ Τουτέος πιθανὸν νομίζει, ὅτι τῷ τῆς θύρας ὀνόματι ἀπεκάλουν τὸν Αἰῶνα, τὸν καλούμενον Ὅρον, ὃν ὠνόμαζον καὶ Συλλυτρωτὴν, καὶ Καρπιστὴν, καὶ Ὁροθέτην καὶ Μυσταγωγέα (Εἰρην. ά. 2.).

[1]) Τὸ ἄρθρον «τὰ» προσεθήκαμεν ἐκ τῶν Κωδ. A., R., C.

[2]) Ταύτην τὴν συνθήκην ἔχουσιν αἱ λέξεις ἐν τοῖς Κώδ. A., R., C. Ἐν ταῖς ἐκδόσεσι «κάλλιστος οἷά τις»· ἀλλὰ τὸ πρῶτον σαφέστερον ἅμα καὶ γλαφυρώτερον.

[3]) Ὁ Κύριλλος εἶπεν ἀνωτέρω, ὅτι ὁ Χριστὸς «ἐκ φύσεως τὸ τῆς κυριότητος ἔχει ἀξίωμα» καὶ «φυσικὴν καὶ ἀΐδιον ἔχει τὴν κυριείαν»· πῶς οὖν ἐνταῦθα πρῶτον αὐτὸν λέγει ποιητὴν, εἶτα κύριον; Ἡ ποίησις τῶν δημιουργημάτων ἐγένετο ἐν χρόνῳ, ἡ δὲ κυριότης προσῆν τῷ Χριστῷ ὡς Θεῷ ἀνάρχως καὶ ἀϊδίως· πῶς οὖν

πρῶτον ἐποίησε θελήματι [1]) Πατρὸς τὰ πάντα, εἶτα κυριεύει τῶν ὑπ' αὐτοῦ γενομένων.

§ ΣΤ'. Χριστὸς Κύριός [2]) ἐστιν, ὁ τεχθεὶς ἐν πόλει Δαβίδ. Καὶ θέλεις γνῶναι ὅτι σὺν τῷ Πατρὶ καὶ πρὸ τῆς ἐνανθρωπήσεώς ἐστι Χριστὸς Κύριος [3]), ἵνα μὴ μόνον τῇ πίστει παραδέξῃ τὸ λεγόμενον,

---

προηγεῖται τὸ, ποιητὴς, τοῦ, Κύριος; Ὁ ἱερὸς Κύριλλος διττὴν φαίνεται θεωρῶν τὴν κυριείαν τοῦ Ἰησοῦ Χριστοῦ· μίαν μὲν τὴν ἐξ ἀϊδίου προσοῦσαν αὐτῷ ὡς Θεῷ, ἣν καὶ φυσικὴν ὀνομάζει, καθ' ἣν «ἦν ἀεὶ κύριός τε καὶ βασιλεὺς καθ' ὃ φύσει Θεὸς», ὥς φησιν ὁ ἐν ἁγίοις Κύριλλος Ἀλεξανδρείας (εἰς Ἰωάνν. κεφ. 17)· ἑτέραν δὲ τὴν ἐν χρόνῳ, τὴν ἐπὶ τῶν κτισμάτων ἐφηρμοσμένην, καθ' ἣν κυριεύει τῶν ὑπ' αὐτοῦ πεποιημένων δημιουργημάτων ὡς ποιητὴς αὐτῶν· διὰ τοῦτο λέγει εὐθὺς παρακατιών· «Πρῶτον ἐποίησε θελήματι Πατρὸς τὰ πάντα, εἶτα κυριεύει τῶν ὑπ' αὐτοῦ γενομένων». Καὶ κατὰ τὴν πρώτην δὲ ἔννοιαν καὶ κατὰ τὴν δευτέραν ὁ θεσπέσιος Ἱεράρχης τῶν Ἱεροσολύμων ἐξελέγχει καὶ ἀποῤῥαπίζει τὴν αἵρεσιν τοῦ Σαμοσατέως Παύλου, ὃς δυσσεβῶς ἔλεγε μετὰ τὴν ἐνανθρώπησιν μόνον καὶ ἐκ προκοπῆς τὸν Υἱὸν τεθεοποιῆσθαι καὶ ἀρχὴν τῆς βασιλείας καὶ κυριότητος ἐσχηκέναι.

[1]) Ὁ Κώδ. Α. ἔχει «νεύματι».

[2]) Ἐν ταῖς ἐκδόσεσιν ἔκειτο, «Χριστὸς ὁ Κύριος»· ἀλλ' ἀπηλείψαμεν τὸ περιττὸν ἐνταῦθα ἄρθρον «ὁ» ἐξ αὐθεντίας τῶν Κωδ. Α., Ottob. Ἀνάρθως κεῖνται αἱ λέξεις καὶ μικρὸν κατωτέρω.

[3]) Κατὰ τῶν αἱρετικῶν ἐκείνων ἀνταγωνίζεται ὁ Πατὴρ ἐνταῦθα, οἵτινες οὐδεμίαν ἀπεδέχοντο προΰπαρξιν καὶ αὐθύπαρκτον ὑπόστασιν τοῦ Υἱοῦ καὶ Λόγου πρὸ τῆς ἐνανθρωπήσεως· πολλοὶ δέ εἰσιν οὗτοι καὶ ποικίλοι, ἐν πολλοῖς μὲν ἄλλοις διαφωνοῦντες, ἐν ταύτῃ δὲ τῇ δυσσεβείᾳ ὁμονοοῦντες. Τοιαύτην ἀδικίαν εἰς τὸ ὕψος τοῦ Υἱοῦ καὶ Λόγου ἐλάλησαν ἐν πρώτοις ἐκεῖνοι, οἵτινες ψιλὸν μόνον ἄνθρωπον καὶ δικαίοις ἀνθρώποις ἰσότιμον τὸν Χριστὸν ὑπέλαβον, οἷον Ἐβίων, Καρποκράτης, Θεόδοτος Σκυτεὺς, Ἀρτέμων καὶ Παῦλος Σαμοσατεὺς, περὶ ὧν ἐσημειωσάμεθα τὰ εἰκότα ἐν Κατηχ. Ζ'. § 7. Εἶτα δὲ καὶ Μάρκελλος καὶ Φωτεινὸς κατὰ τὸν τέταρτον αἰῶνα. Περὶ τούτων δὲ φησὶ καὶ ὁ Θεοδώρητος (ἐν διαλόγῳ Β'.)· «Ἀρτέμων δὲ καὶ Σαβέλλιος, καὶ Παῦλος ὁ Σαμοσατεὺς, καὶ Μάρκελλος καὶ Φωτεινὸς εἰς τὴν ἐναντίαν ἐκ διαμέτρου βλασφημίαν κατέπεσον· ἄνθρωπον γὰρ

ἀλλὰ καὶ ἀπόδειξιν λάβῃς [1]) ἀπὸ τῆς παλαιᾶς Γραφῆς; Ἐλθὲ ἐπὶ τὴν πρώτην βίβλον, τὴν Γένεσιν. Λέγει ὁ Θεός· «Ποιήσωμεν ἄνθρωπον «οὐ κατ' εἰκόνα ἐμὴν, ἀλλὰ «κατ' εἰκόνα ἡμετέραν«. [2]) Καὶ μετὰ τὸ γενέσθαι τὸν Ἀδὰμ φησί· «Καὶ ἐποίησεν ὁ Θεὸς [3]) τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν»· οὐ γὰρ περιώρισεν εἰς τὸν

μόνον κηρύττουσι τὸν Χριστὸν, τὴν δὲ πρὸ τῶν αἰώνων ὑπάρχουσαν ἀρνοῦνται θεότητα». Ὅρα δὲ ἰδίως, περὶ μὲν Μαρκέλλου, Ἐπιφάνιον (Τόμ. ά. σελ. 833), Εὐσέβιον (κατὰ Μαρκέλλου βιβλ. β'. καὶ περὶ Ἐκκλησιαστικῆς Θεολογίας βιβλ. ά. κεφ. 17·), Σωκράτην (Ἐκκλ. ἱστορ. ά, 36.)· περὶ δὲ Φωτεινοῦ, Μ. Ἀθανάσιον (Τόμ. ά. σελ. 691), Ἐπιφάνιον (Τόμ. ά. σελ. 828), Θεοδώρητον (αἱρετ. κακομ. β'. 11.).

[1]) Ἀντὶ τοῦ, «λάβῃς» οἱ τρεῖς Κώδ. A., R., C. ἔχουσιν «ἔχῃς».

[2]) Ἅπαντες οἱ Πατέρες ἐν τῷ ῥητῷ τούτῳ τῆς Γενέσεως κατεῖδον τὴν ἁγίαν Τριάδα σημαινομένην, καὶ μάλιστα μετὰ τοῦ Πατρὸς καὶ τὸν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ, τὸν πρὸ αἰώνων ἐν τῷ Πατρὶ ὑπάρχοντα καὶ μετ' αὐτοῦ ἀϊδίως συνόντα. Ὁ Ἰουστῖνος (ἐν τῷ Διαλόγ. πρὸς Τρύφ. § 62), Θεόφιλος Ἀντιοχείας (πρὸς Αὐτόλ. βιβλ. β'.), Τερτυλλιανὸς (de resurrect. carnis, cap. 6.), Εἰρηναῖος (ἑ. 15), Ἀθανάσιος (Τόμ. ά. σελ. 69), Εὐσέβιος (Εὐαγγελ. Προπαρ. Ζ'. 14), Μ. Βασίλειος (κατὰ Εὐνομ. βιβλ. ἑ. Τόμ. ά. σελ. 448), Χρυσόστομος (Ὁμιλ. ή. εἰς τὴν Γένεσιν), Ἐπιφάνιος (Τόμ. ά. σελ. 392), Θεοδώρητος (ἐρώτ. ιθ'. εἰς Γέν.), Κύριλλος Ἀλεξανδρείας (κατὰ Ἰουλ. βιβλ. δ'.), Βασίλειος Σελευκείας (Λόγ. β'. εἰς τὸν Ἀδὰμ), Γρηγόριος Νύσσης (Τόμ. ά. σελ. 140), ἅπαντες οὗτοι, καὶ πλεῖστοι ἄλλοι, οὓς παραλείπομεν, οὕτως ἡρμήνευσαν, καὶ οὕτως ἐξέλαβον τὴν ῥῆσιν ταύτην, ὅπως καὶ ὁ ἡμέτερος Κύριλλος· ἐν τῷ, «ποιήσωμεν» δηλονότι ἐθεώρησαν τὸν Πατέρα ἀποτεινόμενον καὶ λαλοῦντα πρὸς τὸν μονογενῆ Υἱὸν, καὶ οὐχὶ πρὸς τοὺς Ἀγγέλους, ὡς ἄγαν δυσσεβῶς φλυαροῦσιν οἱ Ἰουδαῖοι, ὧν τὴν ἄνοιαν καὶ ἀναισχυντίαν ἐξελέγχει καὶ ὁ Χρυσόστομος (Ὁμιλ. ή. εἰς Γέν.). Ἀλλ' οὐδὲ πάλιν μεγαλοπρεπείας χάριν ἐξενήνεκται πληθυντικῶς τὸ, «ποιήσωμεν», ὡς οἱ αὐτοὶ Ἑβραῖοι ληροῦσιν, οὓς ἀπεῤῥάπισε γενναίως ὁ Θεοδώρητος (Ἐρώτ. ιθ'. εἰς Γέν.).

[3]) Ἀπεδεξάμεθα τὴν λέξιν «ὁ Θεὸς» ἐκ τῶν τεσσάρων Κωδ. A., R., C., Coisl. Αὕτη κεῖται καὶ ἐν τῷ ἱερῷ τῆς Γραφῆς κειμένῳ. Ἐν δὲ ταῖς ἐκδόσεσιν εὕρηται ἀνάρθρως «Κύριος».

Πατέρα μόνον τὸ τῆς θεότητος ἀξίωμα, ἀλλὰ συμπεριέλαβε καὶ τὸν Υἱὸν, ἵνα δειχθῇ ὅτι ὁ ἄνθρωπος οὐ μόνον Θεοῦ ποίημα, ἀλλὰ καὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὄντος καὶ αὐτοῦ Θεοῦ ἀληθινοῦ. Οὗτος ὁ Κύριος, ὁ τῷ Πατρὶ συνεργαζόμενος, συνήργησε καὶ ἐπὶ Σοδόμων κατὰ τὴν λέγουσαν Γραφήν· «Καὶ Κύριος ἔβρεξεν ἐπὶ Σόδομα καὶ Γόμοῤῥα πῦρ καὶ θεῖον παρὰ Κυρίου ἐκ τοῦ οὐρανοῦ». [1]) Οὗτος ὁ Κύριος ὤφθη τῷ Μωϋσεῖ πάλιν ὡς ἐδύνατο ἰδεῖν· φιλάνθρωπος γὰρ ὁ Κύριος, ἀεὶ συμπεριφερόμενος ταῖς [2]) ἡμετέραις ἀσθενείαις.

§ Ζ΄. Καὶ ἵνα γνῷς [3]) ὅτι οὗτός ἐστιν ὁ τῷ Μωϋσεῖ ὀφθεὶς, δέξαι μαρτυρίαν Παύλου λέγοντος· «Ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός»· καὶ πάλιν· «Πίστει Μωϋσῆς κατέλιπεν Αἴγυπτον»· καὶ μετ' ὀλίγα φησί· «Κρείττονα πλοῦτον ἡγησάμενος τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ τῶν ἐν Αἰγύπτῳ θησαυρῶν». [4]) Οὗτος ὁ Μωϋσῆς φησι πρὸς αὐτόν· «Ἐμφάνισόν

---

[1]) Τὸ «Κύριος ἔβρεξε παρὰ Κυρίου», ἐν τῷ ῥητῷ τούτῳ ἐπὶ τοῦ Υἱοῦ καὶ τοῦ Πατρὸς ἐξέλαβον καὶ Ἰουστῖνος (ἐν τῷ Διαλόγῳ πρὸς Τρύφωνα § 56) καὶ Ἀθανάσιος (Τόμ. α΄. σελ. 195, 694) καὶ Χρυσόστομος (Ὁμιλ. γ΄. εἰς τὴν β΄. πρὸς Τιμόθ.) καὶ Μ. Βασίλειος (κατὰ Εὐνομ. βιβλ. δ΄.) καὶ Ἐπιφάνιος (Τόμ. α΄. σελ. 28.) καὶ Εὐσέβιος (Εὐαγγ. Προπαρ. Ζ΄. 14) καὶ Γρηγόριος ὁ Θεολόγος (Λόγ. κθ΄.) καὶ ἄλλοι συχνοί. Καὶ ἡ ἐν Σιρμίῳ δὲ κατὰ Φωτεινοῦ συνελθοῦσα Σύνοδος μεταξὺ ἄλλων ἔγραψε καὶ ταῦτα· «Εἴ τις τὸ, ἔβρεξε Κύριος πῦρ παρὰ Κυρίου, μὴ ἐπὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκλαμβάνοι, ἀλλ' αὐτὸν παρ' ἑαυτοῦ λέγει βεβρεχέναι, ἀνάθεμα ἔστω. Ἔβρεξε γὰρ Κύριος ὁ Υἱὸς παρὰ Κυρίου τοῦ Πατρός»· Μ. Ἀθανάσιος (Τόμ. α΄. σελ. 694.).

[2]) Προσεθήκαμεν τὸ ἐκ τῶν ἐκδόσεων ἐλλεῖπον ἄρθρον, «ταῖς» ἐκ τῶν Κωδ. A., R., C.

[3]) Ἀπελείψαμεν τὸν «δὲ» πρὸ τοῦ «γνῷς», ἀκαταλλήλως ἐν ταῖς ἐκδόσεσι κείμενον, στηριζόμενοι ἐπὶ τῆς αὐθεντίας τῶν Κωδ. A., R., C.

[4]) Τὸ κείμενον τῆς Γραφῆς λέγει· «μείζονα πλοῦτον ἡγησάμενος τῶν ἐν Αἰγύπτῳ θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ».

μοι σεαυτόν». Βλέπεις ὅτι καὶ οἱ Προφῆται τότε ἔβλεπον τὸν Χριστὸν [1]), ἀλλὰ καθὸ ἐχώρουν ἕκαστος. «Ἐμφάνισόν μοι σεαυτὸν, γνωστῶς ἴδω σε»· ὁ δέ φησιν· «Οὐδεὶς ὄψεται τὸ πρόσωπόν μου, καὶ ζήσεται». Διὰ τοῦτο τοίνυν, ἐπειδὴ τὸ τῆς θεότητος πρόσωπον

[1]) Συνῳδὰ τῷ Κυρίλλῳ φησὶ καὶ Ἐπιφάνιος· «Πολλάκις ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς πέφηνε τοῖς Προφήταις» (Τόμ. ά. σελ. 518), καὶ Χρυσόστομος (Ὁμιλ. ή. εἰς Ἰωάννην)· «Οἵ γε τοῦ Θεοῦ φίλοι καὶ θαυμαστοὶ πάντες αὐτὸν ἐπέγνωσαν καὶ πρὸ τῆς ἐνσάρκου παρουσίας»· καὶ Γρηγόριος ὁ Θεολόγος (Λόγ. κβ'.)· «Ἐπαῤῥησιάσθη μὲν ὕστερον καιροῖς ἰδίοις (ὁ Χριστὸς), ἐγνωρίσθη δὲ καὶ πρότερον τοῖς καθαροῖς τὴν διάνοιαν». Σημείωσαι δὲ καλῶς τὴν ἐν τῷ παραγράφῳ τούτῳ καὶ τῷ ἐφεξῆς καὶ Κατηχ. ιδ'. 27. δηλουμένην γνώμην τοῦ Κυρίλλου, ὅτι ἐν ταῖς θεοφανείαις τῆς Παλαιᾶς Διαθήκης οὐχὶ ὁ Πατὴρ, ἀλλ' ὁ Υἱὸς ἦν ὁ ἐμφανιζόμενος καὶ λαλῶν τοῖς Πατριάρχαις καὶ τοῖς Προφήταις. Αὐτὸν ἐφιλοξένησεν ὁ Ἀβραὰμ (Κατήχ. ιβ'. § 16)· αὐτὸς συνήργησεν ἐπὶ τὴν καταστροφὴν τῶν Σοδόμων (Κατήχ. ί. § 6.)· αὐτὸς ὤφθη τῷ Μωϋσῇ ἐν Σινᾷ (Κατήχ. ί. § 6. Λόγ. εἰς τὴν Ὕπαπ. § 2.)· αὐτὸς ἦν ὁ πάλαι τῷ Ἰσραὴλ τὴν θάλασσαν διαῤῥήξας, καὶ τὸν Φαραὼ βυθίσας, καὶ τὸν νόμον δοὺς, καὶ τὸ μάννα ἐπομβρίσας (Λόγ. εἰς τὴν Ὕπαπ. § 12). Ἡ γνώμη δὲ αὕτη οὐκ ἔστι τοῦ Κυρίλλου μόνον, ἀλλὰ καὶ πλείστων ἄλλων Πατέρων πρὸ τῆς ἐν Νικαίᾳ Συνόδου καὶ μετ' αὐτὴν ἀκμασάντων· οἷον Ἰουστίνου (Διάλογ. πρὸς Τρύφωνα § 59), Εἰρηναίου (δ'. 12), Τερτυλλιανοῦ (adversus Praxeam cap. 16), Εὐσεβίου (Εὐαγγελ. Ἀποδ. βιβλ. ά), Ἀθανασίου (Τόμ. ά. σελ. 397.), Ἐπιφανίου (Τόμ. ά. σελ. 518), Χρυσοστόμου (Ὁμιλ. ή. εἰς Ἰωάνν. Τόμ. ή. σελ. 56.), Θεοδωρήτου (Ἐρώτ. έ. εἰς Ἔξοδ.) κτλ. Ἐκ τῶν παρατεθεισῶν τούτων μαρτυριῶν κείσθω ἐνταῦθα αὐταῖς λέξεσιν ἡ τοῦ Μ. Ἀθανασίου· «Διὰ τούτου ἐγένετο τὰ πάντα, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν· αὐτὸς ὁ πλάσας τὸν ἄνθρωπον· οὗτος ὁ τὴν κιβωτὸν δείξας πῶς ἵνα γένηται· οὗτος ὁ τὴν ἐπαγγελίαν δοὺς τῷ Ἀβραάμ· οὗτος ὁ καταβὰς ἐπὶ τῷ σῶσαι τὸν λαὸν, ὁ Μωϋσῇ τὸν νόμον δούς· οὗτος ὁ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ· ὁ ἐν Προφήταις λαλήσας, ὁ διαθέμενος τὴν Παλαιὰν καὶ Καινὴν Διαθήκην, ὁ ἐπ' ἐσχάτων τῶν ἡμερῶν σάρκα ἐκ παρθένου λαβὼν θνητὴν» κτλ. Παβλ. καὶ Τόμ. ά. σελ. 260. Ὁ δὲ Εὐσέβιος πολλὰς ἐκ τῶν Γραφῶν παρατίθησι μαρτυρίας εἰς ἀπόδειξιν (σελ. 9).

οὐδεὶς ἠδύνατο ἰδεῖν ζῶν, [1]) ἀνέλαβε τὸ τῆς ἀνθρωπότητος πρόσωπον, ἵνα τοῦτο ἰδόντες ζήσωμεν. Καὶ ὅτε δὲ ἠθέλησε καὶ αὐτὸ τοῦτο δεῖξαι μετ' ὀλίγης ἀξίας, ὅτε τὸ πρόσωπον αὐτοῦ ἔλαμψεν ὡς ὁ ἥλιος, οἱ μαθηταὶ πίπτουσι φοβηθέντες· εἰ δὲ τὸ τοῦ σώματος πρόσωπον λάμψαν, οὐ καθὸ ἠδύνατο ὁ ἐνεργῶν, ἀλλὰ καθὸ ἐχώρουν οἱ μαθηταί [2]), ἐφόβησεν αὐτούς, καὶ ὅμως ἐνέγκαι οὐχ ἠδυνήθησαν, πῶς εἰς τὸ τῆς θεότητος ἀξίωμα ἀτενίσαι τὶς ἠδύνατο; Μέγα, φησὶν ὁ Κύριος, ἐπιθυμεῖς ὦ Μωϋσῆ, καὶ ἀποδέχομαί σου τὴν ἄπληστον ἐπιθυμίαν, «καὶ τοῦτόν σοι τὸν λόγον ποιήσω», ἀλλὰ καθὸ χωρεῖς. «Ἰδοὺ τίθημί σε εἰς τὴν ὀπὴν τῆς πέτρας»· ὡς γὰρ μικρός, μενεῖς ἐν μικρᾷ περιγραφῇ.

§ Η'. Ὧδέ μοι λοιπὸν ἀσφάλισον διὰ τοὺς Ἰουδαίους τὸ λεχθησόμενον· ὁ γὰρ σκοπὸς ἡμῖν ἀποδεῖξαι, ὅτι ἦν παρὰ τῷ Πατρὶ [3]) ὁ Κύριος Ἰησοῦς Χριστός. Λέγει τοίνυν ὁ Κύριος πρὸς τὸν Μωϋσῆν· «Ἐγὼ παρελεύσομαι πρότερός σου τῇ δόξῃ μου, καὶ καλέσω ἐν ὀνόματι Κυρίου ἐναντίον σου». [4]) Κύριος ὤν, ποῖον κύριον καλεῖ; Βλέπεις [5]), ὅπως ἐπικεκαλυμμένως ἐδίδασκε τὸ εὐσεβὲς περὶ Πατρὸς

---

[1]) Ἀντὶ «ἰδεῖν ζῶν» ἐν τοῖς τρισὶ Κώδ. A., R., C. κεῖται ἑτέρα οὐκ ἀποῤῥίψιμος οὐδ' ἀπροσφυὴς γραφὴ «ἰδὼν ζῆν», ὡς καὶ τὸ κατωτέρω «ἰδόντες ζήσωμεν».

[2]) Οὕτω φησὶ καὶ Χρυσόστομος, ὅτι ὁ Χριστὸς τοσοῦτον μόνον ἀπεκάλυψε φῶς ἐν τῷ Θαβωρίῳ, ὅσον ἦν δυνατὸν ἰδεῖν· «Τότε δὲ ἐπὶ τοῦ ὄρους τοσοῦτον αὐτοῖς ἀπεκάλυψεν, ὅσον ἰδεῖν δυνατὸν ἦν, καὶ μὴ βλάψαι τὰς τῶν ὁρώντων ὄψεις· καὶ οὐδὲ οὕτως ἤνεγκαν, ἀλλ' ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν» (πρὸς Θεόδωρον ἐκπεσόντα Λόγ. α'. Τόμ. α'. σελ. 20.).

[3]) Ἐν τῷ Κώδ. A. κεῖται «παρὰ τῷ Κυρίῳ Πατρὶ», ὅπερ ἐὰν παραβάλῃς πρὸς τὰ κατωτέρω, οὐδαμῶς ἀκατάλληλον.

[4]) Ἡ γραφικὴ αὕτη ῥῆσις διαφόρως εὕρηται γραφομένη ἐν ταῖς ἐκδόσεσι τῶν Ο'. Ἐν μὲν τῇ Βατικανῇ ἐκδόσει κεῖται· «καὶ καλέσω τῷ ὀνόματί μου, Κύριος ἐναντίον σου»· ἐν δὲ τῇ Ἀλεξανδρινῇ· «καλέσω τῷ ὀνόματι Κυρίου ἐναντίον σου». Ὁμοίως διαφέρουσιν αἱ γραφαὶ τοῦ Ἄλδου καὶ τοῦ Κομπλούτου.

[5]) Πρὸ τοῦ «βλέπεις» ἔκειτο «καὶ» ἐν ταῖς ἐκδόσεσιν, ὃν ὡς πάντη περιττόν τε καὶ ὀχληρὸν ἀπηλείψαμεν

καὶ Υἱοῦ δίδαγμα. Καὶ πάλιν ἐν τοῖς ἑξῆς αὐτολεξεὶ γέγραπται· «Καὶ κατέβη Κύριος ἐν νεφέλῃ, καὶ παρέστη αὐτῷ ἐκεῖ, καὶ ἐκάλεσε τῷ ὀνόματι Κυρίου· καὶ παρῆλθε Κύριος πρὸ προσώπου αὐτοῦ, καὶ ἐκάλεσε Κύριος, Κύριος οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός, καὶ δικαιοσύνην διατηρῶν, καὶ ποιῶν ἔλεος εἰς χιλιάδας, ἀφαιρῶν ἀνομίας καὶ ἀδικίας καὶ ἁμαρτίας». Εἶτα ἑξῆς, κύψας Μωϋσῆς καὶ προσκυνήσας ἐνώπιον τοῦ Κυρίου τοῦ καλοῦντος τὸν Πατέρα, λέγει· «Συμπορεύθητι δή, Κύριε, μεθ' ἡμῶν». [1])

§ Θ'. Ἔχεις ταύτην πρώτην ἀπόδειξιν· δέξαι καὶ δευτέραν φανεράν· «Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου». [2]) Κύριος Κυρίῳ ταῦτα λέγει, οὐ δούλῳ, ἀλλὰ Κυρίῳ μὲν τῶν πάντων, Υἱῷ δὲ αὐτοῦ, ᾧ πάντα ὑπέταξεν· «Ὅταν δὲ εἴπῃ, ὅτι πάντα αὐτῷ ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα» καὶ τὰ ἑξῆς· [3]) «Ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσι». Κύριός ἐστι τῶν πάντων ὁ Μονογενὴς Υἱός· Υἱὸς δὲ τοῦ Πατρὸς εὐπειθής, οὐχ ἁρπάσας τὸ κυριεύειν, ἀλλὰ παρ' αὐτοπροαιρέτου λαβὼν φυσικῶς· οὔτε γὰρ Υἱὸς [4]) ἥρπασεν, οὔτε πατὴρ ἐφθόνησε τῆς μεταδό-

---

ἐπὶ τῇ αὐθεντίᾳ τῶν τριῶν Κωδ. A., R., C.

[1]) Τὸ κείμενον τῆς Γραφῆς ἔχει· «συμπορευθήτω ὁ Κύριος μεθ' ἡμῶν».

[2]) Τὴν ψαλμικὴν ταύτην ῥῆσιν αὐτὸς ἤδη ὁ δεσπότης Χριστὸς ἡρμήνευσε καὶ ἐξέλαβε περὶ ἑαυτοῦ (Ματθ. κβ'. 43. Μάρκ. ιβ'. 36. Λουκ. κ'. 41.), καὶ οὐδεμία λοιπὸν ἀμφιβολία ὅτι περὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐνταῦθα ὁ λόγος. Ἀλλ' οἱ τὸν νοῦν πεπωρωμένοι Ἰουδαῖοι ἐτόλμησαν ἑρμηνεῦσαι τὰς λέξεις ταύτας εἰς τὸν Ἐζεκίαν· ἀλλ' ἐξήλεγξε τὴν πώρωσιν ταύτην ὁ μακάριος Ἰουστῖνος, καὶ λόγοις ἰσχυροῖς καὶ ἀμάχοις ἀνεσκεύασε κατὰ κράτος τοὺς Ἰουδαίους (Διάλογ. πρὸς Τρύφ. § 83.). Πολλάκις δὲ προκομίζουσι τὴν ῥῆσιν ταύτην κατὰ τῶν αἱρετικῶν ἀγωνιζόμενοι καὶ ὁ Μ. Ἀθανάσιος καὶ ὁ μακάριος Ἐπιφάνιος καὶ ἄλλοι.

[3]) Αἱ λέξεις «καὶ τὰ ἑξῆς» ἐλλείπουσιν ἐκ τῶν Κωδ. A., R., C., ἀλλ' ἐν ἄλλοις τισὶ Κώδηξιν εὕρηται ἀντὶ τούτου ὅλον τὸ ἑπόμενον ἀποστολικὸν χωρίον· «Τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα».

[4]) Οὕτως ἀνάρθρως κεῖται ἡ λέξις «Υἱὸς» ἐν τοῖς Κώδ. A., R., C. Ὁ Τουτέος ἔγραψεν «ὁ Υἱὸς», ἴσως ἐκ τῶν Κωδ. Ottob., Coisl., ἀλλὰ τὸ ἄρθρον ἐλλείπει καὶ ἐκ τοῦ

σεως· αὐτός ἐστιν ὁ λέγων· «Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου»· παρεδόθη μοι, οὐχ ὡς πρότερον μὴ ἔχοντι [1]), καὶ τηρῶ καλῶς, οὐκ ἀποστερῶν τὸν δεδωκότα.

§ Ι΄. Κύριος τοίνυν ἐστὶν ὁ υἱὸς τοῦ Θεοῦ· Κύριος ὁ τεχθεὶς ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, κατὰ τὸν εἰρηκότα τοῖς ποιμέσιν ἄγγελον· «Εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην, ὅτι ἐτέχθη ὑμῖν Χριστὸς Κύριος σήμερον ἐν πόλει Δαβίδ,» περὶ οὗ φησιν ἀλλαχοῦ τῶν Ἀποστόλων τις· «Τὸν λόγον ὃν ἀπέστειλε τοῖς υἱοῖς Ἰσραὴλ, εὐαγγελιζόμενος εἰρήνην διὰ Ἰησοῦ Χριστοῦ· οὗτός ἐστι πάντων Κύριος». Ὅταν δὲ εἴπῃ τὸ «πάντων» μηδὲν ὑπεξέλῃς τῆς κυριότητος· εἴτε γὰρ ἄγγελοι, εἴτε ἀρχάγγελοι, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι, εἴτε τι ὑπὸ τῶν ἀποστόλων ὀνομαζόμενον γεννητὸν, πάντα ὑπὸ τὴν κυριότητα τοῦ Υἱοῦ τυγχάνει. Ἀγγέλων ἐστὶ Κύριος, καθὼς ἔχεις ἐν εὐαγγελίοις ὅτι· «Τότε ἀπέστη ὁ διάβολος ἀπ᾽ αὐτοῦ, καὶ οἱ ἄγγελοι προσ-

---

κατωτέρω «Πατήρ». Οἱ δὲ δύο Κώδ. R., C. ἀντὶ «μεταδόσεως» ἔχουσι «κυριότητος».

[1]) Κατὰ τῶν χριστομάχων Ἀρειανῶν λέγει τοῦτο ὁ Πατὴρ, οἵτινες ἔλεγον· «Εἰ τὰ πάντα παρεδόθη, (πάντα λέγοντες τὴν κυριότητα τῆς κτίσεως) ἦν ποτε, ὅτε οὐκ εἶχεν αὐτά. Εἰ δ᾽ οὐκ εἶχεν, οὐκ ἔστιν ἐκ τοῦ Πατρός· εἰ γὰρ ἦν, εἶχεν ἂν αὐτὰ ἀεὶ ἐξ αὐτοῦ ὢν, καὶ χρείαν οὐκ εἶχε τοῦ λαβεῖν αὐτὰ (παρὰ τῷ Μ. Ἀθανασίῳ Τόμ. ά. σελ. 325). Εἰς σαφήνειαν δὲ τῶν τοῦ Κυρίλλου λόγων παρατίθεμεν ἐνταῦθα ὅσα ἐπί τε τοῦ ῥητοῦ τούτου καὶ ἄλλων ὁμοίων ὑπὸ τῶν Ἀρειανῶν προβαλλομένων θεσπεσίως ἔγραψεν ὁ πολὺς Ἀθανάσιος· «Ἵνα οὖν μή τις βλέπων τὸν Υἱὸν ἔχοντα πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐκ τῆς ἀπαραλλάκτου ὁμοιότητος καὶ ταυτότητος ὧν ἔχει πλανηθεὶς, κατὰ Σαβέλλιον ἀσεβήσῃ, νομίσας αὐτὸν εἶναι τὸν Πατέρα· διὰ τοῦτο τὸ «ἐδόθη μοι» καὶ τὸ «ἔλαβεν» καὶ «παρεδόθη μοι» εἴρηκεν, ὑπὲρ τοῦ μόνον δεῖξαι ὅτι οὐκ ἔστιν αὐτὸς ὁ Πατὴρ, ἀλλὰ τοῦ Πατρὸς ὁ Λόγος καὶ ὁ ἀΐδιος Υἱός ἐστιν, ὁ διὰ μὲν τὴν ὁμοιότητα τοῦ Πατρὸς ἔχων ἀϊδίως ἅπερ ἔχει παρ᾽ αὐτοῦ, διὰ δὲ τὸ εἶναι τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς ἔχει ἅπερ ἀϊδίως ἔχει» κτλ. (κατὰ Ἀρειαν. Λόγ. δ΄. Τόμ. ά. σελ. 278). Ὅρα καὶ Κατ. ιέ. § 30. καὶ τὴν ἐκεῖ σημείωσιν.

ἦλθον καὶ διηκόνουν αὐτῷ·» [1]) οὐ γὰρ εἶπεν, ὅτι ἐβοήθουν αὐτῷ, ἀλλὰ διηκόνουν αὐτῷ, ὅπερ ἐστὶ δουλικῶς. Μέλλοντος αὐτοῦ γεννᾶσθαι ἐκ Παρθένου, ὑπηρέτει τότε ὁ Γαβριὴλ, οἰκεῖον ἀξίωμα λαβὼν τὴν ὑπηρεσίαν αὐτοῦ· μέλλοντος αὐτοῦ πορεύεσθαι εἰς Αἴγυπτον, ἵνα καταλύσῃ τὰ χειροποίητα τῆς Αἰγύπτου, [2]) πάλιν ἄγγελος κατ᾽ ὄναρ φαί-

[1]) Τὸ ἱερὸν κείμενον τοῦ Ματθαίου ἔχει· «Τότε ἀφίησιν αὐτὸν ὁ Διάβολος, καὶ ἰδοὺ ἄγγελοι προσῆλθον καὶ διηκόνουν αὐτῷ».

[2]) Γνώμη αὕτη καὶ ἄλλων Πατέρων, ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἐλθὼν μετὰ τῆς μητρὸς εἰς Αἴγυπτον, κατέσεισε τὴν ἐν τοῖς χειροποιήτοις εἰδώλοις κατοικοῦσαν καὶ τῆς Αἰγύπτου κυριεύουσαν δύναμιν τῶν δαιμόνων. Ἡ γνώμη αὕτη ἴσως ἔχει τι καὶ ἐκ παραδόσεως, στηρίζεται ὅμως πρὸ πάντων ἐπὶ τῆς προφητικῆς ῥήσεως τοῦ Ἠσαίου (ιθ΄. 1.)· «Ἰδοὺ Κύριος κάθηται ἐπὶ νεφέλης, καὶ ἥξει εἰς Αἴγυπτον καὶ σεισθήσεται τὰ χειροποίητα Αἰγύπτου». Τὴν ῥῆσιν ταύτην διὰ μακρῶν σχολιάζει ὁ Εὐσέβιος (Εὐαγγ. Ἀποδ. βιβλ. ς΄.) καὶ δείκνυσιν ὅτι οὐδέποτε ἄλλοτε, εἰμὴ τότε, ἦλθεν ὁ Κύριος εἰς Αἴγυπτον, καὶ διέσεισε τὰ χειροποίητα Αἰγύπτου· «Οἱ πρὶν τὴν Αἴγυπτον οἰκοῦντες φαῦλοι καὶ μοχθηροὶ δαίμονες, ἐξ αἰῶνος μακροῦ τοῖς ξοάνοις ἐμφωλεύοντες, καὶ τὰς τῶν Αἰγυπτίων ψυχὰς πάσῃ δεισιδαιμονίας πλάνῃ καταδουλούμενοι, συναισθόμενοι ξένης τινὸς καὶ ἐνθέου δυνάμεως ἐπιδημούσης αὐτοῖς, αὐτίκα συνεκινοῦντο σάλον καὶ κλόνον ἐν ἑαυτοῖς πάσχοντες, ἥ τε καρδία αὐτῶν καὶ διανοητικὴ δύναμις ἡττᾶτο ἔνδον ἐν ἑαυτοῖς, ὑποχωροῦσα καὶ νικωμένη ὑπὸ τῆς ἀοράτως συνελαυνούσης, καὶ πυρὸς δίκην ἀρρήτῳ λόγῳ φλεγούσης αὐτοὺς δυνάμεως». Ἔφη δὲ καὶ ὁ Μ. Ἀθανάσιος (Ἐπιστ. πρὸς Μάξιμον)· «Παιδίον μὲν εἰς Αἴγυπτον κατῆλθε, τὰ δὲ χειροποίητα τῆς εἰδωλολατρείας κατήργησε». Πρβ. καὶ Μ. Ἀθανάσιον περὶ τῆς ἐνανθρωπήσεως τοῦ Λόγου (Τόμ. ά. σελ. 63.) καὶ Γρηγόρ. Ναζ. (Λόγ. κθ΄. σελ. 537.). Ὡς γνώμην ἑρμηνευτῶν τινων τῆς Γραφῆς ἀναφέρει ταύτην καὶ ὁ Ἱερώνυμος (in Jesaïam lib. V. cap. XIX.) λέγων· «Quidam totam hanc prophetiam ad Salvatoris tempora referunt, quando ingressus est super nubem levem, id est, corpus humanum, quod ex Virgine assumpserat, nullo humanae commixtionis semine praegravatum: sive quod a nu lev bei portatus sit, id est, corpore Virginali, et ad ingressum ejus omnes daemones contremue-

νεται τῷ Ἰωσήφ· σταυρωθέντος αὐτοῦ καὶ ἀναστάντος, ἄγγελος [1]) εὐηγγελίσατο, καὶ λέγει ταῖς γυναιξὶν, ὡς καλὸς οἰκέτης· «Πορευθεῖσαι εἴπατε τοῖς μαθηταῖς αὐτοῦ, ὅτι ἀνέστη, καὶ προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἰδοὺ εἶπον ὑμῖν»· μονονουχὶ τοῦτο λέγων· οὐ παρέβην τὸ πρόσταγμα· μαρτύρομαι τὸ εἰρηκέναι ὑμῖν· ἵν', ἐὰν ἀμελήσητε, μὴ κατ' ἐμοῦ ᾖ τὰ τῆς μέμψεως, ἀλλὰ κατὰ τῶν ἀμελησάντων. Οὗτος τοίνυν ἐστὶν ὁ εἷς Κύριος Ἰησοῦς Χριστὸς, περὶ οὗ καὶ νῦν τὸ ἀνάγνωσμα λέγει. «Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι Θεοὶ πολλοὶ, εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ γῆς», καὶ ἑξῆς· «ἡμῖν δὲ εἷς Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα καὶ ἡμεῖς εἰς αὐτόν· καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα καὶ ἡμεῖς δι' αὐτοῦ».

§ ΙΑ'. Ἰησοῦς δὲ Χριστὸς καλεῖται διωνύμως· Ἰησοῦς διὰ τὸ σώζειν, Χριστὸς διὰ τὸ ἱερατεύειν [2]). Καὶ τοῦτο γινώσκων ὁ θεσπέσιος τῶν προφητῶν Μωϋσῆς, ἀνδράσι δυσὶ, τοῖς πάντων ἐγκρίτοις, τὰς δύο ταύτας προσηγορίας ἐχαρίσατο· τὸν μὲν οἰκεῖον τῆς ἀρχῆς διάδοχον Αὐσῆν Ἰησοῦν μετονομάσας [3]), τὸν δὲ οἰκεῖον ἀδελφὸν, τὸν

---

rint, tuncque prima idolorum ruina fuerit, praesentiam Domini ferre non sustinens». Φησὶ δὲ καὶ Ἀνδρέας ὁ Κρήτης (Λόγ. εἰς τὴν Περιτ. τοῦ Χριστοῦ)· «Ὁ φεύγων εἰς Αἴγυπτον, καὶ σείων τὰ χειροποίητα Αἰγύπτου».

[1]) Ἐν ταῖς προτοῦ ἐκδόσεσιν ἔκειτο ἐνάρθρως «ὁ ἄγγελος», ἀλλὰ κρεῖττον τὸ ἄναρθρον, ὡς εὑρίσκεται ἐν τῷ Κώδ. Α. Ἀνάρθρως ἐτέθη ἡ λέξις καὶ μικρὸν ἀνωτέρω.

[2]) Χριστοὶ ἐλέγοντο τὸ πάλαι οὐ μόνον οἱ βασιλεῖς, ἀλλὰ καὶ οἱ ἀρχιερεῖς, ὡς χριόμενοι τῷ ἁγίῳ ἐλαίῳ τῷ ἀπὸ τοῦ κέρατος· «Τοὺς ἀρχιερωσύνῃ τετιμημένους, ἐλαίῳ σκευαστῷ χριομένους, τὸ τοῦ Χριστοῦ κατεκόσμει παρ' Ἑβραίοις ὄνομα». Εὐσέβιος (Ἐκκλ. ἱστορ. ά. 4). Χριστὸς λέγεται καὶ ὁ Κύριος ἡμῶν οὐ μόνον ὡς βασιλεὺς, ἀλλὰ καὶ ὡς ἱερεὺς, προσαγαγὼν ἑαυτὸν θῦμα ὑπὲρ ἡμῶν. Ἐχρίσθη δὲ οὐχὶ σκευαστῷ ἐλαίῳ, ἀλλὰ τῷ ἁγίῳ Πνεύματι· Χρυσόστομος (εἰς ψαλμ. μέ. καὶ Ὁμιλ. ά. εἰς τὴν πρὸς Γαλ.), Θεοδώρητος (αἱρετ. κακομ. βιβλ. έ.), Θεοφύλακτος (εἰς τὸ ά. Κεφ. τῆς πρὸς Γαλ.).

[3]) Περὶ τῆς μεταβολῆς ταύτης τοῦ ὀνόματος, τῆς ἐν τῇ βίβλῳ τῶν Ἀριθμῶν μνημονευομένης (ιγ'. 17), λέγει καὶ ὁ Εὐσέβιος (Εὐαγγελ. Ἀ-

Ἀαρὼν, ἐπονομάσας Χριστὸν, ἵνα διὰ δύο ἀνθρώπων ἐγκρίτων τὸ ἀρχιερατικὸν ἅμα καὶ βασιλικὸν τοῦ μέλλοντος ἑνὸς Ἰησοῦ Χριστοῦ παραστήσῃ. Ἀρχιερεὺς μὲν γάρ ἐστιν ὁ Χριστὸς κατὰ τὸν Ἀαρὼν, ἐπειδὴ «οὐχ ἑαυτὸν ἐδόξασε γενέσθαι ἀρχιερέα [1]), ἀλλ' ὁ λαλήσας πρὸς αὐτόν· Σὺ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ». Τύπον δὲ ἔφερεν αὐτοῦ ὁ τοῦ Ναυῆ Ἰησοῦς κατὰ πολλά [2])· ἀρξάμενος γὰρ ἄρχειν τοῦ λαοῦ, ἤρξατο ἀπὸ τοῦ Ἰορδάνου, ὅθεν καὶ ὁ Χριστὸς βαπτισθεὶς ἤρξατο εὐαγγελίζεσθαι. Δώδεκα δὲ διαιροῦντας τὴν κληρονομίαν καθίστησιν ὁ τοῦ Ναυῆ υἱὸς, καὶ

ποδ. δ'. 17)· «Αὐσῆν γὰρ αὐτὸν ἐφώνησαν οἱ γεννήσαντες, ἀλλ' ὅγε προφήτης τοῦ Θεοῦ, τὸ ἐκ γενετῆς ἀμείψας ὄνομα, Ἰησοῦν τὸν ἄνδρα κατὰ τὸ θεῖον πνεῦμα καλεῖ». Πρβλ. Ἐκκλ. Ἱστ. ά. 3. Ἔφη δὲ καὶ Τερτυλλιανὸς (Contra Marcionem lib. 3)· «Dum Moysi successor destinatur Auses filius Naue, transfertur certe de primo nomine, et incipit vocari Jesus». Ἡ μετονομασία αὕτη τοῦ Ναυΐδου Αὐσῆ πολλοῦ λόγου ἐθεωρήθη ἀξία, καὶ τὸ ὄνομα Ἰησοῦ ἐν νόμῳ προκηρυσσόμενον, σκιαγραφία ἐξελήφθη τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὅθεν πολλοὶ καὶ ἄλλοι διέλαβον περὶ τοῦ ὀνόματος τούτου, τοῦ ἐπίτηδες ὑπὸ τοῦ Μωϋσέως ἐπιτεθέντος. Βλέπε ἐπιστολὴν Βαρνάβα (§ 12), Ἰουστῖνον (Διάλ. μετὰ τοῦ Τρύφ. § 75), Κλήμεντα Ἀλεξ. (Παιδαγ. ά. 7), Κύριλλον Ἀλεξ. (κατὰ Ἰουλ. βιβλ. ή), Λακτάντιον (instit. divin. IV, c. 17).

[1]) Τὸ κείμενον τῆς Γραφῆς ἔχει «γεννηθῆναι ἀρχιερέα». Οἱ δὲ Κώδ. R., C., Ottob., Coisl. «γενόμενος ἀρχιερεύς».

[2]) Περὶ τοῦ Ναυΐδου Ἰησοῦ, ὡς τύπον φέροντος τοῦ Χριστοῦ, λαλῶν καὶ ὁ Χρυσόστομος λέγει· «Καὶ γὰρ ὁ Ἰησοῦς, ὁ μετὰ Μωϋσέα, εἰσαγαγὼν τὸν λαὸν εἰς τὴν γῆν τῆς ἐπαγγελίας λέγεται. Εἶδες τὸν τύπον, βλέπε καὶ τὴν ἀλήθειαν. Ἐκεῖνος εἰς τὴν γῆν τῆς ἐπαγγελίας, οὗτος εἰς τὸν οὐρανὸν καὶ τὰ ἐν τοῖς οὐρανοῖς ἀγαθά· ἐκεῖνος μετὰ τὸ τελευτῆσαι Μωϋσέα, οὗτος μετὰ τὸ παύσασθαι τὸν νόμον· ἐκεῖνος ὡς δημαγωγὸς, οὗτος ὡς βασιλεύς» (Τόμ. Ζ'. σελ. 27.). Τύπον καὶ εἰκόνα τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ εἶπον τὸν Ἰησοῦν τοῦ Ναυῆ καὶ ἄλλοι Πατέρες· οἷον Εἰρηναῖος (Τόμ. ά. σελ. 837), Ἰουστῖνος (Διάλ. πρὸς Τρύφ. § 113), Βαρνάβας (ἐν τῇ ἐπιστολῇ, § 12.), Εὐσέβιος (Ἐκκλ. Ἱστορ. ά. 3).

δώδεκα τοὺς ἀποστόλους κήρυκας τῆς ἀληθείας εἰς πᾶσαν τὴν οἰκουμένην ἀποστέλλει ὁ Ἰησοῦς. Πιστεύσασαν Ῥαὰβ τὴν πόρνην ἔσωσεν ὁ τυπικός· ὁ δὲ ἀληθής φησιν· «Ἰδοὺ [1]) οἱ τελῶναι καὶ αἱ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. Ἀλαλαγμῷ μόνον ἐπὶ τοῦ τυπικοῦ κατέπεσε τὰ τείχη τῆς Ἱεριχώ· καὶ διὰ τὸ εἰπεῖν τὸν Ἰησοῦν, «οὐ μὴ ἀφεθῇ ὧδε λίθος ἐπὶ λίθου» πέπτωκεν ὁ ἄντικρυς ἡμῶν τῶν Ἰουδαίων ναός· οὐχ ὅτι ἡ ἀπόφασις τοῦ πεσεῖν αἰτία, ἀλλ' ὅτι ἡ ἁμαρτία τῶν παρανόμων γέγονε τοῦ πεσεῖν αἰτία.

§ ΙΒ'. Εἷς ἐστι Κύριος Ἰησοῦς Χριστός, ὄνομα θαυμαστὸν ὑπὸ τῶν Προφητῶν πλαγίως προαναφωνούμενον· λέγει γὰρ Ἡσαΐας ὁ προφήτης· «Ἰδοὺ ὁ Σωτήρ σοι παραγίνεται, ἔχων τὸν ἑαυτοῦ μισθόν»· Σωτὴρ δὲ παρὰ Ἑβραίοις ὁ Ἰησοῦς ἑρμηνεύεται· τὸ γὰρ κυριοκτόνον τῶν Ἰουδαίων προβλέπουσα ἡ προφητικὴ χάρις, ἐκάλυψε τὴν προσηγορίαν, ἵνα μὴ ἐκ τοῦ προειδέναι σαφῶς ἑτοίμως ἐπιβουλεύσωσιν· Ἰησοῦς δὲ ἐκλήθη, οὐχ ὑπὸ ἀνθρώπων, ἀλλ' ὑπὸ ἀγγέλου φανερῶς, οὐκ ἰδίᾳ ἐξουσίᾳ ἐλθόντος, ἀλλὰ δυνάμει Θεοῦ ἀποσταλέντος, τοῦ λέγοντος πρὸς τὸν Ἰωσήφ· «Μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν ἁγίου· τέξεται δὲ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν»· καὶ τὴν αἰτίαν τῆς προσηγορίας ἀποδιδούς, εὐθέως λέγει· «Αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν». Ὁ μηδέπω γεννηθεὶς πῶς λαὸν ἔχει, νόησον, εἰ μὴ καὶ πρὸ τοῦ γεννηθῆναι ἦν. Καὶ τοῦτο ὁ Προφήτης ἐκ προσώπου αὐτοῦ φησίν· «Ἐκ κοιλίας μητρός μου ἐκάλεσε τὸ ὄνομά μου»· διὰ τὸ προλέγειν τὸν ἄγγελον ὅτι Ἰησοῦς κληθήσεται. Καὶ πάλιν περὶ τῆς ὑπὸ Ἡρώδου ἐπιβουλῆς λέγει· «Καὶ ὑπὸ τὴν σκέπην τῆς χειρὸς αὐτοῦ ἔκρυψέ με».

§ ΙΓ'. Ἰησοῦς τοίνυν ἐστὶ κατὰ μὲν Ἑβραίους σωτήρ, κατὰ δὲ τὴν ἑλλάδα γλῶσσαν ὁ ἰώμενος· ἐπειδὴ ἰατρός ἐστι ψυχῶν καὶ

---

[1]) Τὸ «ἰδοὺ» ἐλλείπει ἐκ τῶν τῆς Γραφῆς κειμένου. Κωδ. R., C., ὡς καὶ ἐκ τοῦ ἱεροῦ

σωμάτων, καὶ θεραπευτὴς πνευμάτων· τυφλῶν μὲν αἰσθητῶν θεραπευτής, φωταγωγῶν δὲ τὰς διανοίας· χωλῶν φαινομένων ἰατρὸς, καὶ ποδηγῶν τοὺς ἁμαρτωλοὺς εἰς μετάνοιαν· λέγων τῷ παραλυτικῷ· « Μηκέτι ἁμάρτανε »· καὶ, «ἆρον τὸν κράββατον σὸν καὶ περιπάτει». Ἐπειδὴ γὰρ διὰ τὴν τῆς ψυχῆς ἁμαρτίαν παρελύθη τὸ σῶμα, προεθεράπευσε τὴν ψυχὴν, ἵνα ἐπαγάγῃ καὶ τῷ σώματι τὴν ἴασιν. Εἴτις τοίνυν πάσχει τὴν ψυχὴν ἐν ἁμαρτίαις, ἔχει τὸν ἰατρόν· καί εἴτις ὀλιγόπιστος ἐνταῦθα, λεγέτω πρὸς αὐτόν· «Βοήθει μου τῇ ἀπιστίᾳ». Εἴτις καὶ σωματικοῖς περιβέβληται πάθεσι, μὴ ἀπιστείτω, ἀλλὰ προσερχέσθω (θεραπεύει γὰρ καὶ ταῦτα), καὶ γινωσκέτω ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστός.

§ ΙΔ΄. Ἰουδαῖοι γὰρ καταδέχονται μὲν αὐτὸν εἶναι Ἰησοῦν [1]), τὸ δὲ καὶ Χριστὸν εἶναι τοῦτον οὐκέτι· διὰ τοῦτο λέγει ὁ Ἀπόστολος· «Τίς ἐστιν ὁ ψεύστης, εἰ μὴ ὁ ἀρνούμενος ὅτι Ἰησοῦς οὐκ ἔστιν ὁ Χριστός; » Χριστὸς δέ ἐστιν ἀρχιερεὺς, ἀπαράβατον ἔχων τὴν ἱερωσύνην, οὔτε ἀπὸ χρόνων ἀρξάμενος τῆς ἱερατείας, οὔτε διάδοχον ἕτερον ἔχων τῆς ἀρχιερατείας, καθὼς ἤκουσας ἐν τῇ Κυριακῇ διαλεγομένων ἡμῶν ἐπὶ τῆς Συνάξεως εἰς τό· «κατὰ τὴν τάξιν Μελχισεδέκ»· οὐκ ἐκ διαδοχῆς σωμάτων λαβὼν τὴν ἀρχιερωσύνην, οὐδὲ ἐλαίῳ σκευαστῷ χρισθεὶς, ἀλλὰ πρὸ τῶν αἰώνων ὑπὸ τοῦ Πατρός· καὶ τοσούτῳ διαφέρων τῶν ἄλλων, ὅσῳ μεθ' ὁρκωμοσίας ἐςὶν ἱερεύς· οἱ μὲν γὰρ χωρὶς ὁρκωμοσίας εἰσὶν ἱερεῖς, ὁ δὲ μεθ' ὁρκωμοσίας διὰ τοῦ λέγοντος· «Ὤμοσε Κύριος καὶ οὐ μεταμεληθήσεται». Αὔταρκες μὲν ἦν εἰς ἀσφάλειαν καὶ τὸ βούλεσθαι μόνον τὸν Πατέρα [2])· διπλασίων δὲ τῆς ἀσφαλείας ὁ τρόπος, τὸ μετὰ βουλήσεως καὶ ὅρκον παρακολουθῆσαι, « ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων, ἐν οἷς

---

[1]) Οὕτως ὁμαλωτέρα καὶ κομψοτέρα κεῖται ἡ φράσις ἐν τῷ Κώδ. Α. Ἐν ταῖς ἐκδόσεσι· «τὸ εἶναι αὐτὸν Ἰησοῦν».

[2]) Τὸ ἄρθρον «τὸν», ἐλλεῖπον ἐκ τῶν ἐκδόσεων, προσεθήκαμεν ἐκ τοῦ Κώδ. Α.

ἀδύνατον ψεύσασθαι Θεόν, ἰσχυρὰν παράκλησιν ἔχωμεν τῆς πίςεως» οἱ Χριστὸν Ἰησοῦν Υἱὸν Θεοῦ καταδεχόμενοι.

§ ΙΕ′. Τοῦτον τὸν Χριστὸν παραγενόμενον ἠρνήσαντο μὲν οἱ Ἰουδαῖοι, δαίμονες δὲ ὡμολόγησαν· ἀλλ' οὐκ ἠγνόει τοῦτον ὁ προπάτωρ Δαβὶδ, λέγων· «Ἡτοίμασα λύχνον τῷ Χριστῷ μου». Καὶ οἱ μὲν λύχνον εἶναι τὸ λαμπρὸν τῆς προφητείας ἡρμήνευσαν [1]· οἱ δὲ τὸν λύχνον τὴν ἀναφθεῖσαν ἐκ Παρθένου σάρκα [2], κατὰ τὸ ἐν τῷ Ἀποστόλῳ· «Ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν». Οὐκ ἠγνόει τοῦτον ὁ Προφήτης, λέγων· «Καὶ ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ». Ἤδει τοῦτον καὶ Μωσῆς, ἤδει τοῦτον καὶ Ἡσαΐας, ἤδει τοῦτον καὶ Ἱερεμίας. Οὐδεὶς τῶν Προφητῶν ἠγνόει τοῦτον [3]. Ἐπέγνωσαν τοῦτον καὶ δαίμονες· ἐπετίμα γὰρ

---

[1]) Οὕτως ἡρμήνευσε τὸν λύχνον ὁ Εὐσέβιος (Εὐαγγ. Ἀποδ. δ′.)· «Καὶ πάλιν ὀνομαστὶ τὸν Χριστὸν ἀναγορεύων, λύχνον φησὶν ἡτοιμακέναι αὐτῷ, τὸν προφητικὸν, ὡς εἰκὸς, λόγον, τὸν προωδευκότα τοῦ Χριστοῦ, ὃς μόνος ἡλιακοῦ φωτὸς δίκην τοῖς πᾶσι καθ' ὅλης τῆς οἰκουμένης ἀνθρώποις ἀνατέταλκε». Ἀλλ' ἰδίως λύχνος ὑπὸ τῶν πλείστων Πατέρων ἑρμηνεύεται ὁ Πρόδρομος Ἰωάννης, ὃν ὁ μὲν Θεολόγος Γρηγόριος ὀνομάζει «τὸν πρὸ τοῦ φωτὸς λύχνον» (Λόγ. κά. πρβ. καὶ Λόγ. 38.), ὁ δὲ Ἀλεξ. Κύριλλος «λύχνον Χριστοῦ προβαδίζοντα». (περὶ τῆς ἐν Πνεύμ. καὶ ἀληθ. λατρείας Λόγ. ί.). Ἔφη δὲ καὶ ὁ ἱερὸς Νύσσης (Λόγ. β′. εἰς τὸν Πρωτομάρτ. Στέφανον)· «Ἰωάννης μὲν οὖν διὰ τὸ ἕνα μόνον φωτίζειν οἶκον, τὸν τοῦ Ἰσραὴλ, λύχνος ὠνομάσθη».

[2]) Οὕτω πάλιν ἐξέλαβε τὸν λύχνον ὁ Εὐσέβιος (Εὐαγγ. Ἀποδ. βιβ. δ′.)· «Τάχα ἴσως καὶ τὸ ἐπὶ τῆς Βηθλεὲμ ἀναληφθὲν τῷ Χριστῷ σῶμα καθ' ἑτέραν ὑπόνοιαν σημαίνων», καὶ Γρηγ. ὁ Θεολόγος (Λόγ. 38.)· «Λύχνον ἧψε τὴν ἑαυτοῦ σάρκα», καὶ Θεοδώρητος (εἰς ψαλμ. 131)· «Λύχνον πάλιν ὁ προφητικὸς λόγος τὸν ἐκ Δαβὶδ ὀνομάζει ναὸν, τὸ τῆς θεότητος ὑποδεξάμενον φῶς»· καὶ Ἀμφιλόχιος (Λόγ. εἰς τὰ Γενέθλ. τοῦ Χριστοῦ)· «Παρθένος γὰρ ἄφθαρτος ἀποκυήσει σωματικῶς τὸν λύχνον».

[3]) Οὐδεὶς τῶν Προφητῶν τοῦτον ἠγνόει· ἄλλοι μὲν γὰρ λόγῳ τὸν Χριστὸν προεκήρυξαν, τὰς προῤῥήσεις ταύτας ἐγγράφους καταλελοιπότες· ἄλλοι δὲ πρόῤῥησιν μὲν οὐδεμίαν ἔγραψαν, ἔργοις δὲ τὰ κατ' αὐτὸν ὑπέδειξαν, καὶ ἄλλοι τύπος αὐτοῦ ἐγένοντο, ὡς γράφει ὁ ἱερὸς Βασίλειος

αὐτοῖς, καί φησιν· «Ὅτι ᾔδεισαν αὐτὸν Χριστὸν εἶναι» [1]). Ἀρχιερεῖς ἠγνόησαν, καὶ δαίμονες ὡμολόγησαν· ἀρχιερεῖς ἠγνόησαν, καὶ γυνὴ Σαμαρεῖτις ἐκήρυσσε, λέγουσα· «Δεῦτε, ἴδετε ἄνθρωπον, ὅς εἶπέ μοι πάντα ὅσα ἐποίησα· μή τι οὗτός ἐστιν ὁ Χριστός;»

§ ΙϚʹ. Οὗτος Ἰησοῦς ὁ Χριστός [2]) ἐστιν, ὁ παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν· ὁ διὰ τὸ ἄφθονον τῆς θεότητος πᾶσιν ἡμῖν μεταδοὺς τῆς ἑαυτοῦ προσηγορίας. Βασιλεῖς μὲν γὰρ ἄνθρωποι ἀκοινώνητον πρὸς ἀνθρώπους ἔχουσι τῆς βασιλείας τὴν προσηγορίαν· Ἰησοῦς δὲ Χριστὸς Θεοῦ υἱὸς ὤν, Χριστιανοὺς καλεῖσθαι ἡμᾶς κατηξίωσεν. Ἀλλ' ἐρεῖ τις· καινὸν τὸ ὄνομα τῶν χριστιανῶν καὶ πρὸ τούτου οὐκ ἐπολιτεύετο [3]), καὶ τὰ καινοποιούμενα πολλάκις ἀντιλέγεται διὰ τὸ ξένον. Προησφαλίσατο τοῦτο ὁ Προφήτης

Σελευκείας (Λόγ. εἰς τὸν Προφ. Ἐλισσαῖον)· «Τῶν Προφητῶν οἱ μὲν λόγῳ τὸν Χριςὸν προεκήρυξαν, οἱ δὲ τὰ κατ' αὐτὸν ἔργοις ὑπέδειξαν· ἄλλοι τῆς οἰκονομίας τύπος ἐγένοντο, ὡς ἐν σκιαγραφίᾳ τὴν εἰκόνα προδεικνῦντες τοῦ μέλλοντος. Καὶ λόγῳ μὲν αὐτὸν προεκήρυξαν Ἡσαΐας, Ἱερεμίας, Ἰεζεκιὴλ καὶ οἱ δώδεκα σὺν αὐτοῖς· ἔργοις δὲ αὐτὸν ὑπέδειξαν Ἠλίας ὁ Θεσβίτης καὶ Ἐλισσαῖος ὁ μαθητὴς αὐτοῦ· τύπος δὲ τῆς οἰκονομίας ἐγένοντο Ἰωνᾶς ὁ Προφήτης».

[1]) Τὸ ἱερὸν κείμενον τοῦ Λουκᾶ· «Ὅτι ᾔδεισαν τὸν Χριστὸν αὐτὸν εἶναι».

[2]) Προσεθήκαμεν τὸ ἄρθρον, «ὁ» ἐκ τῶν Κωδ. A., R., C.

[3]) Τὴν ἔνστασιν ταύτην ἐποίουν οἱ ἐθνικοί, ἀντιλέγοντες εἰς τὸ Εὐαγγελικὸν κήρυγμα, καὶ ἀντιτιθέντες τῇ καινότητι τῆς Χριστιανικῆς θρησκείας τὴν αἰδέσιμον ἀρχαιότητα τῆς εἰδωλολατρείας. Ὅθεν «nova superstitio» καλεῖται ὁ Χριστιανισμὸς ὑπὸ τοῦ Τακίτου (Annal. XV. 44.)· «Λόγος πρόσφατος ὁδεύων» λέγεται ὑπ' ἄλλων Ἑλλήνων παρὰ τῷ Θεοφίλῳ Ἀντιοχ. (πρὸς Αὐτόλ. βιβλ. γʹ.), καὶ αὖθις ὑπ' ἄλλων «καινή τις καὶ ἐρήμη ἀνοδία» (Εὐσέβ. Εὐαγγελ. Προπαρ. βιβλ. ά.). Κατὰ τῆς ἐνστάσεως ταύτης τῶν ἐθνικῶν ἔγραψαν πολλὰ καὶ καλὰ οἱ ἀπολογηταί, Τερτυλλιανός, (Apolog. cap. 6.), Ὠριγένης (κατὰ Κέλσου βιβ. ά.), Θεόφιλος Ἀντιοχείας (ἔνθ. ἀνωτ.), Ἀρνόβιος (contra Gent. lib. II. 71·), Εὐσέβιος (Ἐκκλ. Ἱς. ά. 4.). Παράβαλε δὲ ὅσα ὁ Κύριλλος λέγει ἐνταῦθα περὶ τοῦ καινοῦ ὀνόματος πρὸς τὰ ἐν Κατηχ. ΙΖʹ. § 28 ὑπ' αὐτοῦ εἰρημένα.

λέγων· «Τοῖς δὲ δουλεύουσί μοι κληθήσεται [1]) ὄνομα καινὸν, ὃ εὐλογηθήσεται ἐπὶ τῆς γῆς»· Ἐξετάσωμεν τοὺς Ἰουδαίους· δουλεύετε τῷ Κυρίῳ ἢ οὔ; δείξατε οὖν τὸ ὄνομα ὑμῶν τὸ καινόν· Ἰουδαῖοι γὰρ καὶ Ἰσραηλῖται ἐπὶ Μωσέως καὶ τῶν ἄλλων Προφητῶν ἐκαλεῖσθε, καὶ μετὰ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον, καὶ μέχρι τοῦ παρόντος· ποῦ οὖν τὸ ὄνομα τὸ καινόν; Ἡμεῖς δὲ, ἐπειδὴ δουλεύομεν τῷ Κυρίῳ, ἔχομεν τὸ ὄνομα τὸ καινόν· καινὸν μὲν, ἀλλ' ὄνομα τὸ καινὸν, ὃ εὐλογηθήσεται ἐπὶ τῆς γῆς. Περιεδράξατο τῆς οἰκουμένης τοῦτο τὸ ὄνομα· Ἰουδαῖοι μὲν γὰρ μέχρι χώρας τινὸς, χριστιανοὶ δὲ μέχρι περάτων τῆς οἰκουμένης· τὸ γὰρ τοῦ Μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ καταγγέλλεται ὄνομα.

§ ΙΖ΄. Θέλεις δὲ γνῶναι ὅτι τὸ [2]) τοῦ Χριστοῦ ὄνομα ᾔδεισαν οἱ Ἀπόστολοι καὶ ἐκήρυξαν, μᾶλλον δὲ καὶ Χριστὸν αὐτὸν εἶχον ἐν ἑαυτοῖς; Παῦλός φησι πρὸς τοὺς ἀκούοντας [3])· «Ἢ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ;» Παῦλος καταγγέλλει τὸν Χριστὸν, λέγων· «Οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ Χριστὸν Ἰησοῦν Κύριον, ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Ἰησοῦν». Τίς ἄρα οὗτος; ὁ τὸ πρότερον διώξας. Ὢ μεγάλου θαύματος! ὁ πρότερον διώξας, αὐτὸς Χριστὸν καταγγέλλει· διὰ τί; χρήμασιν ἄρα πεισθείς; ἀλλ' οὐδεὶς ἦν ὁ πείθων οὕτως. Ἀλλ' ἄρα βλέπων αὐτὸν παρόντα καὶ δυσωπούμενος; ἤδη ἦν ἀναληφθεὶς εἰς οὐρανόν. Ἐξῆλθεν ἐπὶ τὸ διώκειν, καὶ μετὰ τρεῖς ἡμέρας ἐν Δαμασκῷ κῆρυξ ὁ διώκτης· ποίᾳ δυνά-

---

[1]) Οὕτω κεῖται τὸ ῥῆμα ἐν τοῖς Κώδ. A., R., C., καὶ ἐν τῷ ἱερῷ τῆς Γραφῆς κειμένῳ. Ἐν ταῖς ἐκδόσεσιν, «ἐπικληθήσεται».

[2]) Τὸ ἄρθρον «τὸ», ἀπαιτούμενον ἐν τῷ λόγῳ, καὶ ἐλλεῖπον ἐκ τῶν ἐκδόσεων, προσεθήκαμεν ἐκ τοῦ Κώδ. A.

[3]) Ἐν ταῖς προτέραις ἐκδόσεσι μετὰ τὸ «ἀκούοντας» ἔκειτο «Ἰουδαίους», καθὼς κεῖται ἡ λέξις καὶ ἐν τῷ Κώδ. A. Ἀλλ' ὁ Τουτέος, ὀρθῶς ποιήσας, ἀπήλειψε τὸ «Ἰουδαίους», στηριζόμενος ἐπὶ τῇ αὐθεντίᾳ πολλῶν Κωδήκων. Ἐλάλει γὰρ ὁ Παῦλος πρὸς τοὺς πιστεύοντας Κορινθίους, ὧν τὸ πλεῖστον μέρος ἦν ἐξ ἐθνῶν (Πράξ. ιη΄. 6. 10. Α. Κορ. ιβ΄. 2).

μει; Ἄλλοι μὲν οὖν οἰκείους ὑπὲρ οἰκείων καλοῦσι μάρτυρας, ἐγὼ δέ σοι μάρτυρα τὸν πρότερον ἐχθρὸν παρέστησα· ἔτι ἀμφιβάλλεις; Μεγάλη μὲν γὰρ Πέτρου καὶ Ἰωάννου μαρτυρία, ἀλλ' ὕποπτός τις ἦν· οἰκεῖοι γὰρ ἦσαν· τοῦ δὲ πρότερον ἐχθροῦ, ὕστερον δὲ ὑπεραποθνήσκοντος, τίς ἔτι ἀμφιβάλλει πρὸς τὴν ἀλήθειαν;

§ ΙΗ'. Ἐνταῦθα γενόμενος τοῦ λόγου, τεθαύμακα ἀληθῶς τὴν τοῦ ἁγίου Πνεύματος οἰκονομίαν· πῶς τὰς μὲν τῶν ἄλλων ἐπιστολὰς εἰς ὀλίγον περιέγραψεν ἀριθμόν, Παύλῳ δὲ τῷ πρότερον διώκτῃ γράψαι δεκατέσσαρας ἐπιστολὰς ἐχαρίσατο· οὐ γάρ, ὅτι ἥττων ἦν Πέτρος ἢ Ἰωάννης, ἐνέκοψε τὴν χάριν· μὴ γένοιτο· ἀλλ' ὑπὲρ τοῦ ἀναμφίβολον εἶναι τὴν διδασκαλίαν τῷ πρότερον ὄντι ἐχθρῷ καὶ διώκτῃ πλεῖον ἐχαρίσατο γράφειν, ἵνα πάντες οὕτω πιστοποιηθῶμεν. Ἐξίσταντο δὲ πάντες περὶ τοῦ Παύλου καὶ ἔλεγον· Οὐχ οὗτός ἐστιν ὁ πρότερον διώκων; οὐχ ὧδε ἦλθεν, ἵνα δεδεμένους ἡμᾶς ἀπαγάγῃ εἰς Ἱερουσαλήμ; Μὴ ἐξίστασθε, φησὶν ὁ Παῦλος· ἐγὼ οἶδα ὅτι σκληρόν μοί ἐστι πρὸς κέντρα λακτίζειν· οἶδα ὅτι « οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, διότι ἐδίωξα τὴν Ἐκκλησίαν τοῦ Θεοῦ », ἀλλ' ἀγνοῶν· ἐνόμιζον γὰρ κατάλυσιν εἶναι νόμου τὸ περὶ Χριστοῦ κήρυγμα· οὐκ ᾔδειν δὲ ὅτι αὐτὸς ἦλθε πληρῶσαι τὸν νόμον, καὶ οὐ καταλῦσαι· ὑπερεπλεόνασε δὲ ἡ χάρις τοῦ Θεοῦ ἐν ἐμοί.

§ ΙΘ'. Πολλαὶ τυγχάνουσιν ἀληθεῖς, ἀγαπητοί, περὶ Χριστοῦ μαρτυρίαι. Μαρτυρεῖ Πατὴρ οὐρανόθεν περὶ τοῦ Υἱοῦ· μαρτυρεῖ τὸ Πνεῦμα τὸ ἅγιον καταβαῖνον σωματικῶς ἐν εἴδει περιστερᾶς [1]· μαρ-

---

[1]) ὅπερ ἐνταῦθα γέγραπται, « σωματικῶς ἐν εἴδει περιστερᾶς » ἐν τῷ Κώδ. Α. κεῖται « σωματικῷ εἴδει περιστερᾶς », ὡς καὶ ἐν Κατ. γ'. § 14 εἶπεν ὁ Κύριλλος· « σωματικῷ εἴδει ὡσεὶ περιστερὰ », καθὰ καὶ ὁ Λουκᾶς (γ'. 22). Ἑκατέρα φράσις εἰς τὸ αὐτὸ φέρει νόημα, ἀρκεῖ μόνον ἵνα σημειώσωμεν, ὅτι αἱ λέξεις « σωματικῶς » καὶ « σωματικῷ εἴδει » οὐ σημαίνουσιν ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἔλαβε σῶμα καὶ φύσιν περιστερᾶς, ἀλλ' ὅτι ὤφθη αἰσθητῶς τε καὶ ὁρατῶς ὑπὸ τὸν σχηματισμὸν τῆς περιστερᾶς· εἶδος λοιπὸν καὶ σχηματισμὸς μόνον ἦν περιστερᾶς, οὐχὶ

τυρεῖ Γαβριὴλ ὁ ἀρχάγγελος, τὴν Μαριὰμ εὐαγγελιζόμενος· μαρτυρεῖ παρθένος ἡ Θεοτόκος· μαρτυρεῖ ὁ μακάριος τῆς φάτνης τόπος· Αἴγυπτος μαρτυρεῖ, ἡ ἔτι νέον ὄντα τῷ σώματι τὸν Δεσπότην δεξαμένη [1]· μαρτυρεῖ Συμεὼν, ὁ δεξάμενος αὐτὸν ἐν ἀγκάλαις, καὶ εἰπών· «Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν»· καὶ Ἄννα προφῆτις, ἐγκρατὴς, εὐλαβεστάτη καὶ ἀσκήτρια, μαρτυρεῖ περὶ αὐτοῦ. Μαρτυρεῖ Ἰωάννης ὁ βαπτιστὴς, ὁ μέγιστος μὲν ἐν Προφήταις, ἀρχηγὸς δὲ τῆς καινῆς Διαθήκης, καὶ τρόπον τινὰ συνάπτων ἀμφοτέρας ἐν αὐτῷ τὰς Διαθήκας, παλαιάν τε καὶ καινήν· μαρτυρεῖ ὁ Ἰορδάνης ἐν ποταμοῖς· μαρτυρεῖ θάλασσα Τιβεριάδος ἐν θαλάσσαις· μαρτυροῦσι τυφλοὶ, μαρτυροῦσι χωλοὶ, μαρτυροῦσι νεκροὶ ἐγειρόμενοι· δαίμονες μαρτυροῦσι λέγοντες· «Τί ἡμῖν [2]) καί σοὶ Ἰησοῦ; Οἴδαμέν σε τίς εἶ, ὁ ἅ-

---

φύσις καὶ σῶμα, ὡς ἄριστα ἀναπτύσσει τοῦτο ὁ ἱερὸς Χρυσοῤῥήμων (Τόμ. Ζ΄. σελ. 189). Τὴν αὐτὴν γνώμην ἐξέφρασε καὶ ὁ μακάριος Ἐπιφάνιος (Αἱρ. 62) καὶ Κύριλλος ὁ Ἀλεξανδρείας (ἐν τῇ Σειρᾷ εἰς τὸν Ἰωάν. κεφ. ά.) καὶ Προκόπιος ὁ Γαζαῖος (εἰς Γέν. κεφ. ιή.) καὶ ἄλλοι. Πρὸς τὴν κοινὴν ταύτην γνώμην ἀντιστρατεύεται ὁ Τερτυλλιανὸς, πραγματικὴν καὶ σωματικὴν λέγων τὴν περιστερὰν ἐκείνην (de carne Christi, cap. 3). Συναινεῖ τῷ Τερτυλλιανῷ καὶ Αὐγουστῖνος (de agone christiano, cap. 22), καί τοι ἀλλαχοῦ (Epist. 102 ad Evod. καὶ de Trinit. cap. 5) συμφάσκει καὶ αὐτὸς τοῖς ῥηθεῖσι Πατράσι.

[1]) Ἀληθῶς ἐμαρτύρει τότε ἡ Αἴγυπτος μαρτυρίαν λαμπρὰν καὶ τρανόφθογγον καὶ παντὶ τῷ κόσμῳ ἐξάκουστον, πλήθει μὲν τῶν εἰς Χριστὸν πιστευόντων πεπυκασμένη, εὐσεβείᾳ δὲ καὶ ἁγιότητι διαλάμπουσα. Τὴν ἀνθοῦσαν κατάστασιν τῆς ἐν Αἰγύπτῳ Ἐκκλησίας ἐν τοῖς καιροῖς ἐκείνοις διαγράφων ὁ Χρυσοῤῥήμων, λέγει· «Ἡ Αἴγυπτος διασώζει δεξαμένη φεύγοντα καὶ ἐπιβουλευόμενον, καὶ λαμβάνει τινὰ τῆς πρὸς αὐτὸν οἰκειώσεως ἀφορμὴν, ἵν' ὅταν μέλλῃ κηρυττόμενον αὐτὸν ἀκούειν παρὰ τῶν Ἀποστόλων, καὶ ἐπὶ τούτων καλλωπίζηται, ἅτε αὐτὸν δεξαμένη πρώτη» (Τόμ. Ζ΄. σελ. 146).

[2]) Ἐν τοῖς Κώδ. A., R., C. πρὸ τοῦ «τί ἡμῖν» κεῖται «ἔα», καθὰ δηλαδὴ καὶ ἐν τῷ ἱερῷ κειμένῳ, ὅ-

γιος τοῦ Θεοῦ». Μαρτυροῦσιν ἄνεμοι προστασσόμενοι καὶ φιμούμενοι· πέντε ἄρτοι μαρτυροῦσιν εἰς πεντακισχιλίους πληθυνθέντες [1]). Τὸ ξύλον τὸ ἅγιον τοῦ Σταυροῦ μαρτυρεῖ, μέχρι σήμερον παρ' ἡμῖν φαινόμενον [2]), καὶ διὰ τῶν κατὰ πίστιν ἐξ αὐτοῦ λαμβανόντων ἐντεῦθεν τὴν οἰκουμένην πᾶσαν σχεδὸν ἤδη πληρῶσαν· ὁ φοίνιξ ὁ ἐπὶ

περ ἔχει οὕτως· «Ἔα! τί ἡμῖν καὶ σοί, Ἰησοῦ Ναζαρηνέ; ἦλθες ἀπολέσαι ἡμᾶς· οἶδά σε τίς εἶ, ὁ ἅγιος τοῦ Θεοῦ».

[1]) Ἐξ ἀρχαίας παραδόσεως, ἄχρις ἡμῶν κατεληλυθυίας, δείκνυται καὶ τὴν σήμερον ὁ τόπος, ὅπου τὸ θαῦμα τοῦτο ἐγένετο, οὐ μακρὰν τῆς Τιβεριάδος. Ὁ τόπος οὗτος ὑπὸ μὲν τῶν Ὀρθοδόξων καλεῖται τανῦν «οἱ πέντε ἄρτοι», ὑπὸ δὲ τῶν Λατίνων «Mensa Christi» (ἡ τράπεζα τοῦ Χριστοῦ), ὑπὸ δὲ τῶν Μωαμεθανῶν Ἀράβων «Χατζὰρ-ἐν Νασάρα» (οἱ λίθοι τῶν Χριστιανῶν), διότι κεῖνται ἐνταῦθα τέσσαρες πέντε μέλανες λίθοι.

[2]) Περὶ τοῦ τιμίου καὶ ζωοποιοῦ ξύλου τοῦ Σταυροῦ εἴπομεν ὀλίγα εἰς Κατήχ. δ'. § 10. Ἐνταῦθα σημειοῦμεν μόνον τὴν ἄκριτον καὶ θρασεῖαν ἔνστασιν τοῦ Ῥιβέτου κατὰ τῆς γνησιότητος τοῦ χωρίου τούτου, τοῦ μάλα σφοδρῶς καθαπτομένου τῆς περὶ τὸν τίμιον Σταυρὸν προτεσταντικῆς καχεξίας. Ἐκ τῆς φράσεως «μέχρι σήμερον» συνεπέρανεν ὁ προτεστάντης Ῥιβέτος ὅτι ὅλον τὸ περὶ Σταυροῦ τοῦτο χωρίον τοῦ Κυρίλλου ἐστὶ νόθον καὶ ἔκφυλον καὶ ἔξωθέν ποθεν ἐν ὑστέροις παρεμβεβυσμένον· διότι, λέγει, τὸ μὲν «μέχρι σήμερον» δηλοῖ ἱκανὸν χρόνου διάστημα παρεληλυθός, τὸ δὲ τίμιον ξύλον εὑρέθη οὐ πρὸ πολλοῦ, καὶ μόλις πρὸ εἴκοσί που ἐτῶν· ἐν τοσούτῳ δὲ μικρῷ διαστήματι οὐκ ἂν λέγοιτο καταλλήλως τὸ «μέχρι σήμερον». Ἀλλ' ἐφίμωσε τὸν θρασυστομοῦντα Ῥιβέτον ὁ ὁμόδοξος αὐτοῦ Μιλλέσιος, δείξας ἐξ ἀναντιῤῥήτων παραδειγμάτων ὅτι τὸ «μέχρι σήμερον» λέγεται πολλάκις καὶ ἐπὶ βραχυτάτου διαστήματος· οὕτω περὶ τοῦ ἀγροῦ τοῦ Κεραμέως, ὃς ἐκλήθη ἀγρὸς αἵματος «ἕως τῆς σήμερον» (Ματθ. κζ'. 8.)· οὕτω «διεφημίσθη ὁ λόγος οὗτος παρὰ τοῖς Ἰουδαίοις μέχρι τῆς σήμερον» (Ματθ. κή. 15). Ἀλλὰ καὶ αὐτὸς ὁ Κύριλλος ἐν Κατηχ. ΙΖ'. § 10. λέγει ὅτι «μέχρι σήμερον βλέπομεν ἄρχοντας κοσμικοὺς ὑπὸ τῶν ἐκκλησιαστικῶν ἀγομένους καὶ διδασκομένους»· ἀλλ' ἔστι πασίγνωστον ὅτι οἱ κοσμικοὶ ἄρχοντες καὶ ἡγεμόνες ἤρξαντο διδάσκεσθαι τὰ τῆς πίστεως οὐ πρὸ πολλοῦ, ἀλλ' ἀπὸ τοῦ Μεγάλου ἤδη Κωνσταντίνου, συγχρόνου τῷ Κυρίλλῳ.

τῆς φάραγγος μαρτυρεῖ, τὰ βαΐα παρασχὼν παισὶ τοῖς τότε εὐφημοῦσι [1]· τὸ Γεθσημανῆ μαρτυρεῖ, τὸν Ἰούδαν μονονουχὶ δεικνύον ἔτι τοῖς νοοῦσιν· ὁ Γολγοθᾶς ὁ ἅγιος οὗτος ὁ ὑπερανεστηκὼς μαρτυρεῖ φαινόμενος· τὸ μνῆμα τῆς ἁγιότητος μαρτυρεῖ, καὶ ὁ λίθος ὁ μέχρι σήμερον κείμενος· ἥλιος νῦν λάμπων μαρτυρεῖ, ὁ τότε κατὰ τὸν καιρὸν τοῦ σωτηρίου [2]) πάθους ἐκλιπών· τὸ σκότος μαρτυρεῖ, τὸ τότε γενόμενον ἀπὸ ἕκτης μέχρις ἐννάτης ὥρας· τὸ φῶς μαρτυρεῖ, τὸ ἀπὸ ἐννάτης [3]) ἕως ἑσπέρας ἐκλάμψαν· τὸ ὄρος τῶν ἐλαιῶν μαρτυρεῖ τὸ ἅγιον, ἀφ' οὗ περ ἀνῆλθε πρὸς τὸν Πατέρα· καὶ ὀμβροτόκοι νεφέλαι μαρτυροῦσι, δεξάμεναι τὸν Δεσπότην, περὶ ὧν εἶπεν ὁ Ψαλμῳδός· « Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης ». Οἱ ποτὲ ἐχθροὶ μαρτυροῦσιν, ὧν εἷς ὁ μακάριος Παῦλός ἐστιν, πρὸς ὀλίγον μὲν ἐχθράνας, πολυχρονίως δὲ δουλεύσας· Ἀπόστολοι δώδεκα μαρτυροῦσιν, οὐ λόγοις μόνον, ἀλλὰ καὶ βασάνοις καὶ θανάτοις ἰδίοις κηρύξαντες τὴν ἀλήθειαν· ἡ σκιὰ Πέτρου μαρτυρεῖ, θεραπεύουσα [4]) ἐν ὀνόματι

---

[1]) Τὸν φοίνικα τοῦτον τὸν ἐν τῇ φάραγγι, τὸν τὰ βαΐα τοῖς παισὶ παρασχόντα, ἀναφέρει ὡς ἔτι σωζόμενον καὶ δεικνύμενον καὶ ὁ συγγραφεὺς τοῦ Ἱεροσολυμικοῦ Ὁδοιπορικοῦ, ἰδὼν καὶ προσκυνήσας τοὺς ἁγίους Τόπους τῷ 333. « **A parte,** λέγει, **dextra est arbor palmae, de qua infantes ramos tulerunt, et veniente Christo substraverunt** ». Οὐδὲν δὲ παράδοξον, εἰ ἐσώζετο ἔτι ὁ φοίνιξ οὗτος κατὰ τὸν τέταρτον αἰῶνα, δένδρον διαρκέστατον καὶ μακρόβιον. Πρὸς τὴν διάρκειαν ταύτην τοῦ φοίνικος ἀπιδὼν καὶ ὁ Ἰὼβ (κθ'. 18), εἶπεν· « Ἡ ἡλικία μου γηράσει ὥσπερ στέλεχος φοίνικος, πολὺν χρόνον βιώσω ». Εἴρηται δὲ καὶ τῷ Λουκιανῷ (ἐν τῷ Ἑρμοτίμῳ, ἢ περὶ Αἱρέσεων) « Ἢν μὴ φοίνικος ἔτη βιώῃ ». Περὶ δὲ τοῦ κατωτέρω « Γεθσημανῆ » ὅρα τὴν Σημείωσιν εἰς Κατήχ. ιγ'. § 38.

[2]) Ἐθήκαμεν « σωτηρίου » ἐκ τῶν Κωδ. A., R., C., ἀντὶ τοῦ φερομένου « σωτηριώδους ».

[3]) Μετὰ τὸ « ἐννάτης » κεῖται « ὥρας » ἐν τῷ Κώδ. A.

[4]) Οὕτω κατ' ἐνεστῶτα χρόνον ἐθήκαμεν τὴν μετοχὴν ἐκ πολλῶν Κωδήκων. Αἱ ἐκδόσεις εἶχον « θεραπεύσασα »· ἀλλ' ὁ ἐνεστὼς μᾶλλον συνᾴδει πρὸς τὸ νόημα τοῦ ἱεροῦ κειμένου τῶν Πράξεων.

Χριστοῦ τοὺς ἀῤῥωστοῦντας· τὰ σουδάρια καὶ τὰ σημικίνθια μαρτυροῦσι, θεραπεύοντα παραπλησίως τῇ δυνάμει τοῦ Χριστοῦ τότε διὰ Παύλου. Πέρσαι καὶ Γότθοι [1]) καὶ πάντες οἱ ἐξ ἐθνῶν μαρτυροῦσιν, ὑπεραποθνήσκοντες τούτου, ὃν σαρκὸς ὀφθαλμοῖς οὐκ ἐθεώρησαν· οἱ διὰ τῶν πιστῶν μέχρι σήμερον ἀπελαυνόμενοι δαίμονες μαρτυροῦσι [2]).

§ Κ΄. Τοσοῦτοι καὶ διάφοροι καὶ πλείους εἰσὶ μάρτυρες· ἆρα ἀπιστεῖται λοιπὸν ὁ Χριστὸς μαρτυρούμενος; Εἰ μὲν οὖν ἐστί τις πρότερον ἀπιστῶν, πιστευέτω νῦν· εἰ δὲ πρότερον ἦν πιστὸς, προσ-

---

[1]) Περὶ τῶν ἐν Περσίᾳ καὶ Σκυθίᾳ Χριστιανῶν λέγει ὁ Πατὴρ ἐνταῦθα, τῶν ὑπὲρ πίστεως μαρτυρησάντων. Καὶ ὁ μὲν ἐν Περσίᾳ κατὰ τῶν εὐσεβούντων διωγμὸς, κινηθεὶς ὑπὸ τοῦ βασιλέως Σαπώρου ἐν τοῖς χρόνοις τοῦ Μ. Κωνσταντίνου, ἱστόρηται ἤδη ὑπὸ τοῦ Σωζομένου (Ἐκκλ. Ἱς. βιβ. β΄. κεφ. 7). Περὶ δὲ τοῦ κατὰ τῶν Γότθων Χριστιανῶν διωγμοῦ οὐ σαφὴς κεῖται μαρτυρία, πότε καὶ ὑπὸ τίνος ἀνήφθη. Διωγμὸν μέγαν ἐνςάντα ἐν Γοτθίᾳ ὑπὸ ἐθνικοῦ τινος βασιλέως ἀναφέρει ὁ Ἐπιφάνιος (Τόμ. ά. σελ. 828.). Ἀλλ' ἴσως διωγμὸν νοητέον ἐνταῦθα τὰ δεινὰ ἐκεῖνα, ὅσα ὑφίσταντο οἱ εἰς Χριστὸν πεπιστευκότες παρὰ τῶν ἀπίστων εἰσέτι ὁμογενῶν αὐτῶν, ἐν ταῖς ἀρχαῖς μάλιςα τοῦ κηρύγματος. Οἱ δὲ Γότθοι παρεδέξαντο τὸ πρῶτον τὸν χριστιανισμὸν παρὰ χριστιανῶν τινων αἰχμαλώτων περὶ τὸ ἔτος 260, καθὰ ἱςόρησε Φιλοςόργιος (Ἐκκλ. ις΄. β΄. 5), ὕστερον δὲ ἐν τοῖς χρόνοις τοῦ Μ. Κωνσταντίνου Αὔδιός τις αἱρεσιάρχης, εἰς Σκυθίαν ἐξορισθεὶς, πολλοὺς καὶ ἄλλους Γότθους προσείλκυσεν εἰς τὴν τοῦ Χριστοῦ πίστιν, καὶ μοναστήρια ἀνήγειρε (Ἐπιφάν. Τόμ. ά. σελ. 827). Εἰς δὲ τὴν ἐν Νικαίᾳ Σύνοδον παρῆν καὶ Γότθων ἀρχιερεὺς ὁ Θεόφιλος, τοῦ ὁμοουσίου ἔνθερμος ὑπερασπιστής. Πρῶτος δὲ τῶν Γότθων ἀρχιερέων τὴν ἐν Νικαίᾳ πίστιν κατέλιπεν ὁ Οὐλφίλας (Σωκρατ. Ἐκ. ις΄. β΄. 41). Ὑπὲρ τῶν Γότθων πολλὴν ἐπεδείξατο μέριμναν ὁ Χρυσόστομος, καὶ πολλοὺς εἵλκυσεν εἰς τὴν Ὀρθοδοξίαν, δοὺς αὐτοῖς καὶ Ἐκκλησίαν ἐν Κωνσταντινουπόλει, ἐν ᾗ συχνάκις φοιτῶν ἐδίδασκε. Βλ. Χρυσόστομον (Τόμ. ιβ΄. σελ. 512 καὶ Τόμ. γ΄. σελ. 864.) καὶ Θεοδώρητ. (Ἐπις. έ. 30).

[2]) Περὶ τῆς ὑπὸ τῶν πιστῶν ἀπελάσεως τῶν δαιμόνων τῇ ἐπικλήσει τοῦ σωτηρίου καὶ ζωοποιοῦ ὀνόματος τοῦ Χριστοῦ εἴρηκεν ὁ Κύριλλος καὶ Κατήχ. δ΄. § 13. καὶ ὅρα τὴν ἐκεῖ σημείωσιν.

θήκην πίστεως λαμβανέτω μείζονα, πιστεύων εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καὶ γινωσκέτω τίνος ἔχει τὴν προσηγορίαν. Χριστιανὸς ἐκλήθης· φεῖσαι τοῦ ὀνόματος [1]· μὴ διὰ σὲ βλασφημείσθω ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ· ἀλλὰ λαμψάτω τὰ καλὰ ἔργα σου μᾶλλον ἔμπροσθεν τῶν ἀνθρώπων, ἵνα οἱ βλέποντες ἄνθρωποι δοξάζωσιν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν τὸν Πατέρα τὸν ἐν τοῖς οὐρανοῖς· ᾧ ἡ δόξα καὶ νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

[1]) Πόσον ἀγαστὴ ἡ προσηγορία αὕτη καὶ πόσον ἔντιμος, δείκνυσι καὶ ὁ χρυσοῦς διδάσκαλος, παραπλήσια τοῖς Κυρίλλου διδάσκων (Ὁμιλ. ιθ΄. εἰς Ἰωάνν. Τόμ. 8. σελ. 130.). «Μέγα καὶ σεβάσμιον ὄνομα τῶν Χριστιανῶν», λέγει καὶ ὁ θεσπέσιος Νύσσης (κατὰ Ἀπολλιναρίου Τόμ. γ΄. σελ. 261.)· φησὶ δὲ καὶ ὁ ἐκ Ναζιανζοῦ φωστὴρ (Λόγ. κ΄.)· «Ἡμῖν μέγα πρᾶγμα καὶ ὄνομα, Χριστιανοὺς καὶ εἶναι καὶ ὀνομάζεσθαι». Κείσθωσαν ἐνταῦθα καὶ τὰ ἀξιάγαστα ἐκεῖνα τοῦ αὐτοῦ Γρηγορίου Νύσσης, ἃ περὶ τῆς προσηγορίας ταύτης ἐφθέγξατο· «Ἐπειδὴ τοῦ μεγίστου τε καὶ θειοτάτου καὶ πρώτου τῶν ὀνομάτων γέγονε παρὰ τοῦ ἀγαθοῦ Δεσπότου ἡμῖν κοινωνία, ὥστε τοὺς τῇ ἐπωνυμίᾳ τοῦ Χριστοῦ τιμηθέντας Χριστιανοὺς ὀνομάζεσθαι, ἀναγκαῖον ἂν εἴη, πάντα τὰ ἑρμηνευτικὰ τῆς τοιαύτης φωνῆς ὀνόματα καὶ ἐν ἡμῖν καθορᾶσθαι, ὡς μὴ ψευδώνυμον ἐν ἡμῖν τὴν κλῆσιν, ἀλλ᾽ ἐκ τοῦ βίου τὴν μαρτυρίαν ἔχειν· οὐ γὰρ ἐκ τοῦ καλεῖσθαί τι τὸ εἶναι γίνεται, ἀλλ᾽ ἡ ὑποκειμένη φύσις, οἷα δ᾽ ἂν οὖσα τύχῃ, διὰ τῆς προσφυοῦς τοῦ ὀνόματος σημασίας γνωρίζεται» (περὶ τελειότ., Τόμ. γ΄. σελ. 253).

ΚΑΤΗΧΗΣΙΣ ΙΑ΄.

ΦΩΤΙΖΟΜΕΝΩΝ,

Ἐν Ἱεροσολύμοις σχεδιασθεῖσα εἰς τὸ, Τὸν Υἱὸν τοῦ Θεοῦ τὸν Μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα Θεὸν ἀληθινὸν πρὸ πάντων τῶν αἰώνων, δι' οὗ τὰ πάντα ἐγένετο. Καὶ ἀνάγνωσις ἐκ τῆς πρὸς Ἑβραίους. «Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ», καὶ τὰ ἑξῆς.

§ Α΄. Ὅτι μὲν εἰς Ἰησοῦν Χριστὸν ἐλπίζομεν, αὐτάρκως κατὰ δύναμιν ἡμῖν εἴρηται διὰ τῶν χθὲς ὑμῖν παραδεδομένων. Οὐχ ἁπλῶς δὲ εἰς Χριστὸν Ἰησοῦν [1]) πιστευτέον, οὐδὲ ὡς ἕνα [2]) τῶν πολλῶν καταχρηστικῶς καλουμένων χριστῶν παραδεκτέον· ἐκεῖνοι μὲν γὰρ ἦσαν χριστοὶ τυπικοὶ [3]), οὗτος δὲ Χριστὸς ἀληθής· οὐκ ἐξ ἀνθρώπων

---

[1]) Ἡ λέξις, «Ἰησοῦν» ἐλλείπει ἐκ τῶν Κωδ. Α., R., C., οὐδὲ φαίνεται ἀναγκαία, ὡς ἔστιν ἐκ τῶν ἑπομένων ἰδεῖν.

[2]) Αἱ ἐκδόσεις εἶχον εἰς «ὡς ἕνα»· ἀλλ' ἡ «εἰς» πρόθεσις ἐνταῦθα πάνυ περιττῶς κεῖται, καὶ ταράττει τὴν σύνταξιν, διὰ τοῦτο ἀπηλείψαμεν αὐτὴν, κατὰ αὐθεντίαν τεσσάρων Κωδ. R., C., Coisl., Ottob.

[3]) Τυπικοὶ χριστοὶ, καὶ ψιλοὶ χριστοὶ ἦσαν οἱ τῷ σκευαστῷ ἐλαίῳ χριόμενοι ἐν τῇ παλαιᾷ Διαθήκῃ, βασιλεῖς δηλονότι καὶ ἀρχιερεῖς, ἔστιν ὅτε δὲ καὶ Προφῆται· «Οὐ μόνους τοὺς ἀρχιερωσύνῃ τετιμημέ-

ἐκ προκοπῆς εἰς ἱερωσύνην ἀνελθὼν, ἀλλ' ἀεὶ τὸ τῆς ἱερωσύνης πατρόθεν ἔχων ἀξίωμα· καὶ διὰ τοῦτο προασφαλιζομένη ἡ πίστις, ἵνα μὴ τῶν ψιλῶν χριστῶν ὑποπτεύσωμεν ἕνα, προστίθησι τῇ τῆς πίστεως ἐπαγγελίᾳ, ὅτι πιστεύομεν εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν, τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν Μονογενῆ.

§ Β'. Υἱὸν δὲ πάλιν ἀκούων, μὴ νομίσῃς θετὸν [1]), ἀλλὰ φυσικὸν υἱὸν, υἱὸν μονογενῆ, ἀδελφὸν ἕτερον οὐκ ἔχοντα· διὰ τοῦτο γὰρ καλεῖται Μονογενὴς, ὅτι εἰς τὸ τῆς θεότητος ἀξίωμα καὶ τὴν ἐκ πατρὸς γέννησιν ἀδελφὸν οὐκ ἔχει [2]). Υἱὸν δὲ τοῦ Θεοῦ καλοῦμεν αὐτὸν οὐκ ἀφ' ἑαυτῶν, ἀλλὰ γὰρ αὐτοῦ τοῦ Πατρὸς αὐτὸν Χριστὸν,

---

νους ἐλαίῳ σκευαστῷ χριομένους, τὸ τοῦ χριστοῦ κατεκόσμει παρ' Ἑβραίοις ὄνομα, ἀλλὰ καὶ τοὺς βασιλέας, οὓς καὶ αὐτοὺς νεύματι θείῳ Προφῆται χρίσαντες, εἰκονικούς τινας χριστοὺς ἀπειργάζοντο. Ἤδη δὲ καὶ αὐτῶν τῶν Προφητῶν τινας διὰ χρίσματος χριστοὺς ἐν τύπῳ γεγονέναι παρειλήφαμεν»· Εὐσέβιος (Ἐκκλ. Ἱς. βιβλ. ά. κεφ. 4). Ἐκ τῶν εἰκονικῶν τούτων χριστῶν ἀναφέρει τινὰς ὀνομαστὶ ὁ Κύριλλος ἐν Κατηχ. ις'. § 13.

[1]) Ὅρα τὴν σημ. τοῦ Τ. εἰς Κατήχ. Ζ'. § 10· ὅρα καὶ § 4.

[2]) Οὕτω λέγει καὶ Κύριλλος ὁ Ἀλεξ. (ἐν τοῖς θησαυροῖς 25)· «Μονογενὴς, καθὸ Λόγος, ἐςὶν ἐκ Πατρὸς, ἀδελφοὺς κατὰ φύσιν οὐκ ἔχων, οὐδὲ ἑτέρῳ τινὶ συνταττόμενος». Φησὶ δὲ καὶ Θεοδώρητος (εἰς τὴν πρὸς Ῥωμ. κεφ. ή)· «Μονογενής ἐστιν ὡς Θεός· οὐδ' ἔχει γὰρ ἀδελφοὺς ὡς Θεὸς»· καὶ εἰς ψαλμ. 89· «Μονογενής ἐςιν ὡς Θεός· μόνος γὰρ ἐκ Πατρὸς ἐγεννήθη»· καὶ Ἐπιφάνιος (σελ. 851)· «Κυρίως μονογενὴς ὡς μόνος ἐκ μόνου ὅμοιος κατ' οὐσίαν ἐκ τοῦ Πατρός»· ὁ αὐτὸς Πατὴρ ἀλλαχοῦ (Αἱρεσ. 62) περὶ τοῦ Πνεύματος λαλῶν, λέγει· «Οὐ κτιστὸν, οὐκ ἀδελφὸν Υἱοῦ». Φησὶ δὲ καὶ Γρηγόρ. Ναζ. (Λόγ. λ'.)· «Μονογενὴς, οὐχ ὅτι μόνος, ἐκ μόνου καὶ μόνον, ἀλλ' ὅτι καὶ μονοτρόπως, οὐχ ὡς τὰ σώματα»· καὶ ὁ θεῖος Δαμασκηνὸς (ά. 8)· «Μονογενὴς δὲ, ὅτι μόνος ἐκ μόνου τοῦ Πατρὸς μόνως ἐγεννήθη· οὐδὲ γὰρ ὁμοιοῦται ἑτέρα γέννησις τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ γεννήσει· οὐδὲ γάρ ἐστιν ἄλλος Υἱὸς τοῦ Θεοῦ». Βλ. καὶ Κύριλλον Ἀλεξ. (εἰς Ἰωάνν. κεφ. ά.), Γρηγόριον Νύσσης, (κατὰ Εὐνομίου βιβλ. 7), Χρυσόστομον (περὶ Ἀκαταλήπτου Λόγ. δ'.).

Υἱὸν ὀνομάσαντος· ἀληθὴς δὲ προσηγορία ἡ ἐκ πατέρων τοῖς τέκνοις ἐπιτιθεμένη [1]).

§ Γ'. Ἐνηνθρώπησε τότε ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἀλλ' ὑπὸ τῶν πολλῶν ἠγνοεῖτο· διδάξαι δὲ βουλόμενος τὸ ἀγνοούμενον, συναγαγὼν τοὺς μαθητάς, ἠρώτα· «Τίνα με λέγουσιν οἱ ἄνθρωποι [2]) εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου;» οὐ κενοδοξῶν, ἀλλὰ τὴν ἀλήθειαν αὐτοῖς δεῖξαι βουλόμενος, ἵνα μὴ Υἱῷ Θεοῦ Μονογενεῖ [3]) συνοικοῦντες, ὡς ἀνθρώπου τινὸς ψιλοῦ καταφρονήσωσιν· εἰπόντων δὲ ἐκείνων ὅτι οἱ μὲν Ἠλίαν, οἱ δὲ Ἱερεμίαν, ἔφη πρὸς αὐτούς· Ἐκεῖνοι μέν, μὴ εἰδότες, συγγνωστοί· ὑμεῖς δὲ οἱ Ἀπόστολοι, οἱ ἐπὶ τῷ ὀνόματί μου λεπροὺς καθαρίζοντες, καὶ δαιμόνια ἐκβάλλοντες, καὶ νεκροὺς ἐγείροντες, οὐκ ὀφείλετε τοῦτον ἀγνοεῖν, δι' ὃν ποιεῖτε τὰ θαυμάσια. Πάντων δὲ ἀποσιωπησάντων· ὑπὲρ ἄνθρωπον γὰρ ἦν τὸ μάθημα· Πέτρος ὁ πρωτοστάτης τῶν Ἀποστόλων, καὶ τῆς Ἐκκλησίας κορυφαῖος κήρυξ, οὐχ εὑρεσιλογίᾳ χρησάμενος, οὐδ' ἀνθρωπίνῳ λογισμῷ πεισθείς, ἀλλὰ πατρόθεν φωτισθεὶς τὴν διάνοιαν, φησὶ πρὸς αὐτόν· «Σὺ εἶ ὁ Χριστός», οὐχ ἁπλῶς, ἀλλ' «ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος», καὶ μακαρισμὸς ἐπακολουθεῖ τῷ ῥήματι· ἦν γὰρ καὶ ἀληθῶς ὑπὲρ ἄνθρωπον· καὶ σφραγὶς ἐπὶ τῷ ῥηθέντι, ὅτι Πατὴρ ἦν ὁ ἀποκαλύψας· λέγει γὰρ ὁ Σωτήρ· «Μακάριος εἶ Σίμων Βαριωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς». Ὁ τοίνυν γνωρίζων τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν,

---

[1]) Παραπλήσια ἔφη καὶ Κύριλλος Ἀλεξανδρείας (Ἐπιστολ. πρὸς Θεοδόσιον § 29)· «Τότε καὶ ὁ φύσει Πατὴρ ὁρίζει τὸ ὄνομα, τοῖς τῆς πατρότητος, ἵν' οὕτως εἴπωμεν, νόμοις ἑπόμενος.

[2]) Ἐθήκαμεν τὴν λέξιν, «ἄνθρωποι» ἐκ τῶν Κωδ. R., C., ἥτις κεῖται καὶ ἐν τῷ ἱερῷ Εὐαγγελίῳ.

[3]) Ἐν ταῖς ἄχρι τοῦδε ἐκδόσεσιν ἔκειτο «Θεῷ Θεοῦ μονογενεῖ»· καὶ εἰ μὲν μετὰ τὸ «μονογενεῖ» ἔκειτο «Υἱῷ», καλῶς ἂν εὐωδοῦτο καὶ σαφὲς ἀπεδίδοτο τὸ νόημα· ἐπειδὴ δὲ ἔλιπεν, ἀήθης καθίστατο ὁ λόγος. Ἡμεῖς σαφεστάτην καὶ συνηθεστάτην κατεστήσαμεν τὴν φράσιν, θέντες ἐκ τοῦ Κοισλινιανοῦ Κώδηκος «Υἱῷ Θεοῦ» ἀντὶ «Θεῷ Θεοῦ».

τὸν Υἱὸν τοῦ Θεοῦ, τῆς μακαριότητος μετέχει· ὁ δὲ ἀρνούμενος τὸν Υἱὸν τοῦ Θεοῦ, δειλαιός ἐστι καὶ ἄθλιος.

§ Δ΄. Υἱὸν δὲ πάλιν ἀκούων, μὴ καταχρηστικῶς ἄκουε μόνον, ἀλλὰ υἱὸν ἀληθῶς, υἱὸν φυσικὸν [1]), ἄναρχον [2]), οὐκ ἐκ δουλείας εἰς

---

[1]) Ὃν ὁ Κύριλλος ἐνταῦθα τε καὶ κατωτέρω (§ 9) ἐκάλεσε φυσικὸν υἱὸν, τοῦτον ὁ Μ. Ἀθανάσιος (κατὰ Ἀρειαν. Λόγ. γ΄. Τόμ. ά. σελ. 232 καὶ Λόγ. δ΄. σελ. 265) καὶ ὁ Μ. Βασίλειος (κατὰ Εὐνομ. Λόγ. δ΄.) εἶπον φύσει υἱὸν, ὁ δὲ μακάριος Ἐπιφάνιος (Αἱρεσ. ξθ΄. 18) κατὰ φύσιν υἱὸν, ὁ δὲ θεῖος Χρυσόστομος (Ὁμιλ. ϐ΄. εἰς τὴν πρὸς Ἑϐρ.) γνήσιον υἱόν. Διὰ τῶν ὅρων καὶ φράσεων τούτων πρόῤῥιζον ἐκτέμνουσιν οἱ Πατέρες τῆς Ἀρειανῆς δυσσεϐείας τὴν ἄκανθαν. Ἔλεγον γὰρ οἱ θεομάχοι Υἱὸν μὲν εἶναι τοῦ Θεοῦ τὸν Χριστὸν, οὐ μὴν φυσικῶς ὑπ' αὐτοῦ γεγεννημένον οὐδὲ γνήσιον, ἀλλὰ θέσει μόνον καὶ χάριτι, οἷα καὶ πάντες ἡμεῖς. Ὅθεν εἶπε κατωτέρω (§ 7) ὁ Κύριλλος· «Υἱὸς τοῦ Θεοῦ ἐστι φύσει καὶ οὐ θέσει».

[2]) Σημειούσθω καλῶς ὅτι τὸ «ἄναρχος» ἐν τῇ ἱερᾷ Θεολογίᾳ δύο ἔχει σημασίας, ἀκριϐῶς ἀπ' ἀλλήλων διεσταλμένας· μίαν μὲν ἐκείνην, καθ' ἣν ἄναρχον λέγεται τὸ ἀναίτιον, τὸ ἄνευ δηλαδὴ ἀρχῆς καὶ αἰτίας· κατὰ ταύτην τὴν ἔννοιαν ἄναρχος λέγεται μόνος ὁ Πατὴρ, οὐδέποτε δὲ ὁ Υἱὸς, οὔτε τὸ ἅγιον Πνεῦμα· διὰ τοῦτο εἶπεν ὁ Θεολόγος Γρηγόριος (Λόγ. κ΄.)· «Ὁ Υἱὸς, ἐὰν ὡς αἴτιον τὸν Πατέρα λαμϐάνῃς, οὐκ ἄναρχος· ἀρχὴ γὰρ Υἱοῦ Πατὴρ, ὡς αἴτιος»· καὶ ὁ θεῖος Δαμασκηνὸς (ά. 8)· «Ὁ Υἱὸς, οὐκ ἄναρχος, τουτέστιν οὐκ ἀναίτιος· ἐκ τοῦ Πατρὸς γάρ»· καὶ ὁ ἱερὸς Φώτιος (Ἐπις. 228)· «Οὐκ ἄναρχος καὶ ἀναίτιος ὁ Υἱὸς, ὥσπερ ὁ Πατὴρ, ἀλλ' εἰς ἀρχὴν ἀναφέρεται καὶ συμφυὲς αἴτιον τὸν γεγεννηκότα»· καὶ Γρηγόριος ὁ Παλαμᾶς (Ὁμιλ. ή.)· «οὗ (Πατρὸς) Υἱὸς εἷς συναΐδιος αὐτῷ καὶ κατὰ χρόνον συνάναρχος». Διὰ τοῦτο καθαιρεῖσθαι προστάττει καὶ ὁ μθ΄. ἀποστολικὸς Κανὼν τὸν ἐπίσκοπον ἢ πρεσϐύτερον, τὸν εἰς τρεῖς ἀνάρχους βαπτίζοντα. Δευτέραν δὲ σημασίαν τοῦ «ἄναρχος» εὑρίσκομεν ἐκείνην, καθ' ἣν λαμϐάνεται ἐπὶ ἀρχῆς χρονικῆς, καὶ τότε τὸ «ἄναρχός» ἐστιν ἴσον τῷ «ἄχρονος». Κατὰ τοῦτο τὸ σημαινόμενον ἄναρχος λέγεται καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα· «Ἐὰν τὴν ἀπὸ χρόνου νοῇς ἀρχὴν, καὶ ἄναρχος ὁ Υἱός· οὐκ ἄρχεται γὰρ ὑπὸ χρόνου ὁ χρόνων δεσπότης»· Γρηγόριος Θεολ. (Λόγ. κ΄.)· καὶ ὁ Δαμασκηνὸς (ά. 8)· «Εἰ δὲ τὴν ἀπὸ χρόνου λάϐοις ἀρχὴν, καὶ ἄναρχος ὁ Υἱός· ποιητὴς γὰρ χρόνων, οὐχ ὑπὸ

προκοπὴν υἱοθεσίας ἐλθόντα, ἀλλ᾽ υἱὸν ἀεὶ γεννηθέντα [1]) ἀπεριεργάστῳ καὶ ἀκαταλήπτῳ τῇ γεννήσει. Καὶ πρωτότοκον ὁμοίως ἀκούων [2]), μὴ νομίσῃς εἶναι κατὰ τοὺς ἀνθρώπους· οἱ μὲν γὰρ ἐν ἀνθρώ-

---

χρόνον». Φησὶ δὲ καὶ ὁ Θεοφύλακτος (εἰς τὴν πρὸς Ἑβρ. κεφ. Ζ΄.)· «Ἄναρχος κατὰ τὴν ὑπὸ χρόνου ἀρχήν, εἰ καὶ τὸν Πατέρα ἔχει ἀρχὴν ὡς αἴτιον». Κατὰ ταύτην τὴν σημασίαν ἄναρχον λέγει τὸν Υἱὸν καὶ ὁ Κύριλλος ἐνταῦθα, τουτέστιν «ὑπεράνω πάσης ἀρχῆς καὶ αἰώνων», ὡς λέγει ὁ Πατὴρ κατωτέρω· ἢ «ἀνάρχως γεγεννημένον» (§ 7), «ἀϊδίως καὶ πρὸ αἰώνων ἐκ Πατρὸς γεγεννημένον (§ 13). Ἀμφοτέρας ταύτας τὰς σημασίας τοῦ «ἄναρχος» εἰς πλάτος ἀνέπτυξεν ὁ θαυμάσιος Γρηγόριος Νύσσης (κατὰ Εὐνομ. Λόγ. ά. σελ. 396).

[1]) Τὸ «ἀεὶ» ἐνταῦθα ἐκληπτέον ἀντὶ ἀνάρχως καὶ ἀϊδίως, ὡς καὶ κατωτέρω (§ 8) εἶπεν ὁ Κύριλλος· «Ἀεὶ ἔχει τὸν Υἱόν». Πρβ. § 7. «γεγεννημένος ἀνάρχως» καὶ § 13. «ἀϊδίως ἐκ Πατρὸς γεγεννημένος». Ὅθεν καὶ ὁ Μ. Ἀθανάσιος εἶπε τὸν Υἱὸν καὶ Λόγον «ἀΐδιον γέννημα τοῦ Πατρός» (Τόμ. ά. σελ. 145).

[2]) Εἴληφεν ὁ Πατὴρ τὴν λέξιν «πρωτότοκος» ἐκ τοῦ προτεθέντος ἐν ἀρχῇ τῆς Κατηχήσεως ἀναγνώσματος, ἐν ᾧ μετ᾽ ἄλλων γέγραπται· «καὶ ὅταν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην». Καὶ ταύτην τὴν ῥῆσιν ἁρπάζοντες οἱ Ἀρειανοί, διαστρέφουσι καὶ παρερμηνεύουσιν, ἵν᾽ ἐκ ταύτης δείξωσιν ὅτι κτίσμα ὁ Υἱὸς καὶ Λόγος. Πρὸς τούτους ἀπαντῶν ὁ Κύριλλος; διδάσκει πῶς ἐκληπτέον τὸ «πρωτότοκος», καὶ φαίνεται ὅτι ἐκλαμβάνει ὁ Πατὴρ τὴν λέξιν ἐνταῦθα ἐπὶ τῆς ἀνάρχου καὶ προαιωνίου γεννήσεως τοῦ Υἱοῦ καὶ Λόγου. Ταύτην τὴν γνώμην ἔχουσι καὶ ἄλλοι Πατέρες· οἷον ὁ Θεοδώρητος (εἰς τὴν πρὸς Κολοσ. κεφ. ά.), Γρηγόριος ὁ Νύσσης (Τόμ. Γ΄. σελ. 1112. ἐκδ. Migne), ὁμοίως καὶ ὁ Δαμασκηνὸς (ἔκδ. Ὀρθ. πίσ. δ΄. 8), καὶ ὁ Θεοφύλακτος, καὶ ὁ Οἰκουμένιος. Ταύτην τὴν ἔννοιαν δηλοῖ καὶ τὸ τροπάριον τῆς Γ΄. ᾠδῆς τοῦ Κανόνος τῆς Ὑπαπαντῆς· «Ὁ πρωτότοκος ἐκ τοῦ Πατρὸς πρὸ αἰώνων» κτλ. Τοῦτο δὲ τὸ τροπάριον ἑρμηνεύων καὶ ὁ ἀνώνυμος Ἑρμηνευτὴς τῶν Κανόνων, λέγει· «Πρωτότοκός ἐστιν ὁ πρῶτος γεννηθείς, εἴτε μονογενής, εἴτε καὶ πρὸ τῶν ἄλλων ἀδελφῶν. Εἰ μὲν οὖν ἐλέγετο ὁ Υἱὸς τοῦ Θεοῦ πρωτότοκος, μονογενὴς δὲ οὐκ ἐλέγετο, ὑπενοήσαμεν ἂν κτίσμα τὸν αὐτὸν εἶναι κατὰ τοὺς Ἀρειανούς, πρωτότοκον αὐτὸν ὡς κτίσμα ὑπάρχοντα· ἐπειδὴ δὲ καὶ πρωτότοκος καὶ μονογενὴς λέγεται, δεῖ καὶ ἀμφότερα ἐπ᾽

ποις πρωτότοκοι καὶ ἄλλους ἔχουσιν ἀδελφούς, καί που γέγραπται·

αὐτοῦ τηρεῖν· ὅθεν καὶ πρωτότοκον αὐτὸν φαμὲν πάσης κτίσεως, ἐπειδὴ καὶ αὐτὸς ἐκ τοῦ Θεοῦ, καὶ ἡ κτίσις ἐκ τοῦ Θεοῦ· ἀλλ'αὐτὸς μὲν, ἐκ τῆς οὐσίας τοῦ Πατρὸς μόνος ἀχρόνως γεγεννημένος, εἰκότως Υἱὸς μονογενὴς πρωτότοκος, καὶ οὐ πρωτόκτιστος λεχθήσεται· ἡ δὲ κτίσις οὐκ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, ἀλλὰ θελήματι αὐτοῦ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθη» (Ἑορτοδρ. σελ. 183). Εἰς τὴν ἔνστασιν, «εἰ πρωτότοκος ὁ Υἱὸς, οὐκέτι μονογενὴς, ἀλλ' ὀφείλει καὶ ἄλλος εἶναι, οὗ πρωτότοκος λέγεται», ἀπαντᾷ ὁ Μ. Βασίλειος· «Καί τοι γε, ὦ σοφὲ, καὶ ἐκ Μαρίας τῆς παρθένου μόνος γεννηθεὶς, πρωτότοκος αὐτῆς εἴρηται· ἕως οὗ γὰρ ἔτεκε, φησὶ, τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον· ὥστε οὐκ ἀνάγκη ἀδελφοῦ πρωτότοκον λέγεσθαι» (κατὰ Εὐνομ. Λόγ. δ'.). Ἀλλὰ παντάπασιν ἄλλην γνώμην περὶ τοῦ «πρωτότοκος» ἔχει ὁ Μ. Ἀθανάσιος. Ὁ περιφανὴς οὗτος διδάσκαλος ἐν τοῖς πρὸς τοὺς Ἀρειανοὺς νικηφόροις αὐτοῦ παλαίσμασιν ἑρμηνεύων καὶ τὸ πρωτότοκος, ἐκλαμβάνει οὐχὶ ἐπὶ τῆς ἀνάρχου καὶ προαιωνίου γεννήσεως, ἀλλ' ἐπὶ τῆς πρὸς τὰ κτίσματα συγκαταβάσεως τοῦ Λόγου· «Εἰ δὲ πρωτότοκος τῆς κτίσεως λέγεται, ἀλλὰ διὰ τὴν πρὸς τὰ κτίσματα συγκατάβασιν τοῦ Λόγου, καθ' ἣν καὶ πολλῶν γέγονεν ἀδελφός· ὁ γάρ τοι μονογενὴς, οὐκ ὄντων ἄλλων ἀδελφῶν, μονογενής ἐστιν· ὁ δὲ πρωτότοκος διὰ τοὺς ἄλλους ἀδελφοὺς λέγεται πρωτότοκος» (Τόμ. ά. σελ. 234). Κατὰ τὸν Μ. λοιπὸν Ἀθανάσιον πρωτότοκος λέγεται ὁ Χριστὸς διὰ τὴν ἐνανθρώπησιν»· ἐπειδὴ τὸ κτιστὸν ἐνδυσάμενος, γέγονεν ἡμῶν ὅμοιος κατὰ τὸ σῶμα τοῦτο, εἰκότως καὶ ἀδελφὸς καὶ πρωτότοκος ἐκλήθη· εἰ γὰρ καὶ μεθ'ἡμᾶς γέγονεν ἄνθρωπος, καὶ ἀδελφὸς ἡμῶν διὰ τὴν τοῦ σώματος ὁμοίωσιν, ἀλλὰ καὶ ἐν τούτῳ πρῶτος λέγεται καὶ ἔστιν ἡμῶν· ἐπειδὴ πάντων τῶν ἀνθρώπων ἀπολλυμένων κατὰ τὴν παράβασιν τοῦ Ἀδὰμ, πρώτη τῶν ἄλλων ἐσώθη καὶ ἠλευθερώθη ἡ ἐκείνου σὰρξ, ὡς αὐτοῦ τοῦ Λόγου σῶμα γενομένη» (Τόμ. ά. σελ. 234). Οὕτως ἐκλαμβάνει τὸ «πρωτότοκος» καὶ ὁ Κύριλλος Ἀλεξανδρείας· «Τὸν αὐτὸν εἶναι καὶ μονογενῆ πιστεύοντες καὶ πρωτότοκον· μονογενῆ μὲν, ὡς Θεοῦ Πατρὸς Λόγον, καὶ ἐκ τῆς οὐσίας αὐτοῦ πεφηνότα· πρωτότοκον δ' αὖ, καθὸ γέγονεν ἄνθρωπος, καὶ ἐν πολλοῖς ἀδελφοῖς» (Λόγ. προσφωνητ. πρὸς τὸν βασιλ. Θεοδόσιον § 16, καὶ κατωτέρω (§ 30)· «Ὁ αὐτὸς οὖν ἄρα καὶ μονογενής ἐστι καὶ πρωτότοκος· ὁ γάρ τοι μονογενὴς ὡς Θεὸς, πρωτότοκος ἐν ἡμῖν, καθ' ἕνωσιν οἰκονομικῶς, καὶ ἐν πολλοῖς ἀδελφοῖς ὡς ἄνθρωπος». Κατὰ τὴν περὶ ἐνανθρω-

«Υἱός πρωτότοκός μου Ἰσραήλ»· ἀλλ' ὡς ὁ Ῥουβὴν, πρωτότοκος ἦν ἐκπεπτωκὼς ὁ Ἰσραήλ. Ἐκεῖνος μὲν γὰρ ἀνέβη ἐπὶ τὴν κοίτην τοῦ πατρὸς, ὁ δὲ Ἰσραὴλ τὸν υἱὸν τοῦ πατρὸς ἐκβαλὼν ἐκ τοῦ ἀμπελῶνος, ἐσταύρωσε. Καὶ πρὸς ἄλλους δέ φησιν ἡ Γραφή· «Υἱοί ἐστε Κυρίου τοῦ Θεοῦ ἡμῶν» καὶ ἀλλαχοῦ· «Ἐγὼ εἶπα θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες»· εἶπα, οὐκ ἐγέννησα· ἐκεῖνοι ἐν τῷ εἰπεῖν τὸν Θεὸν τὴν υἱοθεσίαν προσέλαβον, ἣν οὐκ εἶχον· οὗτος δὲ οὐκ ἄλλο τι ὢν, ἄλλο τι ἐγεννήθη· ἀλλὰ [1]) Υἱὸς τοῦ Πατρὸς ἐξ ἀρχῆς ἐγεννήθη, ὑπεράνω πάσης ἀρχῆς καὶ αἰώνων τυγχάνων· Υἱὸς τοῦ Πατρὸς, ἐν πᾶσιν ὅμοιος τῷ γεγεννηκότι· ἀΐδιος ἐξ ἀϊδίου Πατρὸς, ζωὴ ἐκ ζωῆς γεγεννημένος, καὶ φῶς ἐκ φωτὸς, καὶ ἀλήθεια ἐξ ἀληθείας, καὶ σοφία ἐκ σοφίας, καὶ βασιλεὺς ἐκ βασιλέως, καὶ Θεὸς ἐκ Θεοῦ, καὶ δύναμις ἐκ δυνάμεως.

§ Ε΄. Ἐὰν τοίνυν ἀκούσῃς τοῦ Εὐαγγελίου λέγοντος· «Βίβλος γεννήσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαβὶδ, υἱοῦ Ἀβραάμ»· τὸ κατὰ σάρκα νόησον. Υἱὸς μὲν γὰρ Δαβὶδ ἐπὶ συντελείᾳ τῶν αἰώνων, Υἱὸς δὲ Θεοῦ πρὸ πάντων τῶν αἰώνων, ἀνάρχως· κἀκεῖνο μὲν προσέλαβεν, ὅπερ οὐκ εἶχε· τοῦτο δὲ ὃ ἔχει, ἀϊδίως ἔχει γεννηθεὶς ἐκ Πατρός. Δύο ἔχει πατέρας· ἕνα τὸν Δαβὶδ κατὰ σάρκα, καὶ ἕνα τὸν Θεὸν Πατέρα θεϊκῶς· ἀλλὰ τὸ μὲν κατὰ τὸν Δαβὶδ καὶ χρόνῳ ὑποβάλλεται καὶ ψηλαφᾶται καὶ γενεαλογεῖται· τὸ δὲ κατὰ τὴν θεότητα οὔτε χρόνῳ ὑποβάλλεται, οὔτε τόπῳ, οὔτε γενεαλογεῖται· «τὴν γὰρ γενεὰν αὐτοῦ τίς διηγήσεται;» Πνεῦμα ὁ Θεός· ὁ πνεῦμα ὢν, πνευματι-

---

πήσεως ἔννοιαν ἐξέλαβε τὸ «πρωτότοκος» καὶ ὁ Γρηγόριος Νύσσης (κατὰ Εὐνομ. Λόγ. ά. καὶ Λόγ. γ΄.), καὶ ὁ Θεοδώρητος (εἰς ψαλμ. 88). Ὅρα ἄριστα λέγοντα περὶ τούτου τὸν Φώτιον (Ἀμφιλ. Ζήτ. 162).

[1]) Ἐντεῦθεν ἕως τοῦ τέλους τοῦ παραγράφου τούτου πολλὰ μετέβαλλε καὶ, μὴ κείμενα πρότερον ἐν ταῖς ἐκδόσεσι, προσέθηκεν ὁ Τουτέος ἐξ ἄλλων Κωδήκων. Ἐπειδὴ δὲ ἅπαντα εὔλογα ἡμῖν ἔδοξε καὶ ὀρθὰ, ἐτηρήσαμεν ταῦτα ἀπαραλλάκτως καὶ ἐν τῷ ἡμετέρῳ κειμένῳ, ὅπως ἐξέδωκεν ὁ Τουτέος.

κῶς ἐγέννησεν ὡς ἀσώματος, ἀπεριέργαστον καὶ ἀκατάληπτον γέννησιν [1]). Ὁ αὐτὸς Υἱὸς λέγει περὶ τοῦ Πατρός· «Κύριος εἶπε πρός με, υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε». Τὸ δὲ σήμερον, οὐ πρόσφατον, ἀλλ᾽ ἀΐδιον [2])· τὸ σήμερον ἄχρονον, πρὸ πάντων τῶν αἰώνων· «Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε».

---

[1]) Πολλάκις καὶ ὁ ἱερὸς Κύριλλος ἐν ταῖς Κατηχήσεσι, καὶ μάλιστα ἐν τῷ ἑξῆς Ζ΄. παραγράφῳ, καὶ ὁ Μ. Ἀθανάσιος ἐν τοῖς κατὰ τῶν Ἀρειανῶν λόγοις, καὶ ἄλλοι συχνοὶ Πατέρες ὑπομιμνήσκουσι καὶ διδάσκουσιν, ὅτι οὐ δεῖ παραβάλλειν τὴν γέννησιν τοῦ Υἱοῦ καὶ Λόγου πρὸς τὰς ἀνθρωπίνους γεννήσεις, ἵνα μὴ εἰς βλασφήμους ἐννοίας πέσωμεν, ὥσπερ οἱ θεομάχοι Ἀρειανοὶ, οἵτινες, «ἵνα μὴ τὸν Υἱὸν εἰκόνα τοῦ Πατρὸς ὁμολογήσωσι, σωματικὰ καὶ γήϊνα περὶ αὐτοῦ τοῦ Πατρὸς φρονοῦσι, τομὰς καὶ ἀποῤῥοίας καὶ ἐπιῤῥοίας κατηγοροῦντες κατ᾽ αὐτοῦ» (Ἀθαν. σελ. 151). Πνεῦμα δὲ ὢν ὁ Θεὸς, πνευματικῶς ἐγέννησε καὶ τὸν Λόγον, κατὰ τὸν ἱερὸν Κύριλλον. Παραπλησίως τούτῳ εἶπε καὶ Ἐπιφάνιος· «Πνεῦμα ὢν ἀπαθὲς, καὶ γεννῶν Πνεῦμα ἀπαθῶς· Θεὸς ὢν ἀπαθὴς, Θεὸν ἀληθινὸν γεννήσας ἀπαθῶς» (Τόμ. ά. σελ. 750)· καὶ πάλιν· «Πνεῦμα οὖν ὁ Θεὸς, καὶ πνεῦμα ἀνάρχως καὶ ἀχρόνως τὸν Υἱὸν ἐγέννησε» (σελ. 759). Πόῤῥω λοιπὸν ἀφ᾽ ἡμῶν ἔστω πᾶσα ἔννοια σωματικῆς γεννήσεως, ὁσάκις περὶ τῆς ἀνεκφράστου καὶ ἀκαταλήπτου γεννήσεως τοῦ Υἱοῦ καὶ Λόγου λαλοῦμεν. Κείσθω δὲ καὶ διηνεκὴς ὑπόμνησις τῆς παραινέσεως ταύτης ἡ περικοπὴ αὕτη τοῦ Μ. Ἀθανασίου· «Ὅτι δὲ οὐ δεῖ τὴν περὶ Θεοῦ γέννησιν παραβάλλειν τῇ τῶν ἀνθρώπων φύσει, καὶ νομίζειν μέρος εἶναι τοῦ Θεοῦ τὸν Υἱὸν αὐτοῦ, ἢ ὅλως τι πάθος σημαίνειν τὴν γέννησιν, φθάσαντες μὲν εἴπομεν ἐν τοῖς ἔμπροσθεν· καὶ νῦν δὲ ταῦτα φαμέν· οὐκ ἔστιν ὡς ἄνθρωπος ὁ Θεός· ἄνθρωποι μὲν γὰρ παθητικῶς γεννῶσι ῥευστὴν ἔχοντες φύσιν, καὶ χρόνους ἀναμένοντες διὰ τὴν ἀσθένειαν τῆς ἰδίας φύσεως· ἐπὶ δὲ Θεοῦ τοῦτο λέγειν οὐκ ἔστι» (Τόμ. Ά. σελ. 156). Ὅρα καὶ τὴν σημείωσιν εἰς Κατήχ. Ζ΄. § 5.

[2]) Ἐν τοῖς Κώδ. R., C. εὕρηται ἄλλως κειμένη ἡ περίοδος αὕτη. Μετὰ τὸ «γεγέννηκά σε» ἀκολουθοῦσι ταῦτα· «Τὸ εἶ σὺ, ἄχρονον καὶ ἀΐδιον· τὸ δὲ σήμερον πρόσφατον, ἀλλ᾽ οὐκ ἀΐδιον, οἰκειουμένου τοῦ Πατρὸς καὶ τὴν κάτω γέννησιν· καὶ πάλιν λέγει· Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε· τοῦτο μόνον τῆς θεότητος· Πίστευσον κτλ.» Ἀλλ᾽ αἱ δύο

§ ϛ'. Πίστευσον τοίνυν εἰς Ἰησοῦν Χριστὸν, Υἱὸν Θεοῦ ζῶντος, Υἱὸν δὲ Μονογενῆ, κατὰ τὸ Εὐαγγέλιον τὸ λέγον· « Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν Μονογενῆ ἔδωκεν, ἵνα ὁ πιςεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον »· καὶ πάλιν· « ὁ πιστεύων εἰς τὸν Υἱὸν οὐ κρίνεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν· ὁ δὲ ἀπειθῶν τῷ Υἱῷ οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μένει ἐπ' αὐτὸν, ὅτι οὐκ ἐπίστευσεν εἰς τὸν Υἱὸν τοῦ Θεοῦ τὸν Μονογενῆ », περὶ οὗ μαρτυρῶν ὁ Ἰωάννης ἔλεγε· « Καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας »· ὃν τρέμοντες οἱ δαίμονες, ἔλεγον· « Ἔα, τί ἡμῖν καί σοὶ, Ἰησοῦ, Υἱὲ τοῦ Θεοῦ τοῦ ζῶντος »;

αὗται γραφαὶ ἀποδιδόασι δύο πάντη διάφορα νοήματα· ἄλλο τὸ νόημα τοῦ κειμένου, ὅπερ ἡμεῖς παρεδεξάμεθα, καὶ πρὸς ὃ συμφωνεῖ καὶ ὁ Κώδηξ Α., καὶ ἄλλο τὸ νόημα τῶν δύο Κωδήκων ἐκείνων. Κατὰ μὲν γὰρ τὸ ἡμέτερον κείμενον τὸ « σήμερον » λαμβάνεται ἐπὶ τῆς ἀνάρχου καὶ προαιωνίου γεννήσεως τοῦ Υἱοῦ καὶ Λόγου· οὕτως ἐξέλαβεν αὐτὸ ὁ Κύριλλος καὶ ἐν Κατηχ. Ζ'. § 2. Ἐπὶ τῆς ἀϊδίου ἐκ Πατρὸς γεννήσεως ἐξεδέξατο τὴν ῥῆσιν καὶ Θεόδωρος ὁ Ἡρακλεώτης, καὶ Θεοφύλακτος (εἰς τὸ ά. κεφ. τῆς πρὸς Ἑβρ.) καὶ ἄλλοι· ἀλλ' ἡ γραφὴ τῶν δύο Κωδήκων ἐκλαμβάνει τὸ « σήμερον γεγέννηκά σε » ἐπὶ τῆς κάτω καὶ ἀνθρωπίνης γεννήσεως τοῦ Σωτῆρος, καὶ ἡ γνώμη αὕτη ἐστὶν ἡ κοινοτέρα ἐν τοῖς ἐκκλησιαστικοῖς Πατράσι. Τὴν κατὰ σάρκα γέννησιν τοῦ Υἱοῦ καὶ Λόγου κατεῖδον ἐν τῇ ψαλμικῇ ταύτῃ ῥήσει Κύριλλος Ἀλεξ. (Διάλ. ἑ. περὶ τῆς ἁγίας Τριάδος), Θεοδώρητος (εἰς ψαλμ. β'. 7), Γρηγόρ. Νύσσης (Ὁμιλ. β'. εἰς τὸν Ἐκκλησιαςὴν), Χρυσόστομος (Ὁμιλ. β'. εἰς τὴν πρὸς Ἑβρ.), Μεθόδιος (παρὰ τῷ Φωτίῳ, βιβλιοθ. 237) καὶ ἄλλοι. Ὅρα καὶ Ἄνθιμον (Ἑρμην. εἰς ψαλμ. β'. 7.). Ἐπειδὴ δὲ ὁ Κύριλλος ἀνωτέρω ἐν τῇ ἀρχῇ τοῦ παραγράφου τούτου διέλαβε περὶ τῶν δύο φύσεων καὶ γεννήσεων τοῦ Σωτῆρος, οὐκ ἀδόκιμος, μᾶλλον δὲ προσφυεστάτη εὑρίσκεται καὶ ἡ γραφὴ τῶν δύο Κωδήκων, καθ' ἣν τάττεται καὶ ὁ Κύριλλος ἐν τοῖς πλείοσι Πατράσι, τὸ « σήμερον » ἐπὶ τῆς κάτω γεννήσεως ἐκλαβοῦσιν. Ἀλλ' ὅμως ἐτηρήσαμεν ἐν τῷ κειμένῳ καὶ ἡμεῖς τὴν ἐν πάσαις ταῖς ἐκδόσεσι τηρηθεῖσαν γραφήν.

§ Ζ΄. Υἱὸς τοίνυν τοῦ Θεοῦ ἐστι φύσει, καὶ οὐ θέσει, γεννηθεὶς ἐκ Πατρός· καὶ ὁ μὲν ἀγαπῶν τὸν γεννήσαντα, ἀγαπᾷ καὶ τὸν γεγεννημένον ἐξ αὐτοῦ· ὁ δὲ ἀθετῶν τὸν γεγεννημένον, ἀναπέμπει τὴν ὕβριν εἰς τὸν γεγεννηκότα [1]). Γεννῶντα δὲ Θεὸν ὅταν ἀκούσῃς, μὴ καταπέσῃς εἰς σώματα, μηδὲ [2]) φθαρτὴν γέννησιν ὑπολάβῃς, ἵνα μὴ ἀσεβήσῃς· πνεῦμα ὁ Θεός, πνευματικὴ ἡ γέννησις [3])· τὰ μὲν γὰρ σώματα γεννᾷ σώματα, καὶ χρεία τοῖς σώμασι γεννωμένοις χρόνον μεσιτεύειν· μεσίτης δὲ τῆς ἐκ Πατρὸς Υἱοῦ γεννήσεως χρόνος οὐκ ἔστι· καὶ ὧδε μὲν γεννᾶται τὸ γεννώμενον ἀτελές, ὁ Υἱὸς δὲ τοῦ Θεοῦ τέλειος ἐγεννήθη [4])· ὅπερ γὰρ νῦν ἐστι, τοῦτο καὶ ἐξ ἀρχῆς ἐστι γεγεννημένος ἀνάρχως· ἡμεῖς γεννώμεθα, ἐξ ἀμαθείας νηπιώδους εἰς λογιότητα μεταβαίνοντες. Ἀτελής, ἄνθρωπε, ἡ σὴ γέννησις· ἐκ προκοπῆς γὰρ ἡ πρόσληψις· ἐκεῖ δὲ οὕτω μὴ νόμιζε, μηδὲ ἀσθένειαν κατηγόρει τοῦ γεγεννηκότος· εἰ γὰρ ἀτελὲς μὲν ἐγέννησε, χρόνῳ δὲ τοῦτο προσέλαβε τὸ τέλειον, ἀσθένειαν κατηγορεῖς τοῦ γεγεννηκότος· εἴ γε ὃ χρόνοις [5]) ὕστερον ἐχαρίσατο, κατὰ σὲ τοῦτο ἐξ ἀρχῆς οὐκ ἐχαρίσατο.

---

[1]) Παραπλήσια καὶ τὰ τοῦ ἱεροῦ Ἐπιφανίου (Τόμ. ά. σελ. 804).

[2]) Ἐγράψαμεν «μηδὲ» ἐκ τοῦ Κώδ. Α. ἀντὶ τοῦ ἁπλοῦ «μὴ» κειμένου ἐν ταῖς ἐκδόσεσι.

[3]) Εἶπε καὶ ἀνωτέρω (§ 5) ὁ Κύριλλος «Πνεῦμα ὁ Θεός· ὁ πνεῦμα ὢν πνευματικῶς ἐγέννησεν ὡς ἀσώματος».

[4]) Ὅμοια λέγει καὶ ὁ Μ. Ἀθανάσιος· «Οὐδὲ ὡς ἄνθρωπος ἐξ ἀνθρώπων γεγέννηται ὁ Υἱός, ἵνα καὶ ὑςερίζῃ τῆς πατρῴας ὑπάρξεως· ἀλλὰ Θεοῦ γέννημά ἐστι, καὶ Θεοῦ τοῦ ἀεὶ ὄντος ἴδιος ὢν υἱός, ἀϊδίως ὑπάρχει» (Τόμ. Α. σελ. 145).

[5]) Ἐν ταῖς πρὸ τοῦ Τουτέου ἐκδόσεσιν ἡ φράσις αὕτη ἔκειτο οὕτως· «Εἴ γε ἃ χρόνοις ὕςερον ἐχαρίσατο»· ὁ Τουτέος μετέβαλε τὸ «ἃ χρόνοις» εἰς τὸ «ὃ χρόνος» ἐκ τῶν Κωδ. R., C., Coisl. Ἀλλ' ἡμεῖς τῆς πρώτης μόνον λέξεως τὴν μεταβολὴν ἐδεξάμεθα, ἵνα κάλλιον ἀντιστοιχῇ τὸ «ὃ» πρὸς τὸ κατωτέρω «τοῦτο»· ἐτηρήσαμεν ὅμως τὴν ἀρχαίαν γραφὴν «χρόνοις», πρὸς ἣν συμφωνεῖ καὶ ὁ Κώδ. Α. Ἡ γλαφυρὰ φράσις «χρόνῳ ὕστερον» ἐστὶ συνηθεστάτη τοῖς ἐκκλησιαστικοῖς. Κατωτέρω ὁ Του-

§ Η'. Μὴ τοίνυν ἀνθρωπίνην εἶναι νομίσῃς τὴν γέννησιν· μηδὲ ὥσπερ ἐγέννησεν Ἀβραὰμ τὸν Ἰσαάκ. Ἀβραὰμ γὰρ τὸν Ἰσαὰκ ἐγέννησεν, ἀλλ' οὐχ ὅν περ ἐβούλετο ἐγέννα, ἀλλ' ὅν περ ἄλλος ἐχαρίζετο· τοῦ δὲ Θεοῦ καὶ Πατρὸς γεννῶντος, οὔτε ἄγνοιά ἐστιν οὔτε σκέψις ἐν μέσῳ [1])· τὸ γὰρ εἰπεῖν ὅτι ἠγνόει τὸ γεννώμενον, ἀσέβεια μεγίστη· καὶ τὸ εἰπεῖν ὅτι χρόνοις σκεψάμενος ὕστερον πατὴρ ἐγένετο, τῆς αὐτῆς ἀσεβείας ἐστίν»· οὐ γὰρ πρότερον ὢν ὁ Θεὸς ἄπαις, ὕστερον ἐν χρόνοις ἐγένετο πατήρ, ἀλλ' ἀεὶ ἔχει τὸν υἱόν, γεννήσας αὐτὸν οὐχ ὡς ἄνθρωποι ἀνθρώπους, ἀλλ' ὡς αὐτὸς οἶδε μόνος ὁ γεννήσας αὐτὸν πρὸ πάντων τῶν αἰώνων, Θεὸν ἀληθινόν.

τέος μετὰ τὸ «ἐξ ἀρχῆς» ἔθηκεν «ὁ γεννήτωρ» ἐξ αὐθεντίας δύο Κωδ. R., C., ἀλλ' ἐπειδὴ λείπει ἡ λέξις αὕτη ἐκ πάντων τῶν λοιπῶν Κωδήκων καὶ ἐκδόσεων, οὔτε ὅλως ἀναγκαία δοκεῖ, ὡς ἐννοουμένης ἀπὸ κοινοῦ τῆς μετοχῆς «γεγεννηκὼς», διὰ τοῦτο παρελίπομεν αὐτήν.

[1]) Τὴν ἐν δόλῳ ὑπὸ τῶν Ἀρειανῶν συνεσκευασμένην πλεκτάνην λύει καὶ διασπᾷ ἐνταῦθα ὁ Κύριλλος· ἠρώτων γὰρ οἱ χριστομάχοι οὗτοι τοὺς ἁπλουστέρους διλημματικώτερον, πότερον θελήματι καὶ βουλήσει γεννᾷ ὁ Πατὴρ τὸν Υἱὸν, ἢ ἀβουλήτως καὶ ἀθελήτως. Εἰ μὲν οὖν βουλήσει, ἄρα προεβουλεύσατο καὶ ἐσκέψατο ὁ Πατὴρ πρὸ τοῦ τὸν Υἱὸν γεννῆσαι· ἦν ἄρα ὅτε οὐκ ἦν ὁ Υἱός. Εἰ δὲ ἀβουλήτως καὶ ἀθελήτως, παρὰ γνώμην ἄρα καὶ ἐν ἀγνοίᾳ καὶ κατ' ἀνάγκην ἐγέννησεν ὁ Πατὴρ τὸν Υἱὸν, ὅπερ δυσσεβές. Τὰς ἄρκυς ταύτας τῶν Ἀρειομανιτῶν διὰ μακρῶν ἐκπομπεύει ὁ πολὺς Ἀθανάσιος, καὶ δείκνυσιν αὐτὰς ἀραχνίων νημάτων ἀσθενεστέρας, καὶ μηδὲν ἄλλο ἢ τὴν ἄνοιαν τῶν ταύτας ἐξυφαινόντων στηλιτευούσας. Τὰ τῆς πλάνης ταῦτα ὑψώματα τῇ σάλπιγγι τῆς ὀρθοδοξίας καθαιρῶν καὶ καταλύων ὁ τῆς ἀθανασίας ἐπώνυμος, βοᾷ· «Οὐ βουλήσει γεννᾶται ὁ Υἱός, ἀλλὰ φύσει καὶ ἀληθείᾳ—μαίνοιτο γὰρ ἄν τις μεταξὺ τιθεὶς Πατρὸς καὶ Υἱοῦ βούλησιν καὶ σκέψιν. Τὸ δὲ, ὁ Πατὴρ θέλει τὸν Υἱὸν, καὶ ὁ Λόγος θέλει τὸν Πατέρα, οὐ βούλησιν προηγουμένην δείκνυσιν, ἀλλὰ φύσεως γνησιότητα, καὶ οὐσίας ἰδιότητα καὶ ὁμοίωσιν γνωρίζει· ὥσπερ ἐπὶ τοῦ ἀπαυγάσματος ἄν τις εἴποι καὶ τοῦ φωτὸς» (Ἀθαν. Τόμ. ά. σελ. 300) — «Οἱ δὲ ἐπιλανθανόμενοι ὅτι περὶ τοῦ Υἱοῦ ἀκούουσι, τολμῶσιν ἀνθρωπίνας ἀντιθέσεις λέγειν» (Ἀθαν. Τόμ. ά. σελ. 297).

§ Θ'. Θεὸς γὰρ ἀληθινὸς ὢν ὁ Πατὴρ, ὅμοιον ἑαυτῷ ἐγέννα τὸν Υἱὸν, Θεὸν ἀληθινόν· [1]) οὐχ ὡς διδάσκαλοι γεννῶσι μαθητὰς, οὐχ

---

[1]) Ἡ φράσις «ἀληθινὸς Θεὸς» ἐπὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ λεγομένη (Α. Ἰωάν. έ. 20), ὡς ἀμφίστομος μάχαιρα συγκόπτει καὶ σφάζει πᾶσαν αἵρεσιν, τὸ ταὐτὸν καὶ ἀπαράλλακτον τῆς οὐσίας τοῦ Πατρὸς καὶ Υἱοῦ ἀρνουμένην καὶ κατὰ τοῦ ὁμοουσίου βλασφημοῦσαν· ἐπειδὴ γὰρ καὶ ἄνθρωποι ἐν ταῖς Γραφαῖς καλοῦνται Θεοὶ (Ἔξοδ. κϐ'. 28. Ψαλμ. πά. θ. Θεοδώρητ. Ἐρώτ. νά. εἰς Ἔξοδ. Γρηγόρ. Νύσσης κατὰ Εὐνομ. Λόγ. ιϐ'. Φώτιος Ἐπις. 162), οἱ Ἀρειανοὶ, οἱ κτίσμα καὶ ποίημα τὸν Χριστὸν εἶναι λέγοντες, συνῄνουν μὲν καὶ συγκατετίθεντο καὶ πλατεῖ στόματι ὡμολόγουν Θεὸν εἶναι τὸν Χριστὸν, ἀλλὰ Θεὸν μετοχῇ μόνον καὶ χάριτι, ὡς πάντες οἱ ἄνθρωποι, οὐχὶ φύσει καὶ ἀληθείᾳ· «Φάσκουσι μὴ εἶναι τὸν Χριστὸν ἀληθινὸν Θεὸν, ἀλλὰ κατὰ μετοχὴν καὶ αὐτὸν, ὡς πάντας, λέγεσθαι Θεόν»· Μ. Ἀθανάσιος (Τόμ. ά. σελ. 125)· καὶ πάλιν «Εἰπεῖν δὲ πάλιν ἐτόλμησεν, ὅτι οὐδὲ Θεὸς ἀληθινός ἐστιν ὁ Λόγος· εἰ δὲ καὶ λέγεται θεὸς, ἀλλ' οὐκ ἀληθινός ἐστιν, ἀλλὰ μετοχῇ χάριτος» (Τόμ. ά. σελ. 138 καὶ 141)· καὶ ὁ Ἐπιφάνιος (ἐν τῷ Ἀγκυρωτῷ σελ. 7)· «Ἀρειανοὶ Θεὸν θετὸν λέγουσι, καὶ οὐκ ἀληθινόν». Κατὰ τῆς τοιαύτης οὖν δυσσεβείας, τὸν Υἱὸν τοῦ Θεοῦ εἰς κτίσμα καὶ ποίημα καταγούσης, πολλάκις τε καὶ πλειστάκις ὅ τε Μ. Ἀθανάσιος καὶ οἱ λοιποὶ Διδάσκαλοι ἀντιτάττουσι τὸ «ἀληθινὸς Θεός», ὅπερ ἐστὶν ἰσοδύναμον τῷ «φύσει Θεός»· «Τῇ γὰρ τοῦ ἀληθινοῦ Θεοῦ ὁμολογίᾳ πάντα συμπεριλαμβάνεται τὰ εὐσεβῆ καὶ σώζοντα ἡμᾶς νοήματα»· Γρηγόριος Νύσσης (Ἐπις. πρὸς Εὐσταθίαν καὶ Ἀμβροσίαν). Ὅθεν καὶ ὁ ἱερὸς Κύριλλος πολλάκις χρῆται τῇ φράσει ταύτῃ τὴν θεότητα τοῦ Μονογενοῦς ὀρθοδόξως ἀνακηρύττων (Κατήχ. ί. § 6. Κατήχ. ιά. § 8). Τοῦτ' αὐτὸ καὶ ἡ Ἐκκλησία ἀνακηρύττει καθ' ἑκάστην ἐν πάσῃ ἀπολύσει τοῦ τε ἑσπερινοῦ, καὶ τοῦ ὄρθρου καὶ τῆς θείας μυσταγωγίας ἐπαναλαμβάνουσα· «Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν». Κατὰ τῶν μὴ ὁμολογούντων Θεὸν ἀληθινὸν τὸν Χριστὸν ἀνάθεμα ἐξεφώνησε καὶ ὁ ἱερὸς Δάμασος Πάπας Ῥώμης «Εἴ τις μὴ εἴπῃ ἀληθινὸν Θεὸν τὸν Υἱὸν τοῦ Θεοῦ, ὡς ἀληθινὸν Θεὸν τὸν Πατέρα αὐτοῦ, ἀνάθεμα ἔστω»· Θεοδώρητος (Ἐκκλ. Ἱς. έ. 11)· καὶ ἡ ἐν Σαρδικῇ Σύνοδος (τῷ 347)· «Ἀποκηρύττομεν δὲ ἐκείνους καὶ ἐξορίζομεν τῆς καθολικῆς Ἐκκλησίας, τοὺς διαβεβαιουμένους, ὅτι Θεός ἐστιν ὁ Χριστὸς δηλονότι, ἀλλὰ μὴν Θεὸς ἀληθινὸς οὐκ ἔστιν» (παρὰ τῷ Θεο-

ὡς Παῦλος φησί τισι· «Ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα». Ὧδε μὲν γὰρ ὁ μὴ κατὰ φύσιν υἱὸς ὢν διὰ τῆς μαθητείας υἱὸς ἐγένετο· ἐκεῖ δὲ φυσικὸς υἱὸς, ἀληθὴς υἱός. Οὐχ ὡς ὑμεῖς οἱ φωτιζόμενοι νῦν γίνεσθε υἱοὶ τοῦ Θεοῦ· γίνεσθε γὰρ καὶ ὑμεῖς υἱοὶ, ἀλλὰ θέσει κατὰ χάριν, ὡς γέγραπται· «Ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ, οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν». Καὶ ἡμεῖς μὲν γεννώμεθα ἐξ ὕδατος καὶ πνεύματος, οὐχ οὕτω δὲ ἐγεννήθη Χριστὸς ἐκ Πατρός· κατὰ τὸν καιρὸν γὰρ τοῦ βαπτίσματος προσφωνῶν καὶ λέγων· «Οὗτός ἐστιν ὁ Υἱός μου»· οὐκ εἶπεν, οὗτος νῦν γέγονεν Υἱός μου, ἀλλ' οὗτός ἐστιν ὁ Υἱός μου· ἵνα δηλώσῃ ὅτι καὶ πρὸ τῆς τοῦ βαπτίσματος ἐνεργείας Υἱὸς ἦν.

§ Ι΄. Ἐγέννησεν ὁ Πατὴρ τὸν Υἱὸν, οὐχ ὡς ἐν ἀνθρώποις γεννᾷ νοῦς λόγον [1]· ὁ μὲν γὰρ νοῦς ἐν ἡμῖν ἀνυπόστατός ἐστιν, ὁ δὲ λό-

---

δωρήτῳ Ἐκκλησ. Ἱς. β΄. 8). Σημείωσαι ὅτι πρὸς τοὺς θεολογικοὺς τούτους ὅρους «ἀληθινὸς Θεὸς» καὶ «φύσει Θεὸς» ἰσοδυναμεῖ ἡ φράσις· «ἐξ ἑαυτοῦ Θεὸς», ᾗ χρῆται ὁ ἱερὸς Μεθόδιος (ἐν τῷ εἰς τὸν Συμεῶνα καὶ εἰς τὴν Ἄνναν Λόγῳ)· «ἐξ ἑαυτοῦ καὶ οὐ κατὰ χάριν Θεός».

[1]) Ἵνα παραστήσωσιν οἱ Πατέρες τὸ ἀπαθὲς τῆς τοῦ Λόγου γεννήσεως, φέρουσιν εἰς παράδειγμα τὸν ἀνθρώπινον νοῦν καὶ λόγον· καθὼς δηλονότι ὁ ἐν τῷ ἀνθρώπῳ νοῦς γεννῶν τὸν λόγον οὔτε πάσχει, οὔτε τέμνεται, οὔτε ῥεῖ, οὔτ' ἄλλο τι τῶν σωματικῶν ὑφίσταται, οὕτω καὶ ἡ θεία καὶ ἀκατάληπτος γέννησις, ἀπαθὴς ὅλως οὖσα, οὔτε πάθος, οὔτε ῥεῦσιν, οὔτε μερισμόν τινα ὑφίσταται. Εἰς δήλωσιν οὖν τούτου δὴ τοῦ ἀπαθοῦς πολλοὶ Πατέρες χρῶνται τῷ παραδείγματι τῆς τοῦ ἀνθρωπίνου λόγου γεννήσεως· οὕτως ὁ Θεοδώρητος (Ἐπιτομ. τῶν θείων δογμ. Κεφ. β΄.). Βλ. καὶ Μ. Βασίλειον (ἐν ἀρχῇ τοῦ κατὰ Ἰωάνν. Εὐαγγελίου καὶ Τόμ. β΄. σελ. 191). Τὴν παρομοίωσιν ταύτην ἔχουσι καὶ Γρηγόριος Ναζ. (Λόγ λ΄. σελ. 554), καὶ Κύριλλος Ἀλεξ. (ἐν τοῖς θησαυροῖς Λόγ. ς΄.), καὶ Γρηγόριος Νύσσης (Τόμ. β΄. σελ. 27), καὶ Δαμασκηνὸς (ά. 6), καὶ Θεοφύλακτος (εἰς τὸ ά. κεφ. τοῦ Ἰωάννου). Ἀλλὰ καὶ τῷ παραδείγματι τούτῳ κατεχρήσαντο οἱ αἱρετικοὶ, ἀποδόντες εἰς τὸν Υἱὸν καὶ Λόγον τὰ ἰδιώματα τοῦ ἀν-

γος, λαληθεὶς καὶ εἰς ἀέρα διαχυθεὶς, ἀπόλλυται· ἡμεῖς δὲ οἴδαμεν τὸν Χριστὸν γεννηθέντα λόγον οὐ προφορικὸν, ἀλλὰ λόγον ἐνυπόςα-

---

θρωπίνου λόγου· καθὼς δηλονότι ὁ ἀνθρώπινος λόγος ἐστὶν ἀνυπόστατος καὶ εἰς ἀέρα διαχεόμενος, οὕτως ἀνυπόστατον καὶ μὴ καθ' ἑαυτὸν ὑφεστῶτα ἐκήρυξαν καὶ τὸν Υἱὸν καὶ Λόγον. Τοιαύτην βλασφημίαν ἐξήμεσεν ὁ Πραξέας, ὃς οὐδὲν ἄλλο ἔλεγεν εἶναι τὸν τοῦ Θεοῦ Λόγον, εἰ μὴ «φωνὴν καὶ ἦχον» (vocem et sonum). Τὴν αὐτὴν νόσον ἐνόσουν οἱ Σαβελλιανοί· «Λόγον γὰρ οἷον τὸν ἐκ καρδίας ἀνθρώπου νομίζουσι τὸν τοῦ Θεοῦ, καὶ σοφίαν ὁποίαν τὴν ἐν τῇ ψυχῇ, καὶ διὰ τοῦτο πρόσωπον ἓν τὸν Θεὸν ἅμα τῷ Λόγῳ φασὶν, ὥσπερ καὶ τὸν ἄνθρωπον ἅμα τῷ ἑαυτοῦ λόγῳ ἄνθρωπον ἕνα, οὐδὲν πλέον Ἰουδαίων δοξάζοντες» · Μ. Ἀθανάσιος (Τόμ. ά. σελ. 508). Πρβ. καὶ Μ. Βασίλειον (κατὰ Σαβελλ. Τόμ. β'. σελ. 266). Τὴν αὐτὴν δυσσέβειαν ἐξηρεύξατο καὶ Παῦλος ὁ Σαμοσατεὺς, φάσκων· «μὴ εἶναι τὸν Υἱὸν τοῦ Θεοῦ ἐνυπόστατον» · Ἐπιφάνιος (σελ. 608)· πρὸς δὲ τούτοις καὶ Μάρκελλος καὶ Φωτεινὸς, οἳ ἔλεγον «τὸν Λόγον ἐνέργειαν εἶναι· τὴν δὲ ἐνέργειαν ταύτην ἐνοικῆσαι τῷ ἐκ σπέρματος Δαβὶδ, οὐκ οὐσίαν ἐνυπόστατον» · Χρυσόστομος (Ὁμιλ. ς'. εἰς τὴν πρὸς Φιλιππ.). Τὴν τοῦ Μαρκέλλου καὶ Φωτεινοῦ πλάνην οὕτω στηλιτεύει καὶ ὁ Ἀλεξανδρείας Κύριλλος· «Εἰσὶ δὲ οἳ καὶ πρὸς τοῦτο μανίας δυσσεβῶς ἡγμένοι, ὥστε καὶ ἀνυπόστατον τὸν ἐκ Θεοῦ φασὶν εἶναι Λόγον, ῥῆμα δὲ ἁπλῶς τὸ κατὰ μόνην νοούμενον προφορὰν ἐν ἀνθρώπῳ γενέσθαι· Μάρκελλος δὲ οὗτος καὶ Φωτεινὸς» (Λόγ. προσφωνητ. πρὸς τὸν βασιλέα Θεοδόσ. § 5). Ἐπὶ πᾶσι τούτοις κείσθω ὁ χριστομάχος Ἄρειος, ὃς ἔλεγεν· «ἄλλον εἶναι τὸν ἐν τῷ Θεῷ Λόγον, καὶ ἄλλον, περὶ οὗ φησιν ὁ Ἰωάννης· ἐν ἀρχῇ ἦν ὁ Λόγος· καὶ ἄλλον μὲν ἰδίαν σοφίαν εἶναι ἐν τῷ Θεῷ· ἄλλον δὲ περὶ ἧς φησιν ὁ Ἀπόστολος· «Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία»» · Ἀθανάσιος (Τόμ. ά. σελ. 442). Διὰ ταύτην οὖν τὴν κατάχρησιν τῆς παρομοιώσεως καὶ τοῦ παραδείγματος ἐκείνου καὶ ὁ ἱερὸς Κύριλλος ἐνταῦθα καὶ οἱ ἱεροὶ Πατέρες ἀλλαχοῦ πυκνὰ ἐντέλλονται καὶ διδάσκουσιν ἵνα μὴ τοιοῦτον ὑπολάβωμεν τὸν τοῦ Θεοῦ Λόγον, ἀνυπόστατον δηλαδὴ καὶ σκεδαστὸν καὶ εἰς ἀέρα διαλυόμενον, οἷος ὁ ἡμέτερος λόγος, ὁ ἐκ τοῦ ἡμετέρου νοὸς γεννώμενος. Τὸ ὑφεστὼς τοῦτο καὶ ἐνυπόστατον τοῦ θείου Λόγου τρανῶς καὶ διαπρυσίως ἀνακηρύττει, καὶ πᾶσαν κακοδοξίαν ἐντόνως ἀποῤῥαπίζει ὁ Μέγας Ἀθανάσιος (ἐν τῷ πέμπτῳ κατὰ Ἀρειαν. λόγῳ, σελ. 302). Ὅρα καὶ τὴν ἡμετέραν Σημείωσιν εἰς Κατήχ. δ'. § 8.

τον καὶ ζῶντα· οὐ χείλεσι λαληθέντα καὶ διαχυθέντα, ἀλλ' ἐκ Πατρὸς ἀϊδίως καὶ ἀνεκφράστως καὶ ἐν ὑποστάσει γεννηθέντα· «Ἐν ἀρχῇ γὰρ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος» ἐν δεξιᾷ καθεζόμενος. Λόγος νοῶν τοῦ Πατρὸς τὸ βούλημα, καὶ δημιουργῶν τὰ πάντα τῷ ἐκείνου νεύματι· Λόγος ὁ καταβὰς καὶ ἀναβάς· ὁ γὰρ προφορικὸς, λαλούμενος [1]), οὐ καταβαίνει οὐδὲ ἀναβαίνει· Λόγος λαλῶν καὶ λέγων· «ἃ ἑώρακα παρὰ τῷ Πατρί μου, ταῦτα λαλῶ»· Λόγος ἐξουσιαστικὸς καὶ βασιλεύων τῶν πάντων· πάντα γὰρ τῷ Υἱῷ παραδέδωκεν ὁ Πατήρ.

§ ΙΑ΄. Ἐγέννησε τοίνυν αὐτὸν ὁ Πατὴρ, οὐχ οὕτως, ὡς ἄν τις νοήσειεν ἀνθρώπων, ἀλλ' ὡς οἶδεν αὐτὸς μόνος [2])· οὐ γὰρ τὸ, πῶς

---

[1]) Πολυειδῶς ἐκφέρονται ἐν τοῖς Κώδηξιν αἱ δύο αὗται λέξεις. Αἱ πρὸ Τουτέου ἐκδόσεις εἶχον, «ὁ γὰρ προφορικῶς λαλούμενος»· ὁ δὲ Τουτέος μετέβαλε τὸ «προφορικῶς» εἰς τὸ «προφορικὸς», κατὰ τοὺς Κώδ. R., C.· ὁ δὲ Ἀρχιεπισκοπικὸς Κώδηξ ἔχει «ὁ γὰρ προφορικὸς λεγόμενος». Ἡμεῖς ἀπεδεξάμεθα τὴν διόρθωσιν τοῦ Τουτέου, καθ' ἣν, στίξεως γινομένης μετὰ τὸ «προφορικὸς», λαλούμενος σημαίνει, ἐν τῷ λαλεῖσθαι.

[2]) Τὸ μυστήριον τῆς ἐκ Πατρὸς ἀνάρχου καὶ προαιωνίου γεννήσεως τοῦ Υἱοῦ καὶ Λόγου οὐ μόνον τοῖς ἀνθρώποις ἐστὶν ἄφραστον καὶ ἀνερμήνευτον καὶ ὑπὲρ πᾶσαν κατάληψιν, ἀλλὰ καὶ αὐτοῖς τοῖς ἀγγέλοις ἀνεξιχνίαστον τυγχάνει καὶ ἀκατάληπτον, ὡς διδάσκει παρακατιὼν ὁ Πατήρ· μόνος ὁ Θεὸς οἶδε τῆς ἀσωμάτου ταύτης καὶ ἀπαθοῦς γεννήσεως τὸν τρόπον· διὰ τοῦτο καὶ ἀνωτέρω (§ 4 καὶ 5) ὠνόμασε τὴν γέννησιν ταύτην ὁ Κύριλλος «ἀπεριέργαστον καὶ ἀκατάληπτον». Τοῦτο ἐν ἑνὶ στόματι καὶ μιᾷ φωνῇ διδάσκουσιν ἅπαντες οἱ Πατέρες· οἷον ὁ Μ. Ἀθανάσιος (Τόμ. ά. σελ. 214.), ὁ Θεολόγος Γρηγόριος (σελ. 528 καὶ σελ. 382), ὁ Μ. Βασίλ. (κατὰ Εὐνομ. Λόγ. έ.), ὁ Χρυσόστομος (περὶ ἀκαταλήπτου Λόγ. ά.), ὁ Δαμασκηνὸς (ά. 8.), ὁ Ἀμβρόσιος (de fide lib. I. cap. 5), ὁ Αὐγουστῖνος (contra Felicianum cap. 8). Ἐναντίον τῆς καθολικῆς ταύτης φωνῆς καὶ γνώμης τῆς Ἐκκλησίας ἀντέστησαν καὶ προσέκρουσαν δύο εἴδη αἱρετικῶν, οἱ Γνωστικοὶ καὶ οἱ Ἀρειανοί· καὶ οἱ μὲν Γνωστικοὶ, μάλιστα δὲ πάντων οἱ Οὐαλεντινιανοὶ, αἰῶνάς τινας ἀναπλάσαντες, μετ' αὐτῶν δὲ καὶ τὸν Υἱὸν καὶ Λόγον συγκατατάξαντες, γεννήσεις τούτων καὶ ἀπορροίας ἐδίδαξαν, σαφῆ καὶ καθαρὰν πάντων

ἐγέννησεν, εἰπεῖν ἐπαγγελλόμεθα, ἀλλὰ τὸ, ὅτι οὐχ οὕτως [1]), διαβεβαιούμεθα· καὶ οὐχ ἡμεῖς ἀγνοοῦμεν μόνον τὴν ἐκ Πατρὸς τοῦ Υἱοῦ γέννησιν, ἀλλὰ καὶ πᾶσα γεννητὴ φύσις· «Ἐκδιήγησαι γῆ, ἐάν σοι φράσῃ»· καὶ ἐὰν ἐξετάσῃς πάντα τὰ ὄντα ἐπὶ τῆς γῆς, οὐ δυνήσεται εἰπεῖν· ἡ γὰρ γῆ τοῦ οἰκείου κεραμέως καὶ πλάστου τὴν ὑπόστασιν λέγειν οὐ δύναται· οὐ μόνον δὲ γῆ οὐκ εἶδεν, ἀλλ᾽ οὐδὲ ἥλιος [2])· τετάρτῃ γὰρ ἡμέρᾳ ὁ ἥλιος ἐκτίσθη, τὰ ἐν ταῖς πρὸ αὐ-

---

τούτων τὴν γνῶσιν ἔχειν τερατευόμενοι, οὓς ἰσχυρῶς ἀπεῤῥάπισεν ὁ μακάριος Εἰρηναῖος (β'. 28 § 6). Οἱ δὲ Ἀρειανοὶ, ἐπειδὴ κτίσμα ἔλεγον τὸν Υἱὸν καὶ μετοχῇ καὶ χάριτι μόνον Θεὸν, οὐχὶ δὲ καὶ φύσει, διὰ τοῦτο οὐδὲ τὴν γέννησιν αὐτοῦ ἐνόμιζον θείαν καὶ ἀκατάληπτον καὶ ἀπεριινόητον. Ὅρα Ἀθανάσιον (Λόγ. ά. κατὰ Ἀρειανῶν), καὶ Ἰλάριον (de Trinitate lib. 2. num. 9). Τὴν δυσσέβειαν δὲ ταύτην τῶν Ἀρειανῶν προθέλυμνον ἀνασπᾷ ὁ ἱερὸς Κύριλλος δι᾽ ὧν διδάσκει ἐνταῦθά τε καὶ ἐν τῷ ἀκολούθῳ (ΙΓ'.) παραγράφῳ.

[1]) Ἐθήκαμεν τὸ «ὅτι» ἐκ τῶν Κωδ. R., C., Coisl. Ὁ Τουτέος ἐγκρίνει μὲν αὐτὸ ἐν ταῖς σημειώσεσι, παραλείπει δὲ ἐν τῷ κειμένῳ.

[2]) Παράδοξον φαίνεται ὅτι ὁ Κύριλλος ὁμιλεῖ ἐνταῦθα περὶ τῆς γῆς, τοῦ ἡλίου καὶ τῶν οὐρανῶν, ὡς περὶ ἐμψύχων καὶ νοητικῶν ὄντων· ἀλλ᾽ ὁ τρόπος οὗτος τοῦ λαλεῖν μεταφορικῶς καὶ ποιητικῶς περὶ τῶν κτισμάτων ἐστὶ καὶ τῇ ἁγίᾳ Γραφῇ συνηθέστατος· καὶ ἴσως ἔλαβεν ἀφορμὴν ὁ Πατὴρ εἰς τὸν τοιοῦτον λόγον ἐξ αὐτοῦ ἐκείνου τοῦ ῥητοῦ τοῦ Ἰὼβ, ὅπερ προεκόμισε. Μακρὰν δὲ νομίζομεν τὸν Κύριλλον τῆς ἰδέας καὶ δόξης ἐκείνης τοῦ Ὠριγένους, καθ᾽ ἣν ὁ ἥλιος καὶ ἡ σελήνη καὶ τὰ λοιπὰ ἄστρα ἐῤῥέθησαν ἔμψυχα καὶ νῷ πεπροικισμένα· «Καὶ τοῦτο δὲ πρὸς τοῖς ἄλλοις τὴν Ὠριγένους παρίστησιν ἄνοιαν, τὸ λέγειν τὸν οὐρανὸν, καὶ τὸν ἥλιον, καὶ τὴν σελήνην, καὶ τοὺς ἀστέρας, καὶ τὰ ὕδατα τὰ ἐπάνω τῶν οὐρανῶν ἔμψυχα»· Ἰουστινιανὸς Αὐτοκράτωρ (ἐν τῇ πρὸς Μηνᾶν ἐπιστολῇ αὐτοῦ). Τὴν πλάνην ταύτην τοῦ Ὠριγένους ἀναθέματι καθυπέβαλεν ἡ Ε'. Οἰκουμ. Σύνοδος (Συνοδ. Τόμ. β'. σελ. 344). Βλ. Δ. Ὑέτιον (Origenianorum lib. II. quaest. 8.). Πρβλ. Ἰσίδωρον Πηλουσιώτην (βιβλ. δ'. ἐπιστ. 58), Αὐγουστῖνον (de genes. ad lit. lib. 2 et in Enchirid. ad Laurent. cap. 58) καὶ Ἱερώνυμον (epist. ad Pammach.). Ὁ Ἱερώνυμος (in Jes. cap. XLV) λέγει ὅτι ἀφορμὴ τῆς πλάνης ταύτης ἐγένετο εἴς τινας ἡ ῥῆσις ἐκείνη (Ἡσαΐας 45, 12)· «Ἐγὼ ἐποίησα γῆν καὶ ἄνθρωπον ἐπ᾽ αὐτῆς·

τοῦ τρισὶ μὴ γινώσκων· ὁ δὲ τὰ ἐν ταῖς [1]) τρισὶν ἡμέραις, ταῖς πρὸ αὐτοῦ, μὴ εἰδὼς, αὐτὸν τὸν ποιητὴν ἐξειπεῖν οὐ δυνήσεται [2])· οὐρανὸς τοῦτο οὐ διηγήσεται· νεύματι γὰρ Πατρὸς ὑπὸ τοῦ Χριστοῦ καὶ ὁ οὐρανὸς ὡς καπνὸς ἐστερεώθη· οὐδὲ οἱ οὐρανοὶ τῶν οὐρανῶν διηγήσονται, οὐδὲ τὰ ὕδατα τὰ ὑπεράνω τῶν οὐρανῶν τοῦτο διηγήσεται. Τί τοίνυν ἀθυμεῖς ἀγνοῶν, ἄνθρωπε, ὅπερ ἀγνοοῦσι καὶ οἱ οὐρανοί; Οὐ μόνον δὲ οἱ οὐρανοὶ τὴν γέννησιν ἀγνοοῦσιν, ἀλλὰ καὶ πᾶσα ἀγγελικὴ φύσις. Εἰ γάρ τις (εἴ γε ἦν δυνατὸν), ἀναβὰς εἰς πρῶτον οὐρανὸν, καὶ τῶν ἐκεῖ ἀγγέλων κατανοήσας τὴν κατάστασιν, προσελθὼν ἐρωτήσειε· πῶς ὁ Θεὸς ἐγέννησε τὸν ἑαυτοῦ υἱόν; ἐροῦσιν ἴσως· Ἔχομεν ὑπὲρ ἡμᾶς μείζονας ἀνωτέρω [3]), ἐκείνους ἐρώτησον [4]). Ἀνάβηθι πρὸς δεύτερον οὐρανὸν, καὶ τρίτον· φθάσον, εἰ δύνῃ, πρὸς Θρόνους καὶ Κυριότητας, Ἀρχάς τε καὶ Ἐξουσίας· κἂν πρὸς ἐκείνους δέ τις φθάσειεν, ὅπερ ἀδύνατον, κἀκεῖνοι παραιτήσονται τὴν διήγησιν· οὐδὲ γὰρ οἴδασι.

§ ΙΒ΄. Καὶ ἐγὼ τεθαύμακα ἀεὶ τῶν τολμηρῶν τὴν φιλοπραγμοσύνην, τῶν διὰ τῆς νομιζομένης εὐλαβείας εἰς ἀσέβειαν ἐκπιπτόντων· Θρόνους γὰρ καὶ Κυριότητας, τὰ Χριστοῦ ποιήματα, καὶ Ἀρχὰς καὶ

ἐγὼ τῇ χειρί μου ἐστερέωσα τὸν οὐρανὸν, ἐγὼ πᾶσι τοῖς ἄστροις ἐνετειλάμην» (Τόμ. δ΄. σελ. 446.).

[1]) Προσεθήκαμεν τὸ ἄρθρον «ταῖς» ἐκ τοῦ Κώδ. Α.

[2]) Ὁ Κώδ. Α. ἐκφέρει ἐρωτηματικῶς τὴν πρότασιν οὕτως· «αὐτὸν τὸν ποιητὴν ἐξειπεῖν δυνήσεται;»

[3]) Ἐθήκαμεν, ὡς προσφυέστερον, «ἀνωτέρω» ἐκ τοῦ Κώδ. Α. ἀντὶ τοῦ «ἀνωτέρους», ὅπερ ἔχουσιν αἱ ἐκδόσεις.

[4]) Ἐνταῦθά τε καὶ ἐν Κατηχ. ις΄. § 23 διαιρεῖ ὁ Κύριλλος τὰς ἀγγελικὰς χοροστασίας εἰς ἀνωτέρας καὶ κατωτέρας, μείζονας καὶ ὑποδεεστέρας, καθ' ἣν ἔχουσι δηλονότι τάξιν καὶ ἀξίαν. Ἡ γνώμη αὕτη ἐστὶ καὶ πλείστων ἄλλων Πατέρων. Βλ. Ἰγνάτιον (Ἐπισ. πρὸς Τραλλησ.), Ἀθανάσιον (σελ. 392), Γρηγόρ. Νύσσης (Τόμ. β΄. σελ. 443), Χρυσόστομον (Ὁμιλ. ς΄. εἰς τὴν πρὸς Ἑβρ.) καὶ ἐπὶ πᾶσι τούτοις τὸν Διονύσιον Ἀρεοπαγίτην (ἐν τῷ περὶ οὐρανίου Ἱεραρχίας).

40

Ἐξουσίας ἀγνοοῦντες, αὐτὸν τὸν ποιητὴν πολυπραγμονεῖν [1]) ἐπιχειροῦσιν [2]). Εἰπέ μοι πρῶτον, ὦ τολμηρότατε, τί διαφέρει θρόνος κυριότητος, καὶ τότε πολυπραγμόνει τὰ κατὰ Χριστόν. Εἰπέ μοι τί μέν ἐστιν ἀρχή, τί δὲ ἐξουσία, τί δὲ δύναμις, τί δὲ ἄγγελος, καὶ τότε τὸν ποιητὴν πολυπραγμόνει· πάντα γὰρ δι' αὐτοῦ ἐγένετο. Ἀλλ' οὐ θέλεις ἐρωτῆσαι θρόνους ἢ κυριότητας, ἢ οὐ δύνασαι· τί ἐστιν ἕτερον γινῶσκον τὰ βάθη τοῦ Θεοῦ, εἰ μὴ μόνον τὸ Πνεῦμα τὸ ἅγιον, τὸ λαλῆσαν τὰς θείας Γραφάς; ἀλλ' οὐδ' αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον περὶ τῆς ἐκ Πατρὸς τοῦ Υἱοῦ γεννήσεως ἐν ταῖς Γραφαῖς ἐλάλησε [3]). Τί τοίνυν πολυπραγμονεῖς, ἃ μηδὲ τὸ Πνεῦμα τὸ ἅγιον ἔγραψεν ἐν ταῖς Γραφαῖς; [4]) ὁ τὰ γεγραμμένα μὴ γινώσκων, τὰ μὴ γεγραμμένα πολυπραγμονεῖς; Πολλὰ ζητήματά ἐστιν ἐν ταῖς θείαις Γραφαῖς· τὸ γεγραμμένον οὐ καταλαμβάνομεν, τί τὸ μὴ γεγραμμένον πολυπραγμονοῦμεν; Αὔταρκες ἡμῖν εἰδέναι, ὅτι Θεὸς ἐγέννησεν Υἱὸν ἕνα μόνον.

---

[1]) Ἐθήκαμεν «πολυπραγμονεῖν» ἐκ τῶν Κωδήκων A., R., C., ἀντὶ «φιλοπραγμονεῖν», ὅπερ ἔχουσιν αἱ ἐκδόσεις. Τὸ «πολυπραγμονεῖν» κεῖται καὶ μικρὸν κατωτέρω.

[2]) Τοὺς Ἀρειανοὺς ἐλέγχει ὁ Πατὴρ ἐνταῦθα, τοὺς ἄγαν θρασέως καὶ ἀνοήτως τὰ περὶ τῆς θείας φύσεως πολυπραγμονοῦντας. Τούτων τὴν ἄνοιαν καὶ ὁ Χρυσόστομος καταστηλιτεύει ἐν τοῖς περὶ ἀκαταλήπτου λόγοις καὶ ὁ Θεολόγος Γρηγόριος (Λόγ. μϐ'. σελ. 760). Ὅρα καὶ τὴν σημ. εἰς Κατήχ. Ζ'. § 11.

[3]) Μετὰ τὸ «ἐλάλησεν» ἐν τοῖς Κώδ. R., C. ἀκολουθοῦσι ταῦτα· «οὐχ ὅτι οὐκ ᾔδει, ἀλλ' ὅτι οὐκ ἔδει διὰ τὸ μὴ χωρεῖν τοὺς ἀκούοντας»· ἐπειδὴ δὲ ἡ προσθήκη αὕτη λείπει ἐκ πάντων τῶν ἄλλων Κωδήκων, οὐκ ἀλόγως εἰκάζουσιν ὅ τε Μιλέσιος καὶ Τουτέος, ὅτι παρεισέφρησεν αὕτη εἰς τὸ κείμενον ἐκ τοῦ περισελίδου, ἐν ᾧ ἐτέθη ὑπὸ ξένης χειρὸς ἑρμηνευτικῆς σαφηνείας χάριν.

[4]) Ἄριστα ὁ ἱερὸς Κύριλλος παραινεῖ ἵνα στέργωμεν τοῖς δεδηλωμένοις, καὶ μὴ πολυπραγμονῶμεν τὰ σεσιγημένα· τοῦτο οὐ μόνον ἐνταῦθα συμϐουλεύει, ἀλλὰ καὶ ἐν Κατηχ. ις'. § 2. «Εἴ τι μὴ γέγραπται, μὴ πολυπραγμονῶμεν· αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον ἐλάλησε τὰς Γραφάς· αὐτὸ καὶ περὶ ἑαυτοῦ εἴρηκεν ὅσα ἐβούλετο, ἢ

§ ΙΓ΄. Μὴ ἐπαισχυνθῇς ὁμολογῆσαι τὴν ἄγνοιαν, ἐπειδὴ μετὰ ἀγγέλων ἀγνοεῖς. Ὁ γεννήσας οἶδε μόνος τὸν γεννηθέντα· καὶ ὁ ἐξ αὐτοῦ γεγεννημένος οἶδε τὸν γεννήσαντα. Ὁ γεννήσας οἶδε τί ἐγέννησε, καὶ τὸ Πνεῦμα [1]) τὸ ἅγιον τοῦ Θεοῦ μαρτυρεῖ ἐν ταῖς Γραφαῖς, ὅτι Θεὸς ὁ γεννηθεὶς ἀνάρχως [2]). «Τίς γὰρ ἔγνω ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς ἔγνω, εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ»· «Ὥσπερ γὰρ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτω καὶ τῷ Υἱῷ ἔδωκε ζωὴν ἔχειν ἐν ἑαυτῷ»· καὶ «ἵνα πάντες τιμῶσι τὸν Υἱὸν, καθὼς τιμῶσι τὸν Πατέρα· καί, «ὥσπερ ὁ Πατὴρ οὓς θέλει ζωοποιεῖ, οὕτω

ὅσα ἐχωροῦμεν· λεγέσθω οὖν] ἃ εἴρηκεν· ὅσα γὰρ οὐκ εἴρηκεν, ἡμεῖς οὐ τολμῶμεν». Ὅρα καὶ Κατήχ. δ΄. § 17. Παραπλήσια τοῖς τοῦ ἱεροῦ Κυρίλλου εἰσὶ καὶ ὅσα ὁ Σύγκελος παραινῶν προτάττει τῆς κατ' αὐτὸν χρονογραφικῆς πραγματείας· «Χρὴ δὲ τοὺς καθ' ἡμᾶς ἀτελεῖς μὴ ζητεῖν καὶ περιεργάζεσθαι τὰ σεσιγημένα τῇ θεοπνεύστῳ Γραφῇ· ὅσα γὰρ ἦν ἐπωφελῆ καὶ χωρητὰ τοῖς ἀνθρώποις, ταῦτα ἡμῖν διὰ Πνεύματος ἁγίου ἐκδέδοται, καὶ οὐ χρὴ περαιτέρω τῶν θείων ὅρων προβαίνειν τοὺς ὀρθῶς ἐντυγχάνοντας, ἵνα μὴ ἀντὶ κέρδους μικροῦ μεγάλην ζημίαν ἐπισπάσωνται» (Χρονογραφ. σελ. 6. Ἔκδ. Βον.).

[1]) Ἀντὶ «καὶ τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ μαρτυρεῖ ἐν ταῖς Γραφαῖς,» οἱ τέσσαρες Κώδ. A., R., C., Coisl. καὶ ὁ Γροδέκιος ἔχουσι· «καὶ αἱ Γραφαὶ μαρτυροῦσιν».

[2]) Ἐν ταῖς προτέραις ἐκδόσεσιν ἔκειτο «ἄναρχος», ὅπερ ὁ Τουτέος μετέβαλεν εἰς τὸ «ἀνάρχως»· ἀλλ' ἡ λέξις αὕτη παντάπασι λείπει ἐκ πολλῶν Κωδήκων, οἷον τοῦ A., R., C., Coisl. καὶ ἐν τῇ μεταφράσει τοῦ Γροδεκίου· οὐ μόνον δὲ ἡ λέξις αὕτη, ἀλλὰ καὶ τὸ εὐθὺς ἑπόμενον ἀποστολικὸν χωρίον λείπει ἐκ τῶν Κωδ. A., R., C., καὶ τοῦ Γροδεκίου, ἐν οἷς τὸ, «ὅτι Θεὸς ὁ γεννηθεὶς» συνάπτεται μετὰ τῆς εὐαγγελικῆς ῥήσεως· «ὥσπερ γὰρ ὁ Πατὴρ» κτλ. Τῷ ὄντι δὲ ἡ ῥῆσις αὕτη προκομίζεται εἰς δεῖξιν τῆς προτάσεως, «ὅτι Θεὸς ὁ γεννηθείς»· περιττὸν ἄρα καὶ τὴν σειρὰν τοῦ λόγου ἀναταράττον φαίνεται τὸ παρεντεθὲν ἀποστολικὸν χωρίον, ἐκτὸς εἰ μὴ ὑπολάβοι τις, ὅτι τὸ χωρίον τοῦτο ἐτέθη εἰς ἀπόδειξιν τῆς προηγηθείσης προτάσεως, «ὅτι τὸ πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ μαρτυρεῖ ἐν ταῖς Γραφαῖς».

καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ». Οὔτε ὁ γεννήσας ἐζημιώθη τι [1]. οὔτε λείπει τι τῷ γεννηθέντι· (οἶδα πολλάκις ταῦτα εἰρηκὼς, ἀλλὰ πολλάκις ταῦτα εἴρηται ὑπὲρ τῆς ὑμῶν ἀσφαλείας)· οὔτε ὁ γεννήσας ἔχει πατέρα, οὔτε ὁ γεννηθεὶς ἀδελφὸν ἔχει· οὔτε ὁ γεννήσας εἰς υἱὸν μετεβλήθη, οὔτε ὁ γεννηθεὶς πατὴρ ἐγένετο [2]. Ἐξ ἑνὸς μόνου πατρὸς εἷς μονογενὴς υἱός· οὔτε δύο ἀγέννητοι [3], οὔτε δύο μο-

[1]) Ταῦτα λέγει ὁ Κύριλλος κατὰ τῶν θεομάχων Ἀρειανῶν, οἵτινες τὸ ὁμοούσιον φεύγοντες καὶ σωματικὰ ἐπὶ τοῦ ἀσωμάτου Θεοῦ φανταζόμενοι, ἔλεγον ὅτι οὐ δυνατὸν γεννηθῆναι τὸν Χριστὸν ἐκ τῆς τοῦ Πατρὸς οὐσίας ἄνευ διαιρέσεως, τομῆς καὶ τροπῆς τῆς πατρικῆς οὐσίας. Ὅρα τὰ βλάσφημα τούτων ῥήματα παρὰ τῷ Μ. Ἀθανασίῳ (Τόμ. ά. σελ. 682) καὶ Ἐπιφανίῳ (Τόμ. ά. σελ. 738).

[2]) Τὰς τῶν Ἀρειανῶν βλασφημίας ἀντικρούει ὁ Πατὴρ καὶ ἐνταῦθα, οἵτινες ἀείποτε εἰς σωματικὰς ἐννοίας κατέπιπτον, καὶ ἐπὶ τῆς ἀσωμάτου γεννήσεως τοῦ Υἱοῦ καὶ Λόγου ἐφήρμοζον τὰ τῶν σωματικῶν γεννήσεων ἰδιώματα, ἵνα οὕτω ῥᾷον καὶ απονώτερον κατασπάσωσιν εἰς ἀσέβειαν καὶ ἐξαπατήσωσι τοὺς ἀγυμνάστους καὶ ἁπλουστέρους. Ἰδοὺ δὲ καὶ αἱ εἰς τὸ ὕψος τοῦ Θεοῦ ἀκοντιζόμεναι βλασφημίαι· «Εἰ γέννημά ἐστιν ὁ Υἱὸς τοῦ Πατρὸς καὶ εἰκὼν, καὶ ὅμοιός ἐστι κατὰ πάντα τοῦ Πατρὸς, ὀφείλει πάντως, ὥσπερ γεγέννηται, γεννᾷν καὶ ὁ Υἱὸς, καὶ γίνεσθαι αὐτὸς πατὴρ υἱοῦ». Πρὸς ταῦτα τῶν Ἀρειανῶν ἀπαντᾷ ὁ Μ. Ἀθανάσιος· «Ἐφευρεταὶ δυσφημιῶν ἀληθῶν οἱ θεομάχοι, οἵτινες, ἵνα μὴ τὸν Υἱὸν εἰκόνα τοῦ Πατρὸς ὁμολογήσωσι, σωματικὰ καὶ γήϊνα περὶ αὐτοῦ τοῦ Πατρὸς φρονοῦσι, τομὰς καὶ ἀποῤῥοίας καὶ ἐπιῤῥοίας κατηγοροῦντες κατ' αὐτοῦ. Εἰ μὲν οὖν ὡς ἄνθρωπός ἐστιν ὁ Υἱός, γινέσθω καὶ γεννητὴς ὡς ἄνθρωπος, ἵνα καὶ ὁ υἱὸς ἑτέρου γένηται πατήρ . . . οὐ γὰρ ὡς ἄνθρωπος ὁ Θεός· οὔτε γὰρ ὁ Πατὴρ ἐκ πατρός ἐστι· διὸ οὐδὲ γεννᾷ τὸν γεννησόμενον πατέρα· οὔτε ὁ Υἱὸς ἐξ ἀποῤῥοίας ἐστὶ τοῦ Πατρὸς, οὐδὲ ἐκ γεννηθέντος πατρὸς γεγέννηται. Ὅθεν ἐπὶ τῆς θεότητος μόνης ὁ Πατὴρ κυρίως πατήρ ἐστι, καὶ ὁ Υἱὸς κυρίως υἱός ἐστι, καὶ ἐπὶ τούτων καὶ μόνων ἕστηκε τὸ πατὴρ ἀεὶ πατὴρ εἶναι, καὶ τὸ υἱὸς ἀεὶ υἱὸς εἶναι»· Ἀθανάσιος (Τόμ. ά· σελ. 151).

[3]) Τοῦθ', ὅπερ ψευδῶς καὶ κακοβούλως ὠνείδιζον οἱ Ἀρειανοὶ τοὺς ὀρθοδόξους· λέγει γὰρ ὁ Ἄρειος ἐν τῇ πρὸς Ἀλέξανδρον ἐπιστολῇ αὐτοῦ· «Οὐδὲ ἅμα τῷ Πατρὶ τὸ εἶναι ἔχει (ὁ Χριστὸς), ὥς τινες λέγουσι τὰ

νογενεῖς· ἀλλ᾽ εἷς ἐστι πατὴρ ἀγέννητος (ἀγέννητος γάρ ἐστιν ὁ πατέρα μὴ ἔχων)· καὶ εἷς ἐστιν υἱὸς, ἀϊδίως ἐκ πατρὸς γεγεννημένος· οὐ χρόνοις γεγεννημένος, ἀλλὰ πρὸ αἰώνων γεννηθείς· οὐκ ἐκ προκοπῆς αὐξηθεὶς, ἀλλὰ τοῦτο γεννηθεὶς ὅπερ ἐστὶ νῦν.

§ ΙΔ΄. Πιστεύομεν τοίνυν εἰς τὸν Υἱὸν τοῦ Θεοῦ τὸν Μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα Θεὸν ἀληθινόν· ὁ γὰρ ἀληθὴς Θεὸς οὐ γεννᾷ ψευδῆ [1]), καθὼς εἴρηται· οὐδὲ σκεψάμενος, ὕστερον ἐγέννησεν, ἀλλ᾽ ἀϊδίως ἐγέννησε, καὶ πολὺ μᾶλλον τάχιον τῶν ἡμετέρων ῥημάτων ἢ νοημάτων ἐγέννησεν· ἡμεῖς μὲν γὰρ, ἐν χρόνοις λαλοῦντες, χρόνους [2]) ἀναλίσκομεν· ἐπὶ δὲ τῆς θείας δυνάμεως ἄχρονος ἡ γέννησις. Καὶ καθὼς εἴρηται πολλάκις οὐκ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὸν Υἱὸν παρήγαγεν [3])· οὐδὲ τὸν μὴ ὄντα εἰς υἱοθε-

---

πρός τι, δύο ἀρχὰς εἰσηγούμενοι ἀγεννήτους»· Ἀθανάσιος (Τόμ. ά. σελ. 682)· ἀλλ᾽ ἡ Ἐκκλησία διδάσκει συνάναρχον μὲν τῷ Πατρὶ τὸν Υἱὸν καὶ συναΐδιον, μίαν δὲ ἀρχὴν τῆς θεότητος τὸν Πατέρα· ὅθεν λέγει καὶ ὁ Κύριλλος ἐν τῷ ἐφεξῆς παραγράφῳ· «Οὔτε δύο εἰσὶν ἀρχαὶ, ἀλλὰ κεφαλὴ τοῦ Υἱοῦ ὁ Πατήρ· μία ἡ ἀρχή».

[1]) Ἐν τούτῳ τῷ ἐπιχειρήματι ἄγχει καὶ πνίγει καὶ ὁ Μ. Ἀθανάσιος τοὺς Ἀρειανοὺς, τοὺς ψευδῆ καὶ νόθον Θεὸν τὸν Χριστὸν ὀνομάζοντας· «Ὁποῖος γὰρ ἂν ᾖ ὁ γεννῶν, λέγει, τοιοῦτον ἀνάγκη καὶ τὸ γέννημα εἶναι· καὶ ὁποῖος ἂν εἴη ὁ τοῦ Λόγου πατὴρ, τοιοῦτος ἂν εἴη καὶ ὁ Λόγος αὐτοῦ». Ἀθανάσιος (Τόμ. ά. σελ. 213). Παραπλήσια λέγει καὶ ὁ ἱερὸς Ἐπιφάνιος, κατὰ τῶν αὐτῶν θεομάχων ἀγωνιζόμενος (Τόμ. ά. σελ. 750). Ἔφη δὲ καὶ ὁ Θεολόγος Γρηγόριος (Λόγ. κθ΄.)· «Αὕτη γὰρ φύσις γεννήτορος καὶ γεννήματος ταὐτὸν εἶναι τῷ γεγεννηκότι κατὰ τὴν φύσιν τὸ γέννημα». Ἔφη δὲ καὶ ὁ Κύριλλος ἀνωτέρω (§ 9)· «Θεὸς γὰρ ἀληθινὸς ὢν ὁ Πατὴρ, ὅμοιον ἑαυτῷ ἐγέννα τὸν Υἱὸν, Θεὸν ἀληθινὸν»· καὶ κατωτέρω (§ 18)· «Τέλειος ὁ γεννήσας, τέλειον τὸ γεννηθέν· Θεὸς ὁ γεννήσας, Θεὸς ὁ γεννηθείς».

[2]) Ἐθήκαμεν «χρόνους» ἐκ τῶν Κωδ. A., R., C., ἀντὶ «χρόνον», ὅπερ ἔχουσιν αἱ ἐκδόσεις.

[3]) Καὶ ταῦτα κατὰ τῶν Ἀρειανῶν ἀκοντίζει ὁ θεσπέσιος Κύριλλος, ἁπάσας αὐτῶν τὰς βλασφημίας πανταχόθεν ἀναιρῶν καὶ καταστηλιτεύων· ἔλεγε γὰρ ὁ Ἄρειος ὅτι «οὐκ ἀεὶ ἦν ὁ Υἱὸς, ἀλλὰ πάντων ὄντων ἐξ οὐκ

σίαν ἤγαγεν, ἀλλ' ἀΐδιος ὢν ὁ Πατήρ, ἀϊδίως ἐγέννησε καὶ ἀνεκφράστως υἱὸν ἕνα μόνον, ἀδελφὸν οὐκ ἔχοντα. Οὔτε δύο εἰσιν ἀρχαί, ἀλλὰ κεφαλὴ τοῦ Υἱοῦ ὁ Πατήρ, μία ἡ ἀρχή· Πατὴρ γὰρ Υἱὸν ἐγέννησε Θεὸν ἀληθινόν, Ἐμμανουὴλ προσαγορευόμενον· ὁ δὲ Ἐμμανουὴλ μεθ' ἡμῶν ὁ Θεὸς ἑρμηνεύεται.

§ ΙΕ'. Καὶ θέλεις γνῶναι, ὅτι Θεός ἐστιν ὁ ἐκ Πατρὸς γεννηθεὶς καὶ ὕστερον ἐνανθρωπήσας; ἄκουε τοῦ Προφήτου λέγοντος [1]· «Οὗ-

ὄντων καὶ ὁ Υἱὸς ἐξ οὐκ ὄντων ἐστὶ» κτλ. Βλ. Μ. Ἀθανάσιον (Τόμ. ά. σελ. 124).

[1]) Ταύτην τοῦ Βαροὺχ τὴν θαυμαστὴν προφητείαν εἰς ἔνδειξιν τῆς θεότητος τοῦ Χριστοῦ προκομίζουσι καὶ πλεῖστοι ἄλλοι Πατέρες· οἷον ὁ Μ. Ἀθανάσιος (σελ. 477), ὁ Χρυσόστομος (περὶ ἀκαταλήπτου Λόγ. έ.), ὁ Μ. Βασίλειος (κατὰ Εὐνομ. Λόγ. δ'.), ὁ Θεοδώρητος (εἰς Βαροὺχ γ'. 36 καὶ κατὰ Νέστορ. Τόμ. δ'. σελ. 701), ὁ Ἐπιφάνιος (σελ. 755), ὁ Κύριλλος Ἀλεξ. (ἐπιστολ. πρὸς τοὺς Κωνσταντινουπόλεως κληρικούς), ὁ Πρόκλος (ἐπιστολ. πρὸς Ἀρμενίους, Συνοδικ. Τόμ. ά. σελ. 648), ὁ Ἱλάριος (exposit. in Psalm. 68), Ἀμφιλόχιος (Λόγ. εἰς τὰ Γενέθλια τοῦ Χριστοῦ). Παράδοξον δὲ ὅτι ἐξ αὐτῆς ταύτης τῆς προφητικῆς ῥήσεως, τῆς τοσοῦτον τρανῶς καὶ διαῤῥήδην ἀνακηρυττούσης τὸν Θεὸν Λόγον, καὶ προαγορευούσης τὴν αὐτοῦ ἐνανθρώπησιν, ἐπειράθησαν τὴν ἑαυτῶν αἵρεσιν συστῆσαι οἱ Νοητιανοί. Οἱ αἱρετικοὶ οὗτοι, ἵνα δείξωσιν, ὅτι ὁ αὐτός ἐστι Πατὴρ καὶ Υἱός, καὶ οὐκ ἄλλο καὶ ἄλλο πρόσωπον, τοῦτον τὸν ἱερὸν χρησμὸν ἔφερον εἰς μέσον. «Ἡμεῖς, ἔλεγον, αὐτὸν οἴδαμεν μόνον· εἰ τοίνυν ἐλθὼν Χριστὸς ἐγεννήθη, αὐτός ἐστι Πατήρ, αὐτὸς Υἱός, ἄρα αὐτός ἐστι Θεὸς ὁ ἀεὶ καὶ νῦν ἐλθών, ὡς λέγει ἡ Γραφή· οὗτος ὁ Θεός σου, οὐ λογισθήσεται κτλ.» Ἐπιφάνιος (σελ. 481). Εἰς σύστασιν τῆς ἑαυτῶν αἱρέσεως κατεχρήσαντο τὴν προφητικὴν ταύτην ῥῆσιν καὶ οἱ ὀπαδοὶ τοῦ Ἀπολλιναρίου, ὡς γίνεται φανερὸν ἐξ ὅσων λέγει περὶ αὐτῶν ὁ Θεολόγος Γρηγόριος (ἐπιστ. ρϐ'. Τόμ. ϐ'. σελ. 95). Καὶ ταῦτα μὲν ἑώλου δυσσεβείας ἀηδῆ ἀπηχήματα· ἡ δ' ἄρα ὑπέρλαμπρος αὕτη προφητεία καὶ τὸ τῆς θείας ἐναργείας φωτὶ οὕτω καθαρῶς ἀπαστράπτουσα ἤμελλε πηρῶσαι τὰς ὄψεις καὶ νεωτέρων τινῶν ἄγαν ὀξὺ δεδορκότων Κριτικῶν. Οἱ ἄνδρες οὗτοι ἐκ τῆς πολλῆς ταύτης τοῦ ἱεροῦ χρησμοῦ λαμπηδόνος οὕτως ἰλιγγίασαν καὶ ἐξεθαμβήθησαν, ὥστε παρέγγραπτον εἰπεῖν ἐτόλμησαν καὶ

τος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ· μετὰ τοῦτο ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη». Βλέπεις Θεὸν μετὰ τὴν Μωσέως νομοθεσίαν ἐνανθρωπήσαντα; Δέξαι καὶ δευτέραν μαρτυρίαν τῆς Χριστοῦ θεότητος, τὴν ἀρτίως ἀνεγνωσμένην· «Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος». Ἵνα γὰρ μὴ διὰ τὴν ἔνσαρκον τὴν ἐνταῦθα γενομένην παρουσίαν νομισθῇ μετὰ ταῦτα εἰς προκοπὴν ἐλθεῖν θεότητος [1]), λέγει σαφῶς· «Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου». Βλέπεις Χριστὸν Θεόν, ὑπὸ Πατρὸς Θεοῦ χριόμενον;

§ ΙϚ΄. Θέλεις δέξασθαι καὶ τρίτην μαρτυρίαν τῆς Χριστοῦ θεότητος; ἄκουε Ἡσαΐου λέγοντος [2])· «Ἐκοπίασεν Αἴγυπτος καὶ ἐμπορία Αἰθιόπων» καὶ μετ' ὀλίγα· «Καὶ ἐν σοὶ προσεύξονται, ὅτι ἐν σοὶ ὁ Θεός ἐστι, καὶ οὐκ ἔστι Θεὸς πλὴν σοῦ· σὺ γὰρ εἶ ὁ Θεός, καὶ οὐκ ᾔδειμεν, ὁ Θεὸς τοῦ Ἰσραὴλ σωτήρ». Βλέπεις Θεὸν τὸν Υἱόν,

---

ὑπὸ χριστιανοῦ τινος παρεμβεβυσμένην τὴν θεόφθογγον ῥῆσιν ἐκείνην! Τῆς θρασυστόμου ταύτης κενοφωνίας σαλπιγκτὴς καὶ κήρυξ ἀναγράφεται Γρότιος, πρὸς ὃν ἀπήντησαν τὰ εἰκότα ἄλλοι σοφοί, τὸ γνήσιον τῆς προφητείας ἀνακηρύξαντες (Criticorum Sacrorum Tom. V. edit. Londt.). Βλ. καὶ Οἰκονομ. Τόμ. γ΄. σελ. 674.

[1]) Αἵρεσις ἦν αὕτη τοῦ Σαμοσατέως Παύλου, ὃς ἔλεγε τὸν Χριστόν, ψιλὸν ἄνθρωπον ὄντα, ἐκ προκοπῆς ἀναβῆναι εἰς βαθμὸν θεότητος. Τὴν κακοδοξίαν ταύτην ἐλέγχει ὁ Πατὴρ καὶ ἐν Κατηχ. ΙΒ΄. § 3. Περὶ τῆς βλασφημίας ταύτης τοῦ Παύλου ὅρα Μ. Ἀθανάσιον (κατὰ Ἀρειανῶν Λόγ. δ΄. Τόμ. ά. σελ. 288 καὶ σελ. 691). Οὐ πολὺ δὲ ταύτης ἀπεῖχον καὶ οἱ Ἀρειανοί, οἱ θέσει μόνον καὶ μετοχῇ, ἀλλ' οὐχὶ φύσει Θεὸν τὸν Χριστὸν ὁμολογοῦντες.

[2]) Ἡ προφητικὴ αὕτη ῥῆσις προκομίζεται καὶ ἑρμηνεύεται ὑπὸ τοῦ Μ. Ἀθανασίου (Τόμ. ά. σελ. 204 καὶ 340) καὶ τοῦ ἱεροῦ Ἐπιφανίου (Τόμ. ά. σελ. 486). Καὶ τοῦτο τὸ λόγιον οἱ Νοητιανοὶ ἥρπασαν εἰς σύστασιν καὶ ἀπόδειξιν τῆς ἑαυτῶν κακοφροσύνης. Ἐπιφάνιος (Τόμ. ά. σελ. 481).

ἔχοντα ἐν ἑαυτῷ Θεὸν τὸν Πατέρα, μονονουχὶ τὸ αὐτὸ λέγοντα, ὅπερ ἐν Εὐαγγελίοις εἴρηκεν· «Ὁ Πατὴρ ἐν ἐμοὶ, κἀγὼ ἐν τῷ Πατρί»· οὐκ εἴρηκεν, ὁ Πατήρ εἰμι ἐγὼ, ἀλλ' «ὁ Πατὴρ ἐν ἐμοί, κἀγὼ ἐν τῷ Πατρί [1])»· καὶ πάλιν οὐκ εἶπεν, ἐγὼ καὶ ὁ Πατὴρ ἕν εἰμι, ἀλλ' «ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν», ἵνα μήτε ἀπαλλοτριώσωμεν, μήτε συναλοιφὴν υἱοπατρίας ἐργασώμεθα. Ἕν, διὰ τὸ κατὰ τὴν θεότητα ἀξίωμα [2])· ἐπειδὴ Θεὸς Θεὸν ἐγέννησεν· ἕν, διὰ τὸ κατὰ

---

[1]) Καὶ ταύτην τὴν ῥῆσιν παρερμηνεύοντες ἐστρέβλουν οἱ Ἀρειανοὶ λέγοντες· «πῶς δύναται οὗτος ἐν ἐκείνῳ; κτλ.» Ἀθανάσιος (Τόμ. ά. σελ. 251). Τὴν ἄνοιαν δ' αὐτῶν ἐξήλεγξεν ἐν τῇ περιούσῃ αὐτῷ σοφίᾳ ὁ Μ. Ἀθανάσιος, θεηγόρως διατρανώσας τὸ νόημα τοῦ ῥητοῦ. Πῶς ὁ Πατὴρ ἐν τῷ Υἱῷ, καὶ ὁ Υἱὸς ἐν τῷ Πατρὶ, ἄριστα σαφηνίζει ὁ Γρηγόριος Νύσσης (κατὰ Εὐνομ. Λόγ. ά. σελ. 448).

[2]) Θαυμασίως ὁ Κύριλλος ἑρμηνεύει ἐνταῦθα τὴν εὐαγγελικὴν ῥῆσιν, «ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμέν», ἣν οἱ πρόμαχοι τῆς ὀρθοδοξίας ὡς ἀκαταμάχητον ἀσπίδα ἀντέταττον ταῖς τῶν Ἀρειανῶν ἐφόδοις· τετράκις δὲ ἐπαναλαμβάνει τὸ «ἕν», καὶ διδάσκει, ὅτι εἰς τέσσαρα συνίσταται ἡ ἑνότης αὕτη τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, εἰς τὴν θεότητα, εἰς τὴν βασιλείαν, εἰς τὴν θέλησιν καὶ εἰς τὴν δημιουργίαν. Καὶ πρὸς τὰ τέσσαρα ταῦτα ἐνίσταντο οἱ Ἀρειανοὶ βλασφημοῦντες· καὶ περὶ μὲν τῆς θεότητος ἔλεγον, ὅτι ὁ Χριστὸς χάριτι μόνον ἦν Θεὸς καὶ ἐκ προκοπῆς, οὐχὶ δὲ ἀληθινὸς Θεὸς, ὥσπερ ὁ Πατήρ. Ὁμοίως καὶ ἡ βασιλεία ἐδόθη αὐτῷ, ἔλεγον, ὡς μισθὸς προκοπῆς καὶ ὑπακοῆς, οὐδ' εἶχε ταύτην πρὸ αἰώνων ὡς Θεὸς καὶ παμβασιλεύς. Περὶ δὲ τῆς θελήσεως ἄλλο ἔλεγον τὸ θέλημα τοῦ Πατρὸς, καὶ ἄλλο τὸ τοῦ Υἱοῦ· Ἐπιφάνιος (σελ. 784). Διῄρουν δὲ τέλος καὶ τὰ κτίσματα, καὶ τὰ μὲν ἔλεγον τοῦ Πατρὸς ἔργα, τὰ δὲ τοῦ Υἱοῦ· ὁ μὲν Πατὴρ δηλαδὴ ἔκτισε τὸν Υἱὸν, ὁ δὲ Υἱὸς τὰ λοιπὰ πάντα δημιουργήματα. Πᾶσαι αὗται αἱ τῶν Ἀρειανῶν βλασφημίαι στηλιτεύονται ὑπὸ τοῦ Μ. Ἀθανασίου (ἐν τῷ ά. καὶ β'. κατὰ τῶν Ἀρειανῶν Λόγῳ). Ὁ μέγας οὗτος πρόμαχος τῆς ὀρθοδοξίας στηλιτεύει ἐλεγκτικῶς καί τινας τῶν Ἀρειανῶν, ἓν εἶναι λέγοντας τὸν Πατέρα καὶ τὸν Υἱὸν, οὐχὶ ὡς διδάσκει ἡ Ἐκκλησία, ἀλλὰ κατὰ τὸ θέλημα μόνον καὶ τὰ δόγματα καὶ τὴν διδασκαλίαν· ταῦτα γὰρ θέλει ὁ Υἱὸς, ἅπερ καὶ ὁ Πατήρ· Ἀθαν. (Τόμ. ά. σελ. 258).

τὴν βασιλείαν· οὐ γὰρ ἄλλων βασιλεύει Πατὴρ, ἄλλων δὲ Υἱὸς, (κατὰ τὸν Ἀβεσσαλὼμ ἀνταίρων τῷ πατρί [1])· ἀλλ' ὧν βασιλεύει ὁ Πατὴρ, τούτων βασιλεύει καὶ ὁ Υἱός· ἓν, διὰ τὸ μηδεμίαν εἶναι διαφωνίαν ἢ διάστασιν· οὐ γὰρ ἄλλα βουλήματα Πατρὸς, ἄλλα δὲ Υἱοῦ· ἓν, διὰ τὸ μὴ εἶναι ἄλλα Χριστοῦ δημιουργήματα, καὶ ἄλλα Πατρός· μία γὰρ ἡ πάντων δημιουργία, τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ πεποιηκότος· «ὅτι αὐτὸς εἶπε, καὶ ἐγεννήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν» φησὶν ὁ Ψαλμῳδός· ὁ γὰρ λέγων, λέγει τῷ ἀκούοντι· καὶ ὁ ἐντελλόμενος, ἐντέλλεται τῷ συμπαρόντι.

§ ΙΖ'. Θεὸς τοίνυν ἀληθινὸς Υἱὸς, ἔχων ἐν ἑαυτῷ τὸν Πατέρα, οὐχ εἰς Πατέρα μεταβληθείς· οὐ γὰρ Πατὴρ ἐνηνθρώπησεν, ἀλλὰ Υἱός [2])· λεγέσθω γὰρ ἐλευθέρως ἡ ἀλήθεια. Οὐ Πατὴρ ἔπαθεν ὑπὲρ

---

[1]) Αἱ λέξεις «κατὰ τὸν Ἀβεσσαλὼμ ἀνταίρων τῷ πατρὶ» λείπουσιν ὅλως ἐκ τῶν Κωδ. Α., R., C. Ὁ δὲ Μιλέσιος περιέκλεισεν αὐτὰς ἐν παρενθέσει, μὴ κρίνας αὐτὰς, ὡς φαίνεται, πολὺ καταλλήλους. Τῷ ὄντι δὲ ψυχρῶς καὶ ἀπροσφυῶς κεῖται τὸ παράδειγμα τοῦτο· οὐ γὰρ ἄλλων ἤδη βασιλεύων ὁ Ἀβεσσαλὼμ ἀντῆρε κατὰ τοῦ πατρὸς, ἀλλὰ μηδενὸς κρατῶν ἐτύρευσεν ἀνταρσίαν. Ἐπειδὴ ὅμως ἐν πάσαις ταῖς ἐκδόσεσι κεῖνται αἱ λέξεις αὗται, ἐτηρήσαμεν καὶ ἡμεῖς ἐν τῇ ἡμετέρᾳ, θέντες αὐτὰς ἐν παρενθέσει καθὼς ὁ Μιλέσιος.

[2]) Δεινὴν αἵρεσιν καταβάλλει ὁ Πατὴρ ἐνταῦθα, τὴν αἵρεσιν τῶν Υἱοπατόρων, ἣν ἀπεῤῥάπισε καὶ Κατήχ. δ'. § 8 καὶ Κατήχ. ις'. § 4. Τέσσαρες ἀνεφύησαν ἀρχηγοὶ καὶ πρόμαχοι τῆς κακοδοξίας ταύτης, ὧν οἱ δύω ἐν τῇ δυτικῇ ἐκκλησίᾳ, καὶ οἱ δύω ἐν τῇ ἀνατολικῇ. Οἱ ἐκ τῆς Δύσεως ἀναδύντες ἦσαν ὁ Πραξέας καὶ ὁ Ἑρμογένης. Καὶ περὶ μὲν τοῦ Πραξέα μαρτυρεῖ ὁ Τερτυλλιανὸς, ἐν ᾧ ἔγραφε κατ' αὐτοῦ βιβλίῳ, ὅτι τὸν Πατέρα ἔλεγε σταυρωθῆναι καὶ παθεῖν καὶ ἀποθανεῖν. Περὶ τοῦ αὐτοῦ Πραξέα φησὶ καὶ ἀλλαχοῦ ὁ Τερτυλλιανός: «Hic Deum Patrem omnipotentem Jesum Christum esse dicit, hunc crucifixum passumque contendit, mortuum, praeterea seipsum sibi sedere ad dextram suam, cum profana et sacrilega temeritate proponit» (de praescr. adv. haeret. cap. 53). Περὶ δὲ τοῦ Ἑρμογένους διαλαμβάνει ὁ Αὐγουστῖνος (de Haeres. cap. 41). Οἱ δὲ τῆς Ἀνατολῆς αἱρεσιάρχαι ἦσαν ὁ Νοητὸς καὶ ὁ Σαβέλλιος. Καὶ τῆς μὲν Νοητιανῆς αἱρέσεως τὰ κεφάλαια ἦσαν ταῦτα· «ἕνα φησὶν εἶναι

ἡμῶν, ἀλλὰ Πατὴρ ἀπέστειλε τὸν ὑπὲρ ἡμῶν παθόντα. Μήτε λέγωμεν ποτὲ τὸ, ἦν ποτε [1]), ὅτε οὐκ ἦν ὁ Υἱός· μήτε υἱοπατορίαν καταδεξώμεθα, ἀλλ᾽ ὁδῷ βασιλικῇ πορευθῶμεν· μὴ ἐκκλίνωμεν μήτε

Θεὸν καὶ Πατέρα, τῶν ὅλων δημιουργόν· ἀφανῆ μὲν ὅταν ἐθέλῃ, φαινόμενον δὲ ἡνίκα ἂν βούληται· καὶ τὸν αὐτὸν ἀόρατον εἶναι καὶ ὁρώμενον, καὶ γεννητὸν καὶ ἀγέννητον· ἀγέννητον μὲν ἐξ ἀρχῆς, γεννητὸν δὲ ὅτε ἐκ Παρθένου γεννηθῆναι ἠθέλησεν· ἀπαθῆ καὶ ἀθάνατον, καὶ πάλιν αὖ παθητὸν καὶ θνητόν· ἀπαθὴς γὰρ ὢν, φησὶ, τὸ τοῦ σταυροῦ πάθος ἐθελήσας ὑπέμεινε. Τοῦτον τὸν Υἱὸν ὀνομάζουσι καὶ Πατέρα, πρὸς τὰς χρείας τοῦτο κἀκεῖνο καλούμενον »· Θεοδώρητος (αἱρετ. κακομ. γ΄.). Τοῦ δὲ Λίβυος Σαβελλίου ἡ κακοφροσύνη συνίστατο ἐν τούτῳ, ὅτι «μίαν ὑπόστασιν ἔφησεν εἶναι τὸν Πατέρα» κτλ. (Μιλέσιος σελ. 143). Ἐξ ὅσων δὲ εἴπομεν γίνεται φανερὸν, ὅτι καὶ τῶν τεσσάρων τούτων αἱρεσιαρχῶν τὸ φρόνημα εἰς μίαν καὶ τὴν αὐτὴν ἀπέληγε βλασφημίαν, τὴν υἱοπατορίαν, τὴν ἀναίρεσιν δηλονότι τῆς ἁγίας Τριάδος καὶ τὴν σύγχυσιν καὶ συναλοιφὴν τῶν θεαρχικῶν προσώπων καὶ ὑποστάσεων. Πολὺ δὲ ἐτάραξε τὴν Ἐκκλησίαν ἡ αἵρεσις αὕτη πρὸ τῆς ἐν Νικαίᾳ Συνόδου, καὶ πολλὰ ἔγραψαν καὶ ἠγωνίσαντο κατ᾽ αὐτῆς οἱ τῆς ὀρθοδοξίας φύλακες ἱεροὶ Πατέρες. Ἐκ διαμέτρου δὲ ἐναντία πρὸς ταύτην αἵρεσίς ἐστιν ἡ τοῦ Ἀρείου· ὁ μὲν γὰρ Σαβέλλιος ἐταύτιζε καὶ συνέχεε τὸν Πατέρα καὶ τὸν Υἱὸν, ἑνὶ καὶ τῷ αὐτῷ τῆς θεότητος προσώπῳ ἑκάτερα ἀποδιδοὺς τὰ ὀνόματα· ὁ δὲ Ἄρειος, τὴν ἐναντίαν τέμνων, διέστελλε τὴν ὑπόστασιν τοῦ Υἱοῦ ἀπὸ τῆς ὑποστάσεως τοῦ Πατρὸς, ἀλλὰ τοσοῦτον πολὺ διέστελλεν, ὥστε ἄλλης οὐσίας ἔλεγε τὸν Υἱὸν, καὶ ἄλλης τὸν Πατέρα, καὶ τὴν ἐν προσώποις διαφορὰν εἷλκεν εἰς παραλλαγὴν οὐσίας. Σημείωσαι ὅτι οἱ αἱρετικοὶ οὗτοι παρὰ τοῖς Λατίνοις καλοῦνται Πατροπασσιανοὶ (patripassiani), τουτέστι Πατροπασχῖται. Ἰδίως δὲ Πατροπασσιανοὺς ἐκάλουν οἱ δυτικοὶ τοὺς Σαβελλιανοὺς, ὡς γίνεται φανερὸν ἐκ τοῦ Σωκράτους (β΄. 19). Οὕτως ὀνομάζουσιν αὐτοὺς καὶ Αὐγουστῖνος (de Haeres. cap. 41) καὶ Φιλάστριος (de Haeres. cap. 54).

[1]) Προσεθήκαμεν τὸ «ποτὲ» ἐκ τῶν Κωδ. A., R., C. Ἡ φράσις αὕτη «ἦν ποτε, ὅτε οὐκ ἦν ὁ Υἱός» ἦν, ὡς γνωστὸν, τύπος καὶ σύνθημα τῆς Ἀρειανῆς βλασφημίας. Μετὰ τοῦ «ποτὲ» ἐκφέρουσι τὴν φράσιν καὶ τὸ ἐν Νικαίᾳ σύμβολον, καὶ ὁ Μ. Ἀθανάσιος (ἐπιστολῇ πρὸς τοὺς ἐν Αἰγύπτῳ ἐπισκόπους καὶ ἀλλαχοῦ πολλαχοῦ) καὶ ὁ προκάτοχος αὐτοῦ Ἀ-

ἀριστερᾷ, μήτε δεξιᾷ [1])· μήτε διὰ τὸ νομίζειν τιμᾷν τὸν Υἱὸν, Πατέρα αὐτὸν ἀναγορεύσωμεν· μήτε, διὰ τὸ τιμᾷν τὸν Πατέρα νομίζειν, ἕν τι τῶν δημιουργημάτων τὸν Υἱὸν ὑποπτεύσωμεν· ἀλλ᾽ εἷς Πατὴρ δι᾽ ἑνὸς Υἱοῦ προσκυνείσθω, καὶ μὴ μεριζέσθω ἡ προσκύνησις· εἷς Υἱὸς καταγγελλέσθω, πρὸ τῶν αἰώνων ἐν δεξιᾷ τοῦ Πατρὸς καθεζόμενος, τὸ συγκαθέζεσθαι οὐ χρόνοις μετὰ τὸ πάθος λαβὼν ἐκ προκοπῆς, ἀλλ᾽ ἀϊδίως κεκτημένος.

§ ΙΗ΄. Ὁ ἑωρακὼς τὸν Υἱὸν, ἑώρακε τὸν Πατέρα· ὅμοιος γὰρ ἐν πᾶσιν ὁ Υἱὸς τῷ γεγεννηκότι· ζωὴ ἐκ ζωῆς γεννηθεὶς, καὶ φῶς ἐκ φωτὸς, δύναμις ἐκ δυνάμεως, Θεὸς ἐκ Θεοῦ, καὶ ἀπαράλλακτοι τῆς θεότητος οἱ χαρακτῆρές εἰσιν ἐν τῷ Υἱῷ· καὶ ὁ καταξιωθεὶς ἰδεῖν Υἱοῦ θεότητα, ἔρχεται εἰς ἀπόλαυσιν τοῦ γεγεννηκότος. Οὐκ ἐμὸς ὁ λόγος, ἀλλὰ τοῦ Μονογενοῦς Υἱοῦ· «Τοσοῦτον χρόνον μεθ᾽ ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα». [2])

λέξανδρος (ἐν τῇ ἐγκυκλίῳ) καὶ ἄλλοι· ἄνευ τοῦ «ποτὲ» ἔχει τὴν φράσιν ὁ Χρυσόστομος (Ὁμιλ. ά. εἰς τὴν πρὸς Ἑβρ.).

[1]) Ἔνθεν μὲν γὰρ ἵσταται ὁ Σαβέλλιος, συγχέων τὰς ὑποστάσεις· ἔνθεν δὲ ἐφέστηκεν ὁ Ἄρειος, κτίσμα τὸν Υἱὸν λέγων· ἡ οὖν βασιλικὴ ὁδὸς, ἣν πορευθῆναι ὀφείλομεν, ὑπὸ κρημνῶν ἀμφοτέρωθεν ἀπείληπται, καὶ πολὺ τὸ δέος μὴ ἐκκλίναντες ἐπὶ θάτερα εἰς δεξιὰ ἢ ἀριστερὰ ἐμπέσωμεν εἰς τὸ βάραθρον· «Ἴσον γὰρ εἰς ἀσέβειαν καὶ Σαβελλίως συνάψαι καὶ Ἀρειανῶς διαστῆσαι» ·Γρηγόριος Ναζ. (Τόμ. ά. σελ. 576. Λόγ. 31). Ὅπερ δ᾽ ἐνταῦθα ὁ Κύριλλος εἶπε βασιλικὴν ὁδὸν, τοῦτο μεσότητα ἐκάλεσεν ὁ Γρηγόριος «μεσότητα δὲ ὅταν εἴπω, τὴν ἀλήθειαν λέγω, πρὸς ἣν βλέπειν καλῶς ἔχομεν μόνην, καὶ τὴν φαύλην συναίρεσιν παραιτούμενοι, καὶ τὴν ἀτοπωτέραν διαίρεσιν» (Τόμ. ά. σελ. 379). Ὄντως θαυμάσιά εἰσι καὶ χρυσαυγοῦς γλώττης ῥήματα τὰ ὑπὸ τοῦ Χρυσοῤῥήμονος διδασκάλου περὶ ταύτης τῆς ὑποθέσεως εἰρημένα (Τόμ. ά. σελ. 501).

[2]) Ἡ θεσπεσία αὕτη τοῦ Εὐαγγελιστοῦ Ἰωάννου ῥῆσις τοσοῦτον καθαρῶς καὶ λευκῶς παρίστησι τὴν ἀληθινὴν τοῦ Χριστοῦ θεότητα, καὶ τοσοῦτον ἀποδεικτική ἐστι τῆς ἰσότητος τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα, ὥστε πανταχόθεν τιτρώσκει καὶ καταβάλλει τοὺς κατὰ τῆς θεότητος τοῦ Μονογενοῦς ἀνταίροντας, καὶ χείλη βλάσφημα διᾶραι τολμῶντας. Διὰ τοῦτο καὶ ὁ Μ. Ἀθανάσιος ἐν ταῖς

Καὶ ἵνα εἴπω συντομώτερον [1]), μήτε χωρίζωμεν, μήτε συναλοιφὴν ἐργαζώμεθα, καὶ μήτε ἀλλότριόν ποτε τοῦ Πατρὸς εἴπῃς τὸν Υἱὸν, μήτε καταδέξῃ τοὺς λέγοντας τὸν Πατέρα ποτὲ μὲν Πατέρα, ποτὲ δὲ Υἱὸν εἶναι· ἀλλότρια γὰρ καὶ ἀσεβῆ ταῦτα καὶ οὐκ Ἐκκλησίας τὰ διδάγματα· ἀλλ᾽ ὁ Πατὴρ γεννήσας τὸν Υἱὸν,

---

μετὰ τῶν Ἀρειανῶν συμπλοκαῖς αὐτοῦ ταύτῃ πλειστάκις κέχρηται τῇ ῥήσει, καὶ ἐπὶ ταύτης ὡς ἐπὶ πύργου ἀκαταμαχήτου ἱστάμενος πολεμεῖ καὶ τὰς δυσμενεῖς τῶν ἐχθρῶν παρατάξεις τρέπει· «Οὐκ ἄλλα, λέγει, ἐν τῷ Πατρὶ, καὶ ἄλλα ἐν τῷ Υἱῷ, ἀλλὰ τὰ ἐν τῷ Πατρὶ, ταῦτα ἐν τῷ Υἱῷ ἐστι· καὶ ἃ βλέπεις ἐν τῷ Πατρὶ, βλέπεις ἐν τῷ Υἱῷ· καὶ νοεῖται καλῶς τὸ «ὁ ἐμὲ ἑωρακὼς, ἑώρακε τὸν Πατέρα» τούτων δὲ οὕτω δεικνυμένων, ἀσεβής ἐστιν ὁ λέγων κτίσμα εἶναι τὸν Υἱὸν» (σελ. 334)· καὶ πάλιν· «χαρακτὴρ γάρ ἐςι τῆς τοῦ Πατρὸς ὑποστάσεως καὶ φῶς ἐκ φωτὸς, καὶ δύναμις, καὶ εἰκὼν ἀληθινὴ τῆς τοῦ Πατρὸς οὐσίας· τοῦτο γὰρ πάλιν εἶπεν ὁ Κύριος· ὁ ἐμὲ ἑωρακὼς, ἑώρακε τὸν Πατέρα· ἀϊδίου γὰρ ὄντος τοῦ Πατρὸς, ἀΐδιος ἂν εἴη καὶ ὁ τούτου λόγος καὶ ἡ σοφία» (σελ. 140). Αὐτὴν ταύτην τὴν ῥῆσιν ἀντιτάττει ὁ μέγας Διδάσκαλος καὶ κατὰ τῆς ἀντιθέτου Σαβελλιανῆς αἱρέσεως, ἐν ἑνὶ ὅπλῳ δύο ἀλλήλοις ἀνταίροντας ἐχθροὺς κατασφάζων· «Διὰ ταῦτα, λέγει, τὴν τοῦ Πατρὸς ἐπίγνωσιν ὑποτιθέμενος, ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα, οὐχ ἑαυτὸν εἶναι τὸν Πατέρα φάσκων· πῶς γὰρ τὸν ἀόρατον; ἀλλὰ τοιοῦτον, οἷον τὸν Πατέρα· προειρήκει γὰρ, εἰ ἐγνώκειτέ με, καὶ τὸν Πατέρα ἂν ᾔδειτε, τὴν δυάδα τῶν προσώπων ἄντικρυς ἐξηγούμενος, ἀπαραλλάκτῳ γνωριζομένην θεότητι· διόπερ ὁ τῆς τοῦ Υἱοῦ καταξιούμενος θεωρίας, οὐκ ἀπεστέρηται τῆς τοῦ Πατρὸς» (σελ. 508). Ὅτι δὲ ἡ ῥῆσις αὕτη τὸ ἀπαράλλακτον τῆς οὐσίας τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα ἀκριβῶς δείκνυσι, μαρτυρεῖ καὶ ὁ Χρυσόστομος λέγων· «Ὅταν μὲν γὰρ τὸ ἀπαράλλακτον τῆς οὐσίας αὐτοῦ δεῖξαι βούληται, τὸ πρὸς τὸν γεγεννηκότα, ὁ ἑωρακὼς ἐμὲ, φησὶν, ἑώρακε τὸν Πατέρα»· (κατὰ Ἀνομοίων Λόγ. Ζ΄. Τόμ. ά. σελ. 615)· καὶ πάλιν· «εἰ δὲ ἑτέρας οὐσίας ἦν, οὐκ ἂν τοῦτο εἶπε· Ἵνα δὲ καὶ παχυτέρου ἅψωμαι λόγου, οὐδεὶς χρυσὸν ἀγνοῶν, ἐν ἀργύρῳ τοῦ χρυσοῦ τὴν οὐσίαν ἰδεῖν δύναται· οὐ γὰρ ἄλλη δι᾽ ἄλλης φαίνεται φύσις» (Ὁμιλ. 76 εἰς Ἰωάννην). Πρόσθες καὶ τὰ ἐπὶ τοῦ ῥητοῦ τούτου ὑπὸ τοῦ Κυρίλλου Ἀλεξ. εἰρημένα (Πεταβ. 104).

[1]) Οἱ Κώδ. Α., R., C., ἔχουσι «τὸ συντομώτατον».

ἔμεινε Πατὴρ καὶ οὐκ ἠλλοίωται. Σοφίαν ἐγέννησεν, ἀλλ' οὐκ αὐτὸς ἄσοφος ἐγένετο· καὶ δύναμιν γεννήσας, οὐκ ἠσθένησε· Θεὸν γεννήσας, οὐκ αὐτὸς τῆς θεότητος ἐστερήθη· καὶ οὔτε τι αὐτὸς ἀπώλεσε μειωθεὶς, ἢ ἀλλοιωθεὶς, οὔτε ὁ γεννηθεὶς ἔχει τι λεῖπον. Τέλειος ὁ γεννήσας, τέλειον τὸ γεννηθέν· Θεὸς ὁ γεννήσας, Θεὸς ὁ γεννηθείς· Θεὸς μὲν τῶν πάντων, Θεὸν δὲ ἑαυτοῦ τὸν Πατέρα ἐπιγραφόμενος· οὐ γὰρ ἐπαισχύνεται λέγων· «Ἀναβαίνω πρὸς τὸν Πατέρα μου, καὶ Πατέρα ὑμῶν· καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν».

§ ΙΘ'. Ἀλλ' ἵνα μὴ νομίσῃς ὅτι ὁμοίως τοῦ Υἱοῦ καὶ τῶν κτισμάτων ἐστὶ Πατὴρ, ὑποδιέστειλεν ἐν τοῖς ἑξῆς· οὐ γὰρ εἶπεν, ἀναβαίνω πρὸς τὸν Πατέρα ἡμῶν, ἵνα μὴ κοινωνία γένηται τῶν ποιημάτων πρὸς τὸν Μονογενῆ· ἀλλὰ Πατέρα μου, καὶ Πατέρα ὑμῶν, εἶπεν· ἄλλως ἐμοῦ κατὰ φύσιν, καὶ ἄλλως ὑμῶν κατὰ θέσιν. Καὶ πάλιν· πρὸς τὸν Θεόν μου, καὶ Θεὸν ὑμῶν [1]· ἄλλως ἐμοῦ, ὡς Υἱοῦ γνησίου καὶ Μονογενοῦς, καὶ ἄλλως ὑμῶν, ὡς δημιουργημάτων. Θεὸς τοίνυν ἀληθινός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, πρὸ πάντων τῶν αἰώνων ἀνεκδιηγήτως γεννηθείς· πολλάκις γὰρ λέγω τὸ αὐτὸ πρὸς ὑμᾶς, ἵνα ἐντυπωθῇ ὑμῶν τοῦτο τῇ διανοίᾳ. Καὶ ὅτι μὲν ὁ Θεὸς Υἱὸν ἔχει, τοῦτο πίστευε· τὸ δὲ πῶς, μὴ πολυπραγμόνει· ζητῶν γὰρ οὐχ εὑρήσεις. Μὴ ἐξύψου σεαυτὸν, ἵνα μὴ πέσῃς· «ἃ προσετάγη σοι,

---

[1]) Τὸ ῥητὸν τοῦτο ἔχει ὁ Κύριλλος καὶ ἐν Κατηχ. Ζ'. 7., ὅπου ἐσημειωσάμεθα ἱκανά. Τοῦτο μόνον παρατηροῦμεν ἐνταῦθα, ὅτι οἱ μὲν ἄλλοι Πατέρες, οἱ ἐν τῇ σημειώσει ἐκείνῃ μνημονευθέντες, τὸ «θεόν μου» ἑρμηνεύουσιν εἰς τὴν ἀνθρωπότητα τοῦ Χριστοῦ· «Θεόν μου δὲ, ὅτι τὸ ὑμέτερον σαρκίον εἴληφα», λέγει ὁ Ἐπιφάνιος· ὁ δὲ Κύριλλος ἐκλαμβάνει τοῦτο ἐπὶ τῆς θείας καὶ ἀνάρχου γεννήσεως· «ἄλλως ἐμοῦ, ὡς Υἱοῦ γνησίου καὶ μονογενοῦς». Θεὸς δηλαδὴ τοῦ Υἱοῦ λέγεται ὁ Πατὴρ τῷ λόγῳ τῆς προαιωνίου γεννήσεως. Συνῳδὰ τῷ Κυρίλλῳ ἑρμηνεύει τὴν ῥῆσιν καὶ ὁ Ἱλάριος (de Trinit. libr. 4. num. 53): «idcirco deus ejus est, quia ex eo natus in deum est» καὶ πάλιν (de Trinitate libr. 11. n. 11) «profitens sibi patrem deum deus filius, dum ex eo nascitur».

ταῦτα διανοοῦ μόνα» [1]). Εἰπέ μοι πρῶτον, τίς ἐστιν ὁ γεννήσας, καὶ τότε μάνθανε [2]) ὃ ἐγέννησεν· εἰ δὲ φύσιν οὐ δύνασαι νοῆσαι τοῦ γεγεννηκότος, τοῦ γεγεννημένου τὸν τρόπον μὴ πολυπραγμόνει.

§ Κ΄. Αὔταρκές σοι πρὸς εὐσέβειαν εἰδέναι, καθὼς εἴπαμεν, ὅτι ἕνα Υἱὸν ὁ Θεὸς ἔχει μόνον, ἕνα φυσικῶς γεγεννημένον· οὐχ ὅτε ἐγεννήθη ἐν Βηθλεὲμ τοῦ εἶναι ἀρξάμενον [3]), ἀλλὰ πρὸ πάντων τῶν αἰώνων. Ἄκουε γὰρ Μιχαίου τοῦ Προφήτου λέγοντος· «Καὶ σὺ Βηθλεὲμ, οἶκος τοῦ Εὐφραθᾶ, μὴ ὀλιγοστὸς εἶ [4]) τοῦ εἶναι ἐν χιλιάσιν

---

[1]) Τὸ «μόνα» οὐ κεῖται ἐν τῷ κειμένῳ τῆς τοῦ Σειρὰχ Σοφίας, οὐδὲ ἐν τῷ Κώδ. Α., ἀλλ' οὐδὲ ὁ Κύριλλος ἐν Κατηχ. ς΄. § 4. τὴν αὐτὴν ἐκθεὶς ῥῆσιν, προσέθηκε τὸ «μόνα». —Πιστῆς ἀληθῶς καὶ εὐλαβοῦς διανοίας ῥήματά εἰσι τὰ τοῦ Θεολόγου Γρηγορίου ἐκεῖνα· «Ἀρκοῦμαι ἀκούειν, ὅτι Υἱὸς, καὶ ὅτι ἐκ τοῦ Πατρός· καὶ ὅτι ὁ μὲν Πατὴρ, ὁ δὲ Υἱός· καὶ οὐδὲν παρὰ τοῦτο περιεργάζομαι» κτλ. (Τόμ. ά. σελ. 382).

[2]) Ἐν τοῖς Κώδ. Α., R., C., «μανθάνεις».

[3]) Καθὰ ἐβλασφήμει ὁ ἐκ Σαμοσάτων Παῦλος, ὃς ἔλεγεν «ἔκτοτε εἶναι τὸν Χριστὸν, ἐξ οὗ ἀπὸ Μαρίας προῆλθεν»· καὶ «ἐξ οὗ γέγονεν ἐκ Μαρίας, ἐξ ἐκείνου τὴν ὕπαρξιν μόνον ἔχει»· Χρυσόστομος (εἰς ψαλμ. ή. Τόμ. έ. σελ. 108. καὶ εἰς ψαλμ. ρθ΄. σελ. 302). Περὶ τῶν οὕτω βλασφημούντων βλ. καὶ Κύριλλον Ἀλεξανδρείας. (Ἐπιστολ. πρὸς Θεοδόσ. § 12. Συνοδ. σελ. 371).

[4]) «Μὴ ὀλιγοστὸς» ἔγραψεν ὁ Κύριλλος καὶ ἐν Κατηχ. ιϐ΄. § 20, ἀλλ' οἱ Κώδ. R., C. ἐν ἑκατέροις τοῖς χωρείοις ἔχουσιν, ἄνευ τοῦ «μὴ» «ὀλιγοστὸς εἶ»· ὁ δὲ Κοισλινιανὸς Κώδηξ ἔχει· «οὐκ ὀλιγοστὸς εἶ». Μεταξὺ δὲ τῶν τριῶν τούτων γραφῶν κυμαίνεται ἡ ῥῆσις αὕτη οὐ μόνον ἐν ταῖς Κατηχήσεσι τοῦ Κυρίλλου, ἀλλὰ καὶ ἐν τοῖς Κώδ. τῆς παλαιᾶς Γραφῆς καὶ ἐν τοῖς Πατράσιν. Οἱ μὲν γὰρ ἀρχαιότατοι Κώδηκες τῶν Ο΄., οἷον ὁ Βατικανὸς, ὁ Ἀλεξανδρινὸς καὶ ὁ Κομπλούτειος, ἔχουσιν «ὀλιγοστὸς εἶ» ἄνευ ἀρνητικοῦ· πρὸς ταύτην τὴν γραφὴν συνᾴδει καὶ Εὐσέβιος (Εὐαγγελ. Ἀποδ. βιϐλ. ϐ΄. καὶ βιϐλ. Ζ΄.), καὶ ὁ Ἱερώνυμος (de optimo genere interpretandi), καὶ τὸ Ἑβραϊκὸν κείμενον· ἀλλ' ὁμολογητέον, ὅτι ἡ ῥῆσις αὕτη, ἄνευ τοῦ ἀρνητικοῦ ἐκφερομένη, οὐ μόνον καθ' ἑαυτὴν φαίνεται ἀσαφὴς καὶ δυσεξήγητος, ἀλλὰ καὶ πρὸς τὸν ἱερὸν Ματθαῖον (ϐ΄. 6) διαφωνεῖ, ἐν ᾧ γέγραπται μετὰ ἀρνήσεως· «οὐδαμῶς ἐλαχίστη εἶ». Ἀποδεκτέον λοιπὸν τὴν γραφὴν τὴν μετ' ἀρνήσεως· ἀλλὰ ποίαν ἄρνησιν, τὴν μὴ, ἢ τὴν οὐ;

Ἰούδα· ἐκ σοῦ γάρ μοι ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμαινεῖ τὸν λαόν μου τὸν Ἰσραήλ· καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς, ἐξ ἡμερῶν αἰῶνος». Μὴ οὖν πρόσεχε τῷ νῦν ἐκ τῆς Βηθλεὲμ [1]), ἀλλὰ προσ-

---

Τὸ, μὴ, ἔχουσιν οὐ μόνον ὁ ἡμέτερος Κύριλλος καὶ ὁ Θεοδώρητος (εἰς Μιχ. κεφ. ἑ.), καὶ Κύριλλος Ἀλεξ. (Λόγ. προφωνητ. πρὸς τὸν βασιλέα Θεοδόσιον § 42), καὶ Τερτυλλιανὸς, καὶ Κυπριανὸς καὶ ἄλλοι, ἀλλὰ καὶ ὁ Βαρβερινὸς Κώδηξ τῶν Ο'. «μὴ ὀλιγοστὸς εἶ» ἔχει καὶ ὁ Κώδηξ τῆς Κανταβριγίας. Ἐκ τούτων, ὡς φαίνεται, παρεισέδυ τὸ, μὴ, τοῦτο καὶ εἴς τινα ἀντίγραφα τοῦ Ματθαίου, ἐν οἷς γέγραπται «μὴ ἐλαχίστη εἶ»· ὥστε τὸ, μὴ, οὐκ ἐξ ἀντιγραφικῆς εἰσέφρησε πλάνης εἰς τὸ κείμενον τοῦ Κυρίλλου, ὡς εἴκασεν ὁ σοφὸς Οἰκονόμος (Τόμ. δ'. σελ. 288), ἀλλ' ἔστι γραφὴ καὶ ἐν Κώδηξι καὶ ἐν Πατράσιν εὑρισκομένη καὶ παραδεδεγμένη. Τινὲς δὲ Πατέρες ἀνέγνωσαν, οὐ, ἀντὶ, μή· ὅθεν ἔχουσιν «οὐκ ὀλιγοστὸς εἶ»· οὕτως ὁ Ὠριγένης (κατὰ Κέλσου βιβλ. ἁ.), ὁ Ἐπιφάνιος (Ἀγκυρωτ. σελ. 35) καὶ ἄλλοι (βλ. Οἰκονόμ. Τόμ. δ'. σελ. 289). Ἄλλοι δὲ πάλιν Πατέρες, προτιθέντες τοῦ Προφήτου τὴν ῥῆσιν, ἐκφέρουσιν αὐτὴν οὐχὶ ἐκ τῶν Ο'., ἀλλ' ἐκ τοῦ Ματθαίου, «οὐδαμῶς ἐλαχίστη εἶ», οἷον ὁ Ἰουστῖνος καὶ ὁ Χρυσόστομος. Ἐκ τῶν ἐκτεθειμένων γίνεται σαφὲς, ὅτι τὸ μὲν «οὐκ ὀλιγοστὸς εἶ» ἔχει μὲν ἱεροὺς τινας συγγραφεῖς ὑπερασπιστὰς, στερεῖται δὲ παντάπασιν αὐθεντίας Κωδήκων· τὸ δὲ «μὴ ὀλιγοστὸς εἶ» ἔχει καὶ ἱεροὺς συγγραφεῖς μαρτυροῦντας, καὶ Κώδηκας βεβαιοῦντας· ἐξηπάτηται δὲ ὁ σοφὸς Τουτέος νομίσας ὅτι τὸ ἀρνητικὸν, μὴ, παρεισέφρησεν εἴς τινας ἑλληνικοὺς Κώδηκας τοῦ Μιχαίου ἐκ τοῦ Ματθαίου. Εἰ γὰρ ἔκειτο ἡ ῥῆσις ἐν τῷ Μιχαίᾳ ἄνευ ἀρνήσεως, πῶς ἐξέφρασεν αὐτὴν μετ' ἀρνήσεως ὁ θεόπνευστος Εὐαγγελιστής;

[1]) Ἐν τοῖς Κώδ. R., C. ἡ περίοδος αὕτη ἐκφέρεται οὕτω· «Μὴ οὖν πρόσεχε τῷ νῦν ἐν Βηθλεὲμ γεγεννῆσθαι αὐτὸν, καὶ Υἱὸν ἀνθρώπου ὅλον αὐτὸν πρόσφατον νόμιζε, ἀλλὰ προσκύνει» κτλ. Οὐκ ἀλόγως ὑποπτεύει ὁ Τουτέος ὡς παρέγγραπτα καὶ παρεμβεβλημένα τὰ ἐν τῇ περιόδῳ ταύτῃ πλεονάζοντα, ἅπερ ἴσως ἐτέθησαν ἵνα μετριάσωσι τὸ τραχὺ τῶν λεχθέντων. — Σκληρά πως ἐνηχεῖ εἰς τὰ ὦτα ἡ φράσις αὕτη τοῦ θεσπεσίου Κυρίλλου, καὶ εἰ ἐγράφετο ἐν τοῖς κατὰ τὸν Νεστόριον χρόνοις, εἶπεν ἄν τις, ὅτι ὄζει Νεστοριανισμοῦ· ἀλλὰ πάμπαν ἀθῶα ἐστὶ νῦν αὕτη, καὶ πόρρω πάσης κακοδοξίας, καὶ μετ' εὐσεβοῦς διανοίας ἐκπεφρασμένη. Ὁ Κύριλλος λέγων, ἵνα μὴ προσέχωμεν

χύνει τὸν ἀϊδίως ἐκ Πατρὸς γεννηθέντα. Μὴ χρονικὴν ἀρχὴν τοῦ Υἱοῦ καταδέξῃ τινὸς λέγοντος [1], ἀλλ' ἄχρονον ἀρχὴν γίνωσκε τὸν

τῷ νῦν ἐκ τῆς Βηθλεὲμ γεννωμένῳ, οὐκ ἄλλον νομίζει τὸν ἐκ Παρθένου καὶ ἄλλον τὸν ἐκ Πατρὸς ἀϊδίως γεγεννημένον, οὐδὲ διαιρεῖ εἰς δύο πρόσωπα καὶ δύο ὑποστάσεις τὸν ἕνα Χριστὸν, ἀλλ' ἐκθεὶς τὴν προφητικὴν ῥῆσιν, τὴν δηλοῦσαν, ὅτι αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς καὶ ἐξ ἡμερῶν αἰῶνος, διδάσκει ὅτι οὐ γυμνὴν οὐδὲ μόνην τὴν ἀνθρωπότητα τοῦ Χριστοῦ πρέπον ἐστὶν ἵνα θεωρῶμεν, ἀλλὰ πρὸς τὴν θεότητα αὐτοῦ μάλιστα τὸν νοῦν ἐφιστᾷν ὀφείλομεν, ἵνα μὴ προσπταίσωμεν τῷ βλεπομένῳ, μὴ σκοποῦντες τὸ νοούμενον», ὡς ἔφη ὁ Ναζιανζηνὸς Γρηγόριος (σελ. 537 καὶ Κατήχ. ιβ'. § 1). Ἄλλως τε τὴν ἐν τῷ ἑνὶ Χριστῷ τῶν δύο φύσεων ἕνωσιν τοσοῦτον καθαρῶς καὶ τοσοῦτον εὐγλώττως ἐκτίθησιν ὁ Κύριλλος (ἐν Κατηχ. δ'. § 9.), ὥστε νομίζει τις ὅτι γράφει ἐπίτηδες κατὰ Νεστορίου· ἀλλὰ καὶ μικρὸν ἀνωτέρω εἶπε περὶ τοῦ Σωτῆρος· «οὐχ ὅτε ἐγεννήθη ἐν Βηθλεὲμ τοῦ εἶναι ἀρξάμενον»· βλ. καὶ Κατήχ. ιβ'. § 1. Ἀλλ' οὐδὲ ἐκβάλλει ὁ Κύριλλος διὰ τῆς φράσεως ἐκείνης τὴν τῇ ἀνθρωπότητι τοῦ Χριστοῦ πρέπουσαν προσκύνησιν, ὅπου γε αὐτὸς (ἐν Κατηχ. ιβ'. § 33) ἐνθέρμως συνίστησι τὴν προσκύνησιν τοῦ ἐκ Παρθένου γεννηθέντος· «Προσκυνείσθω ὁ ἐκ Παρθένου γεννηθεὶς Κύριος», καὶ Κατήχ. ι. § 10· «Κύριός ἐστιν ὁ τεχθεὶς ἐν Βηθλεὲμ τῆς Ἰουδαίας.

[1]) Χρονικὴν ἀρχὴν τοῦ Υἱοῦ ἔλεγεν ὁ Ἄρειος, ὡς γίνεται δῆλον ἐξ ὅσων εἴπομεν ἐν τοῖς ἔμπροσθεν, καὶ ἐκ τοῦ πολυθρυλλήτου ἐκείνου «ἦν ποτε, ὅτε οὐκ ἦν ὁ Υἱός»· ὁ δὲ Θεόδωρος Ἡρακλεώτης σημειοῖ (ἐν τῇ εἰς τὸν Ματθ. σειρᾷ κεφ. 13), ὅτι καὶ οἱ αἱρετικοὶ Μαρκίων καὶ Μάρκος ταύτην εἶχον τὴν πλάνην· «Μαρκίων ἅμα καὶ Μάρκος οἱ αἱρετικοὶ ἐλέγχονται, λέγοντες ἀρχὴν χρονικὴν ἐσχηκέναι τὸν Χριστόν». Ἀλλὰ ταύτης τῆς βλασφημίας ἔνοχοί εἰσιν ἅπαντες οἱ αἱρετικοὶ, οἱ μὴ ἀληθινὸν Θεὸν τὸν Χριστὸν ἀνομολογοῦντες, ἀλλ' ἐκ Παρθένου τὴν ἀρχὴν ἐσχηκέναι λέγοντες· οἷον Ἐβίων, Παῦλος Σαμοσατεὺς κτλ. Περὶ τῶν αἱρετικῶν τούτων, μάλιστα τῶν χρονικὴν ἀρχὴν τῷ Υἱῷ τιθέντων, φησὶν ὁ θεσπέσιος Κύριλλος Ἀλεξανδρείας· «Οἱ τῶν αἱρέσεων εὑρεταὶ, τοὺς τῆς ἀπωλείας σφίσι τε αὐτοῖς καὶ μὴν καὶ ἑτέροις ὀρύττοντες βόθρους ματαιότητος, εἰς τοῦτο κατώλισθον ἐννοιῶν, ὡς οἴεσθαί τε καὶ λέγειν πρόσφατον εἶναι τὸν Υἱὸν, ἐν ἴσῳ τε τοῖς κτίσμασι παρῆχθαι παρὰ τοῦ Θεοῦ καὶ Πατρός· καὶ τὸν πρὸ παντὸς αἰῶνος καὶ χρόνου, μᾶλλον δὲ τῶν αἰώνων

Πατέρα· ἀρχὴ γὰρ Υἱοῦ ἄχρονος, ἀκατάληπτος, ἄναρχος, ὁ Πατήρ· πηγὴ τοῦ τῆς δικαιοσύνης ποταμοῦ, τοῦ Μονογενοῦς [1]), ὁ Πατὴρ, ὁ γεννήσας αὐτὸν καθὼς οἶδεν αὐτὸς μόνος. Καὶ θέλεις γνῶναι, ὅτι καὶ αἰώνιός ἐστι βασιλεὺς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός; ἄκουε πάλιν αὐτοῦ λέγοντος· «Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν· καὶ εἶδε καὶ ἐχάρη». Εἶτα, σκληρῶς τοῦτο καταδεξαμένων τῶν Ἰουδαίων, τὸ ἐκείνοις ἔτι σκληρότερον λέγει· «Πρὶν Ἀβραὰμ γενέσθαι ἐγώ εἰμι». Καὶ πάλιν πρὸς τὸν Πατέρα λέγει· «Καὶ νῦν δόξασόν με σὺ, πάτερ, παρὰ σεαυτῷ τῇ δόξῃ, ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί». Σαφῶς γὰρ εἴρηκεν, ὅτι, πρὶν τὸν κόσμον γενέσθαι, ἐγὼ εἶχον τὴν παρὰ σοὶ δόξαν. Καὶ πάλιν· «ὅτι ἠγάπησάς με πρὸ καταβολῆς κόσμου» λέγων, σαφῶς φησιν, ὅτι ἀΐδιον ἔχω τὴν παρὰ σοὶ δόξαν.

§ ΚΑ'. Πιστεύομεν τοίνυν εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν Μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα Θεὸν ἀληθινὸν πρὸ πάντων τῶν αἰώνων, δι' οὗ τὰ πάντα ἐγένετο· εἴτε γὰρ θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι, τὰ πάντα δι' αὐτοῦ ἐγένετο, καὶ οὐδὲν τῶν γεννητῶν ὑπεξῄρηται τῆς ἐξουσίας αὐτοῦ. Φιμούσθω πᾶσα αἵρεσις, διαφόρους ποιητὰς καὶ κοσμοποιοὺς εἰσάγουσα [2]). Φιμούσθω βλασφημοῦσα γλῶσσα τὸν Χριστὸν τὸν

ποιητὴν, τῇ κατὰ χρόνον ἀρχῇ περιγράφοντες οὐκ ἐρυθριῶσιν οἱ δείλαιοι» (Ἐπισ. πρὸς τοὺς ἐν Αἰγύπτῳ Μοναχούς). Ὅρα καὶ Ἀμβρόσιον (παρὰ Θεοδωρήτῳ Διάλ. σελ. 94).

[1]) Καθὼς ὁ Πατὴρ λέγεται ἀρχὴ καὶ αἰτία τοῦ μονογενοῦς Υἱοῦ, οὕτω λέγεται καὶ πηγὴ αὐτοῦ. «Πηγὴν τῆς Ὑπερουσίου Θεότητος» καὶ «πηγαίαν Θεότητα» ἐκάλεσε τὸν Πατέρα Διονύσιος ὁ Ἀρεοπαγίτης (περὶ θείων Ὀνομ. κεφ. ά.)· «πηγὴν ἀΐδιον σοφίας» εἶπε τὸν Πατέρα καὶ ὁ Μ. Ἀθανάσιος (κατὰ Ἀρειαν. Λόγ. β'. Τόμ. ά. σελ. 149)· ὁμοίως «πηγὴν» εἶπεν αὐτὸν καὶ ὁ Θεολόγος Γρηγόριος (Λόγ. 20)· «πηγὴν καὶ αἰτίαν τοῦ Υἱοῦ» ὠνόμασε τοῦτον καὶ ὁ θεῖος Δαμασκηνὸς (ά. 15).

[2]) Πολλοὺς καὶ πολυμόρφους αἱρετικοὺς φιμοῖ καὶ φυγαδεύει ὁ Πατὴρ ἐνταῦθα, περὶ τῆς δημιουργίας τοῦ κόσμου βλάσφημα καὶ κακόδοξα δογματίσαντας· οἱ μὲν γὰρ ἔλεγον ἄλλον εἶναι τὸν τοῦ σώματος δημιουργὸν καὶ ἄλλον τὸν τῆς ψυχῆς· οἱ

Υἱὸν τοῦ Θεοῦ. Φιμούσθωσαν οἱ λέγοντες τὸν ἥλιον εἶναι τὸν Χριστόν· ἡλίου γάρ ἐστι δημιουργὸς, οὐχ ὁ ἥλιος ὁ φαινόμενος. Φιμούσθωσαν οἱ λέγοντες ἀγγέλων δημιούργημα τὸν κόσμον, οἱ τὸ τοῦ Μονογενοῦς ἀξίωμα παραρπάζειν βουλόμενοι· εἴτε γὰρ ὁρατὰ, εἴτε ἀόρατα, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε τι ὀνομαζόμενον, πάντα διὰ τοῦ Χριστοῦ ἐγένετο· βασιλεύει τῶν ὑπ' αὐτοῦ πεποιημένων, οὐκ ἀλλοτρίαν αἰχμαλωσίαν ἁρπάσας, ἀλλὰ ἰδίων δημιουργημάτων βασιλεύων, καθὼς ὁ Εὐαγγελιστὴς εἴρηκεν Ἰωάννης· «Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν»· πάντα δι' αὐτοῦ ἐγένετο, τοῦ Πατρὸς δι' Υἱοῦ ἐργαζομένου.

§ ΚΒ'. Καὶ βούλομαι μέν τι εἰπεῖν [1]) καὶ ὑπόδειγμα τῶν λεγομένων, ἀλλ' οἶδα αὐτὸ ἀσθενές· ποῖον γὰρ ἔσται τῶν ὁρατῶν ἀκριβὲς ὑπόδειγμα τῆς θείας καὶ ἀοράτου δυνάμεως; ἀλλ' ὅμως λεγέσθω ὡς ἀσθενὲς παρὰ ἀσθενῶν πρὸς ἀσθενεῖς. Ὥσπερ γὰρ ἄν τις βασιλεὺς βασιλέα υἱὸν ἔχων, βουλόμενος κατασκευάσαι πόλιν, ὑπόθοιτο τῷ υἱῷ συμβασιλεύοντι τὴν κατασκευὴν τῆς πόλεως· ὁ δὲ τὸ παράδειγμα λαβὼν, εἰς τέλος ἄγει τὸ νοηθέν· οὕτω Πατρὸς βουληθέντος τὰ πάντα κατασκευάσαι [2]), τῷ τοῦ Πατρὸς νεύματι ὁ Υἱὸς τὰ πάντα ἐδημιούργησεν, ἵνα [3]) τὸ μὲν νεῦμα τηρῇ τῷ Πατρὶ τὴν αὐθεν-

---

δὲ ἄλλον τὸν τοῦ φωτὸς ποιητὴν, καὶ ἄλλον τὸν τοῦ σκότους· οἱ δὲ, καὶ οὗτοι ἦσαν οἱ Γνωστικοὶ (Σίμων μάγος, Κήρινθος, Μένανδρος, Βασιλείδης, Σατουρνῖνος κλ.), ὑπ' ἀγγέλων εἶπον τὸν κόσμον δεδημιουργημένον. Περὶ τούτων ἐγένετο λόγος καὶ ἐν τοῖς ἔμπροσθεν. Περὶ δὲ τῶν αἱρετικῶν τῶν λεγόντων ἥλιον τὸν Χριστὸν ὅρα τὴν σημ. εἰς Κατήχ. ς'. § 16.

[1]) Ὀρθῶς ἐποίησεν ὁ Τουτέος μεταβαλὼν τὸ ἐν ταῖς ἐκδόσεσι «τοι» εἰς τὸ «τι»· ἐν τῷ Κώδ. Α. τὸ «τι» κεῖται κατόπιν τοῦ «εἰπεῖν».

[2]) Ἐγράψαμεν «κατασκευάσαι» ἐκ τῶν Κωδ. R., C., Ottob. Ἐν ταῖς ἐκδόσεσιν ἔκειτο ἐσφαλμένως «κατεσκευᾶσθαι»· ὁ δὲ Κώδηξ Α. ἔχει «κατεσκεύασεν».

[3]) Ἡ ἐφεξῆς περίοδος μέχρι τοῦ «δημιουργημάτων» τεταραγμένη φαίνεται ἐν τοῖς Κώδ. R., C. αἱ μὲν γὰρ λέξεις ἀπὸ τοῦ «ἵνα» μέχρι τοῦ «ἐξουσίαν» ἐλλείπουσι παντάπασιν ἐν αὐτοῖς, τὰ δὲ ἑπόμενα οὕτως ἐκφέρονται· «καὶ ἔχει ἐξουσίαν τῶν ἰδίων

τικὴν ἐξουσίαν [1]), καὶ ὁ Υἱὸς δὲ πάλιν ἔχῃ τὴν ἐξουσίαν τῶν ἰδίων δημιουργημάτων· καὶ μήτε Πατὴρ ἀπαλλοτριωθῇ τῆς δεσποτείας τῶν ἰδίων δημιουργημάτων, μήτε ὁ Υἱὸς τῶν ὑπ' ἄλλου δημιουργηθέντων βασιλεύῃ, ἀλλὰ τῶν ὑπ' αὐτοῦ. Οὐ γὰρ ἄγγελοι, καθὼς εἴρηται, τὸν κόσμον ἐδημιούργησαν, ἀλλὰ Υἱὸς μονογενὴς, πρὸ πάντων τῶν αἰώνων γεγεννημένος, καθὼς εἴρηται· δι' οὗ τὰ πάντα ἐγένετο, μηδενὸς ὑπεξῃρημένου τῆς ὑπ' αὐτοῦ ποιήσεως. Καὶ ταῦτα μὲν ὑμῖν [2]) τέως τῇ τοῦ Χριστοῦ χάριτι λελέχθω.

§ ΚΓ΄. Ἀναδραμόντες δὲ ἐπὶ τὴν τῆς πίστεως ἐπαγγελίαν [3]), καταπαύσωμεν ἐν τῷ παρόντι τὸν λόγον. Πάντα ἐποίησεν ὁ Χριστὸς, κἂν ἀγγέλους λέγῃς, κἂν ἀρχαγγέλους, κἂν κυριότητας, κἂν θρόνους, οὐχ ὅτι ὁ Πατὴρ ἠτόνει περὶ τὴν τῶν δημιουργημάτων αὐτουργίαν, ἀλλ' ὅτι βασιλεύειν τῶν ὑπ' αὐτοῦ πεποιημένων τὸν Υἱὸν ἠβουλήθη, αὐτὸς αὐτῷ παρέχων τῶν κατασκευαζομένων τὴν ὑφήγησιν [4])· τιμῶν γὰρ τὸν ἑαυτοῦ Πατέρα ὁ Μονογενὴς φησιν· «Οὐ δύναται ὁ Υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδὲν, ἐὰν μή τι βλέπῃ τὸν Πατέρα

δημιουργημάτων, ἵνα καὶ Πατὴρ δημιουργὸς ᾖ, καὶ ὁ Υἱός· καὶ μήτε » κτλ. Ταῦτα δὲ συνάπτονται ἀμέσως πρὸς τὰ ἀνωτέρω «ὁ Υἱὸς τὰ πάντα ἐδημιούργησεν».

[1]) Ἤδη ὁ Μιλλέσιος σεσημείωκεν, ὅτι πολλοὶ ἐκ τούτου τοῦ χωρίου καὶ ἄλλων ὁμοίων ἀφορμὴν λαβόντες εἶπον, ὅτι ὁ Κύριλλος κλίνει μικρὸν πρὸς τὸν Ἀρειανισμόν· ἔλεγε γὰρ ὁ Ἄρειος, ὅτι διὰ τοῦτο ἔκτισεν ὁ Θεὸς τὸν Χριστὸν πρὸ αἰώνων, ἵνα δι' αὐτοῦ, ὡς δι' ὀργάνου, δημιουργήσῃ τὰ πάντα· ἀλλ' ὀρθῶς προστίθησιν ὁ Μιλλέσιος, ὅτι τοσαῦτά εἰσι τὰ χωρία τοῦ Κυρίλλου, τὰ πρὸς τὴν αἵρεσιν τοῦ Ἀρείου λαμπρῶς διαμαχόμενα, καὶ ἀμάχως αὐτὴν καταπολεμοῦντα, ὥστε οὐδὲ κἂν ὑπόνοια καταλείπεται τοιαύτης ἑτεροδοξίας.

[2]) Ἐγράψαμεν «ὑμῖν» ἐκ τῶν Κωδ. A., R., C., Coisl. ἀντὶ «ἡμῖν», ὅπερ εἶχον αἱ ἐκδόσεις.

[3]) Ὁ Κώδ. A. ἔχει «ὁμολογίαν».

[4]) Αἱ λέξεις «αὐτὸς αὐτῷ παρέχων τῶν κατασκευαζομένων τὴν ὑφήγησιν» λείπουσιν ἐκ τῶν Κωδ. A. R., C., ἀλλὰ πρὸς ταύτας ἀναφέρεται ἡ ἑπομένη αἰτιολογία· ὅθεν εἰκάζομεν, ὅτι κακῶς ἐξέπεσον αἱ λέξεις ἐκεῖναι ἐκ τῆς τῶν ἀντιγραφέων ἀβλεψίας.

ποιοῦντα· ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ»· καὶ πάλιν· «Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι»· οὐδεμιᾶς οὔσης ἐν τοῖς ἐργαζομένοις ἐναντιότητος· «τὰ γὰρ ἐμὰ πάντα σά ἐστι, καὶ τὰ σὰ ἐμά», φησὶν ἐν Εὐαγγελίοις ὁ Κύριος. Καὶ τοῦτό ἐστιν ἐπιγνῶναι σαφῶς ἐκ τῆς Παλαιᾶς καὶ Καινῆς Διαθήκης· ὁ γὰρ λέγων· «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν», πάντως ὅτι τινὶ παρόντι προσδιελέγετο· σαφέστατα δὲ μᾶλλον ὁ ψαλμῳδὸς εἴρηκεν· «Αὐτὸς εἶπε καὶ ἐγεννήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν», ὡς τοῦ Πατρὸς μὲν [1]) ἐντελλομένου καὶ λέγοντος, τοῦ δὲ Υἱοῦ νεύματι αὐτοῦ τὰ πάντα δημιουργοῦντος. Καὶ τοῦτο μυστικῶς [2]) ὁ Ἰὼβ ἔλεγεν· «Ὁ τανύσας τὸν οὐρανὸν μόνος, καὶ περιπατῶν ὡς ἐπ' ἐδάφους ἐπὶ θαλάσσης»· δηλῶν τοῖς νοοῦσιν, ὅτι ὁ διὰ τῆς παρουσίας περιπατῶν ἐπὶ τῆς θαλάσσης, οὗτος ἦν ὁ πρὸ τούτου τῶν οὐρανῶν ποιητής. Καὶ πάλιν ὁ Κύριός φησιν· «Ἢ σὺ λαβὼν γῆν πηλὸν [3]), ἔπλασας ζῶον, καὶ λαλητὸν αὐτὸν ἔθου ἐπὶ τῆς γῆς;» εἶτα ἑξῆς· «Ἀνοίγονται δέ σοι φόβῳ πύλαι θανάτου, πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν»; δηλῶν, ὅτι ὁ εἰς ᾅδου κατελθὼν διὰ φιλανθρωπίαν, οὗτος ἐξ ἀρχῆς ἐκ πηλοῦ κατεσκεύασε τὸν ἄνθρωπον.

§ ΚΔ΄. Ἔστι τοίνυν ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ ὁ μονογενὴς καὶ τοῦ κόσμου ποιητής· «Ἐν γὰρ τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο»· καὶ «εἰς τὰ ἴδια ἦλθε» καθὼς ἡμᾶς διδάσκει τὸ Εὐαγγέλιον. Οὐ μόνον δὲ τῶν φαινομένων, ἀλλὰ καὶ τῶν μὴ φαινομένων νεύματι Πατρὸς ποιητής ἐστιν ὁ Χριστὸς [4])· «Ἐν αὐτῷ γὰρ

---

[1]) Ἐθήκαμεν τὸν «μὲν» κατόπιν τοῦ «πατρὸς» ἐκ τοῦ Κώδ. Α. Αἱ ἐκδόσεις «ὡς μὲν τοῦ πατρός».

[2]) Ἐν τοῖς δυσὶ Κώδ. R., C., κεῖται «μυστικῶς σημαίνων».

[3]) Γῆν πηλὸν ἔχουσι καὶ ἡ βατικανὴ τῶν Ο΄. ἔκδοσις καὶ αἱ ἐκδόσεις τοῦ Κυρίλλου, καὶ οἱ Κώδ. Α., Coisl., ἀλλ' ἡ κομπλουτεία ἔκδοσις ἔχει «γῆς πηλόν», καὶ ταύτην τὴν γραφὴν εὑρίσκομεν ἐν τοῖς Κώδ. τοῦ Κυρίλλου Ottob. R., C.

[4]) Τοῦ Μαρκίωνος καὶ Μάνεντος τὴν δυσσέβειαν ἀνατρέπει ὁ Κύριλ-

ἐκτίσθη τὰ πάντα» κατὰ τὸν Ἀπόστολον, «τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα· εἴτε θρόνοι, εἴτε κυριότητες· εἴτε ἀρχαί, εἴτε ἐξουσίαι· τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται· καὶ αὐτός ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε». Κἂν τοὺς αἰῶνας αὐτοὺς εἴπῃς, καὶ τούτων νεύματι [1]) τοῦ Πατρός ἐστι ποιητὴς Ἰησοῦς ὁ Χριστός [2])· «Ἐπ' ἐσχάτων γὰρ τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν». Ὧ ἡ δόξα, τιμή, κράτος, σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων [3]). Ἀμήν.

λος ἐνταῦθα· ὁ μὲν γὰρ Μαρκίων, κατὰ τὸν Ἱερώνυμον (Epist. ad Pammachium), ἄλλον ἔλεγε τὸν ἀγαθὸν Θεόν, καὶ ἄλλον τὸν δίκαιον· καὶ ἐκείνῳ μὲν ἀνέγραφε τὴν τῶν ἀοράτων δημιουργίαν, τῷ δὲ δικαίῳ τῶν ὁρατῶν· οἱ δὲ Μανιχαῖοι ἄλλον ἔλεγον τὸν τοῦ σώματος ποιητήν, καὶ ἄλλον τὸν τῆς ψυχῆς.

[1]) Ὁ Κώδ. A. «θελήματι». Ἐν δὲ τοῖς Κώδ. R., C. ἐλλείπουσιν ὅλως αἱ λέξεις «νεύματι πατρός».

[2]) Ὁ Τουτέος πιθανὸν νομίζει ὅτι ὁ Κύριλλος αἰῶνας λέγων ἐνταῦθα, ἐννοεῖ ἀγγελικήν τινα τάξιν· διότι καὶ ἄλλοι, λέγει, τοὺς αἰῶνας ἐξέλαβον ὡς τάξεως ἀγγελικῆς εἶδος. Ἀλλὰ περὶ ἀγγέλων καὶ ἀγγελικῶν τάξεων διέλαβεν ὁ Κύριλλος ἱκανά· οὐδὲ νομίζομεν] πιθανὸν ὅτι μετὰ τὰ περὶ ἀγγέλων ῥηθέντα ἐκεῖνα, ἀπηρίθμησε πάλιν καὶ τοὺς αἰῶνας ὡς ἴδιόν τι τάγμα ἀγγελικόν. Ἡ ἁπλουστέρα καὶ φυσικωτέρα ἐξήγησις τῶν αἰώνων ἐστὶν ἡ τοῦ μακαρίου Θεοδωρήτου (πρὸς Ἑβρ. ά. 2. σελ. 396).

[3]) Ἡ δοξολογία αὕτη ἐν τῷ ἀρχιεπισκοπικῷ Κώδηκι κεῖται πλατυτέρα οὕτως· «ᾯ πρέπει κράτος, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ Πατρί, καὶ τῷ ἁγίῳ καὶ προσκυνητῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀπεράντους καὶ ἀτελευτήτους αἰῶνας τῶν αἰώνων».

ΠΙΝΑΞ ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ
ΕΝ ΤΩι ΠΑΡΟΝΤΙ ΤΟΜΩι.

ΠΑΡΟΡΑΜΑΤΩΝ ΔΙΟΡΘΩΣΙΣ.

Σελ. 2	στίχ. 2	σημ. 3)	ς'ήλ. β'.	ἀντὶ	ἐκ τοῦ	γράφε	ἐκ τῶν
— 4	στίχ. 6	χειμ.	»	»	ὦδὲ	—	ὧδε
— 5	» 6	»	»	»	εἴδω	—	ἴδω
— 6	» 2	»	»	»	δὲ σοῦ	—	δέ σου
—	» 3	»	»	»	εὐαγγελίοις	—	Εὐαγγελίοις
— 9	» 4	σημ. 5)	» ά.	»	ὦδε ὦδε	—	ὧδε ὧδε
— 10	» 10	χειμ.	»	»	τὸν	—	τὴν
— 11	» 19	σημ. 2)	» β'.	»	συμβαίνει	—	συμβαίνοι
— 12	» 9	χειμ.	»	»	δεῖ σε	—	δεῖ γάρ σε
—	11		»	»	δικαισύνη	—	δικαιοσύνη
— 14	» 16	σημ. 2)	» β'.	»	Σφάλεσθε	—	Σφάλλεσθε
— 19	» 1	χειμ.		»	ἀνοίκεια·	—	ἀνοίκεια;
— 21	» 18	σημ. 2)	» β'.	»	οὕτω δὲ	—	οὕτω δὴ
—	» 24	» 3)	»	»	Ἀρχιεπισκόπου τοῦ	—	Ἀρχιεπισκοπικοῦ, τοῦ
— 23	» 5	χειμ.		»	οἰκοδομοῖς	—	οἰκοδομητικοῖς
— 25	» 1	»			Μὴ	—	Μή
— 28	» 7 καὶ 9	σημ. 6)	» β'.	»	ἐγράψαμεν· «δείξει-καὶ φερομένου· «δείξῃ	—	ἐγράψαμεν«δείξει καὶ φερομένου «δείξῃ».
— 29	» 2, 3, 4.	χειμ.		»	ἀντὶ μὲν ἐρωτηματικοῦ θετέον ἐπάνω στιγμὴν (·) τὸ δὲ ἀρκτικὸν τ τῆς λέξεως τότε ἐν ἀμφοτέραις ταῖς προτάσεσι μικρογραφηθ ήτω.		
— 30	» 18	σημ. 6)	» β'.	»	ἓν	—	ἐν
— 33	» 15	σημ. 4)	» β'.	»	πολέμου	—	πολεμίου
— 34	» 5	χειμ.	»	»	τὶς . . . τὶς	—	τίς . . τίς
—	» 8	σημ. 1)	» ά.	»	ἀκούσῃ, ἐπιστήμων	—	ἀκούσῃ ἐπιστήμων,
— 37	» 7 11	ἐπιγρ.	»	»	λούσασθε ὀφθαλμῶν μου	—	«Λούσασθε ὀφθαλμῶν μου».
— 41	» 11	χειμ.		»	σωτήριον,	—	σωτήριον
—	» 4	σημ. 1) ά.		»	κρυβομένην	—	κρυπτομένην
— 44	» 12	χειμ.		»	νενεκρωμένον	—	νενευρωμένον

Σελ. 49 στίχ. 7 καὶ 8 σημ. 1) β΄. ἀντὶ πρὸ τοῦ malitia στίξον κώλῳ (·).
— 50 » 8 σημ. 2) στήλ. ά. » κτισθέντας γράφε κτισθέντες;
— 51 » 1 κειμ. Ἀποθήσει — Ἀποθήσει
— » 2 σημ. 1) » ά. » συνετρίβη — συντρίβει
— 53 » 21 » 5) » ά. » βία — βίᾳ
— 54 » 16 20 3) » β΄. » μεθ' ἑκάστην τῶν τριῶν ἐρωτήσεων ἀπὸ τοῦ «τί γάρ» ἀρχομένων στίξον ἐρωτηματικῶς (;)
— 55 » 16 » 5) » β΄. » autorem — auctorem
— 60 » 3 » 2) » ά. » Ἐπισκοπικῷ—Ἀρχιεπισκοπικῷ
— 61 » 12 » 2) » ά. » θαῤῥῷ — θαῤῥῶ
— 62 » 11 κειμ. » » οἵων — οἵων
— 63 » 8 » » » ἑξακοσιοστῷ » ἑξακοσιοστῷ
— 65 » 2 » » » ὢ — Ὢ
— » 3 σημ. 3) στήλ. ά. » αὐτὸς — αὐτούς.
— 68 » 2 » 4) » ά. » θεραπείαν — ἰατρείαν
— 69 » 6 κειμ. » » περιεβάλλετο—περιεβάλετο
— 73 » 11 σημ. 5) στήλ. β΄.) » suder — super
— 89 » 2 κειμ. » » ἀλλὰ φησιν, τί καὶ λέγει — ἀλλά φησι· τί καὶ λέγει;
— » 6 » » » Ἡλίου — Ἡλιοῦ
— 97 » 5 » » » ἐνθυπορήσητε —εὐθυπορήσητε.
—109 » 3 » » » ἀλλὰ ταῦτα «τινές ἦτε».— ἀλλὰ «ταῦτά τινες ἦτε».
—112 » 18 σημ. στήλ. β΄. » ἤδει — ἔδει
—113 » 5 » 3) » β΄. » αἴρει — αἱρεῖ
—118 » 19 κειμ. » » ἀδελφιδὸν — ἀδελφιδοῦν
—127 » 2 » » » τεθεμελιούσθω— τεθεμελιώσθω.
—144 » 13 σημ. 2) στήλ. β΄. » Suicerus (Thesau —(Suicerus Thes.
—171 » 3 » 5) » β΄. » ἤδη » εἴδη
—172 » 4 » 3) » β΄. » καὶ τῷ » καὶ τὸ
—181 » 5 » 6) » ά. » καταδικάζεται—καταδικάζει καὶ
—191 » 8 κειμ. » » περιεπάτησεν· ἐπὶ τὰ ὕδατα — περιεπάτησεν ἐπὶ τὰ ὕδατα.
—192 » 15 » » » τελευτηκότι — τετελευτηκότι

σελ. 195	ςίχ. 19	σημ.	ςήλ. ά.		ἀντὶ	χάριτας	γράφε	χάρτας
—201	« 9	»	1)	»	«	οὔτε μὴν εὕρῃ	—	οὔτε μὴ εὕρῃ.
—214	» 14	»	4)	»	»	Ἡφιάστου	—	Ἡφαίστου
—222	» 4	κειμ.	»		»	πότερον ποτὲ	—	πότερόν ποτε
	» 10	σημ.	1) ςήλ. ά.		»	ἀγηθὸν	—	ἀγαθὸν
—234	» 1	»	4)	»	»	θήλει	—	θήλειαν
—250	» 1	κειμ.	»		»	εἰ δὲ, δεῖ καὶ	—	εἰ δὲ δεῖ, καὶ
—258	» 17	σημ.	1) ςήλ. ά.		»	ἑτήρουν	—	ἐτήρουν
—260	» 9	κειμ.	»		»	ἀγνεία	—	ἁγνεία
—283	» 4	»	»		»	πρὸς ἡμᾶς, ῥηθῇ	—	πρὸς ἡμᾶς ῥηθῇ
—319	» 2	σημ.	3) ςήλ. β'.		»	ἐξουσίαν, κατασκευὴν	—	ἐξαισίαν κατασκευὴν
—339	» 27	»	2)	» β'.	»	nulevbei	—	nube levi
—343	» 4	κειμ.	»		»	τὸν κράββατόν σὸν	—	τὸν σὸν κράββατον
—345	» 3	»	»		»	δεῦτε, ἴδετε	—	δεῦτε ἴδετε
—349	» 2	σημ.	1) ςήλ. ά.		»	κατελυληθυίας	—	κατεληλυθυίας
—350	» 7	κειμ.	»		»	γινόμενον	—	γενόμενον
—351	» 24	σημ.	1) ςήλ. ά.)		»			
	καὶ 11	»	» β'.)		»	Ἐκ. ις.	—	Ἐκκ. Ις.
—374	» 19	»	1) ςήλ. β'.		»	καὶ τὸ	—	καὶ τῷ
—382	» 2	»	4)	» β'.	»	χωρείοις	—	χωρίοις
—383	» 1	κειμ.	»		»	ποιμαινεῖ	—	ποιμανεῖ
—388	» 1	σημ.	3) ςήλ. ά.		»	Γῆν πηλὸν	—	«Γῆν πηλὸν»
—389	» 3	κειμ.	»		»	εἴτε κυριότητες· εἴτε	—	εἴτε κυριότητες, εἴτε
—	»	»	»		»	εἴτε ἐξουσίαι·	—	εἴτε ἐξουσίαι,

